6
7–b
27

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE
6
5 B
11

iotheca
ll. Rom.
Jesu

6–7 B 27

13
C
72

Digitized by Google

Google

Α'ΡΙΣΤΟΤΕ'ΛΟΥΣ
ΤΟΥ ΣΤΑΓΕΙΡΙ'ΤΟΥ

ΤΕ'ΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ

ΒΙΒΛΙ'Α ΤΡΙ'Α.

ARISTOTELIS
STAGIRITÆ

DE ARTE RHETORICA

LIBRI TRES.

Cum Latina Verſione, & exacta Librorum, & Capitum diviſione.

Acceſſit INDEX *Rerum omnium, & Verborum, quæ univerſo Opere continentur.*

AD USUM SEMINARII PATAVINI.

PATAVII,
Ex Typographia Seminarii.

M. DC. XXCIX.
SUPERIORUM PERMISSU.

BIBLIOTECA NAZ. VITTORIO EMANUELE ROMA

LECTORI BENEVOLO

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ARISTOTELES dono quodam Providentiæ genitus, ut in eo vires ſuas humana Sapientia experiretur, cum univerſum Scientiarum Orbem mente complexus ſcriptis illuſtraſſet, vergente denique in ſenium ætate, ſe Rhetorem profeſſus de Arte Oratoria tres prætereà Libros eruditiſſimè conſcripſit, ne quid intactum in literaria Republ. omittere videretur. Sive hoc præſtiterit ingenioſiſſimus Vir, Iſocratis laudes æmulatus, qui Adoleſcentibus inſtituendis ſumma cum admiratione omnium Athenis operam dabat, ſive quod exiſtimaret, cæteras quidem ornamento fore, hanc unam maximè neceſſariam, & dignam Auditore Principe literaturam, qui ſe in ejus diſciplinam tradiderat, parum refert. Illud in confeſſo eſt apud omnes, Ariſtote-

lem poſt abſolutam univerſam Philoſophiam, ad novum hujuſmodi literarum genus eo conſilio animum applicuiſſe, quòd intelligeret, Artem benè, ornatèque dicendi, cum nullis certis limitibus contineretur, ex ſingulis tùm ſcientiis, tùm diſciplinis divitem fieri debere; eumque nullo modo Oratoris nomine inſignitum iri, qui non ſibi primùm ex Philoſophia ad eruditè dicendum præſidia comparaverit. Quiſquis igitur hujuſce facultatis ſtudio teneris, ita debes in his Rhetoricæ præceptis aſſiduè verſari, ut quæ in principio literarii curſus à Præceptore explanata vix mente perceperis, è ludo tandem egreſſus commodiùs ipſe relegas, ac ſingula recognoſcas; ne ſi dimittas aliquandò poſt confectum ſtudiorum tuorum curriculum, umbratili illa, tenuique exercitatione contentus, animum ab Eloquentia alienum habere videaris. Vale.

IN

IN
ARISTOTELIS

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

LIBRUM PRIMUM
RHETORICORUM
ARGUMENTUM.

DUO præſtat in hoc Libro Aristoteles. *Primò oſtendit quonam pacto Rhetorica ſe habeat ad Dialecticam, circa quod ſubjectum utraque verſetur, qua ratione utraque fuerit inventa, & quam diminutè ab antiquis tradita, ex quibus fontibus probandi, & enthymemata conficiendi facultas deſumatur, quæ ſit Rhetoricæ utilitas, quod opus, quæ definitio, quæ argumentorum diviſiones, ex quibus propoſitionibus ac principiis fiant, & circa quas quæſtiones verſentur. Secundò tradit tria dicendi genera, deliberativum nimirùm, demonſtrativum, ac judiciale, eo-*

rum partes, tempora, fines, & propoſitiones, puta de bono & malo, de honeſto & turpi, & juſto vel injuſto, de magno & parvo, de majori aut minori &c. Politiarum ſpecies, fines, mores, & inſtituta, loca, ex quibus argumenta artificialia, & enthymemata propria ſingulorum dicendi generum deſumuntur, & quinque ſpecies argumentorum inartificialium.

CAPUT I.

Rhetoricam eſſe artem.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Quo pacto Rhetorica ſe habeat ad Dialecticam: circa quod ſubjectum verſetur, & quo pacto fuerit inventa.*
2 *Oſtenditur artem Rhetoricam diminutè fuiſſe traditam ab antiquis.*
3 *Demonſtratur facultatem probandi, & enthymemata conficiendi hauriendam eſſe ex fontibus Logicæ.*
4 *Quæ ſit Rhetoricæ utilitas, & quod ejus opus.*

Text.

1 I * RHETORICA Dialecticæ ex altera parte reſpondet: ambæ enim in ejuſmodi rebus ſunt, quæ à cunctis hominibus quodammodo cognoſci, atque intelligi poſſunt:

α. * Ἡ Ῥητορική ἐστιν ἀντίστροφος τῇ Διαλεκτικῇ· ἀμφότεραι γὰρ περὶ τοιούτων τινῶν εἰσιν, ἃ κοινὰ τρόπον τινὰ ἁπάντων ἐστὶ γνωρίζειν·

καὶ

καὶ οὐδεμιᾶς ἐπιστήμης ἀφωρισμένης. * Διὸ καὶ πάντες τρόπον τινὰ μετέχουσιν ἀμφοῖν. πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον, καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσι. * Τῶν μὲν οὖν πολλῶν, οἱ μὲν, εἰκῇ ταῦτα δρῶσιν· οἱ δὲ, διὰ συνήθειαν ἀπὸ ἕξεως. ἐπεὶ δ' ἀμφοτέρως ἐνδέχεται, δῆλον ὅτι εἴη ἂν αὐτὰ καὶ ὁδοποιεῖν. δι' ὃ γὰρ ἐπιτυγχάνουσιν οἵ τε διὰ συνήθειαν, καὶ οἱ ἀπὸ ταὐτομάτου, τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται· τὸ δὲ τοιοῦτον, πάντες ἤδη ἂν ὁμολογήσαιεν, τέχνης ἔργον εἶναι.

β'. * Νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες, ὀλίγον πεποιήκασιν αὐτῆς μόριον· αἱ γὰρ πίστεις, ἔντεχνόν ἐστι μόνον· τὰ δ' ἄλλα, προσθῆκαι. οἱ δὲ, περὶ μὲν ἐνθυμημάτων, οὐδὲν λέγουσιν,

nec ſunt in aliqua definita, ac certa ſcientia.
* Quocircà omnes homines utrarumque ſunt aliquo modo participes: omnes enim aliquò uſque & exquirere, & rationem reddere, & defendere, & accuſare aggrediuntur. * At ex imperitorum numero quidam hæc temerè, caſuque faciunt; quidam autem habitu quodam animi, longo uſu comparato: cum autem hæc utroque modo fieri contingat; perſpicuum eſt, certa via, atque arte comprehendi poſſe: licet enim cauſam intueri, cur & qui ex uſu, & qui fortuitò hęc faciunt, id, quod volunt aſſequantur. hoc autem ipſum jam artis opus eſſe, nemo eſt quin fateatur.

2 * Sed qui hactenus de Arte dicendi conſcripſerunt, parvam quandam ejus particulam confecerunt: probationes enim ſolæ ad artem pertinent, reliqua verò ſunt additamenta. At iſti nihil de enthymematibus loquuntur,

quod corpus eſt, ac fun-
damentum fidei facien-
dæ : de iis verò, quæ
ſunt extra rem poſita,
plurima pertractant : nam
criminatio, miſericordia,
iracundia, cæteræque
hujuſmodi animi pertur-
bationes nequaquam i-
pſius rei propriæ ſunt,
ſed ad movendum judi-
5 cem pertinent. * Quod
ſi id in omnibus judiciis
fieret, quod in aliquibus
civitatibus etiam hoc tem-
pore fit, atque in illis
præcipuè, quæ bonis le-
gibus fundatæ ſunt; ni-
hil ſanè iſti haberent, de
quo verbum facere poſ-
ſent : omnes enim exiſti-
mant, legibus hoc cave-
ri oportere: quidam etiam
eo utuntur, & prohibent
oratorem quicquam ex-
tra cauſam dicere, quem-
admodum Athenis fit in
Ariopago: & rectè qui-
dem hoc ſentiunt: ne-
que enim convenit judi-
cem diſtorquere, atque
inflectere ad indignatio-
nem, vel invidiam, vel mi-
ſericordiam; idem enim
eſt, ac ſiquis eam, qua uſu-
rus eſt, regulam obliquam,
ac tortuoſam efficeret.

ὅπερ ἐστὶ σῶμα τῆς πίστεως. περὶ δὲ τῶν ἔξω τοῦ πράγματος, τὰ πλεῖστα πραγματεύονται. διαβολὴ γὰρ, καὶ ἔλεος, καὶ ὀργὴ, καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς, οὐ περὶ τοῦ πράγματός ἐστιν, ἀλλὰ πρὸς τὸν δικαστήν. * Ὥστ', εἰ περὶ πάσας ἦν τὰς κρίσεις, καθάπερ ἐν ἐνίαις τε νῦν ἐστι τῶν πόλεων, καὶ μάλιστα ἐν ταῖς εὐνομουμέναις, οὐδὲν ἂν εἶχον ὅτι λέγωσιν. ἅπαντες γὰρ, οἱ μὲν οἴονται δεῖν οὕτω τοὺς νόμους ἀγορεύειν, οἱ δὲ, καὶ χρῶνται, καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν Ἀρείῳ πάγῳ. ὀρθῶς τοῦτο νομίζοντες. οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν, εἰς ὀργὴν προάγοντας, ἢ φθόνον, ἢ ἔλεον. ὅμοιον γὰρ κἂν εἴ τις, ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσει στρεβλόν.

* Ἔτι

* Ἔτι δὲ φανερὸν, ὅτι τῷ μὲν ἀμφισβητοῦντι οὐδέν ἐστιν ἔξω τοῦ δεῖξαι τὸ πρᾶγμα, ὅτι ἐστὶν ἢ οὐκ ἔστιν, ἢ γέγονεν, ἢ οὐ γέγονεν· εἰ δὲ μέγα ἢ μικρὸν, ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης διώρικεν, αὐτὸν δήπου τὸν δικαστὴν δεῖ γινώσκειν, καὶ οὐ μανθάνειν παρὰ τῶν ἀμφισβητούντων. * Μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτοὺς, καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς κρίνουσι· πρῶτον μὲν, ὅτι ἕνα λαβεῖν, καὶ ὀλίγους ῥᾷον, ἢ πολλοὺς εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν· ἔπειθ' αἱ μὲν νομοθεσίαι, ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται· αἱ δὲ κρίσεις, ἐξ ὑπογύου. ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον, καλῶς, τοὺς κρίνοντας.

* Præthereà non dubium 6
eſt, ejus, qui controverſiam habet, nullas alias eſſe partes, quàm docere, rem aut eſſe, aut non eſſe, aut factam, aut non factam fuiſſe. Utrum autem magna ſit, an parva, juſta, an injuſta, ſi lator legis non definivit, ipſum per ſe judicem intelligere oportet, non autem ab actoribus diſcere. * Maximè verò 7
expedit benè inſtitutas leges omnia, quæcunque poſſunt, complecti, ac definire, minimamque partem ipſis judicibus relinquere: primò, quia longè facilius eſt, unum, aut paucos invenire, quàm multos, qui benè ſentiant, & leges ferre, ac verè judicare poſſint: deinde, quia legum lationes longo tempore, diligentique conſideratione fiunt, judicia verò plerunque ſubita, atque repentina ſunt, ut difficile ſit, ipſos diſceptatores æquitatem, atque utilitatem rectè perſpicere ac tueri.

Illud tamen maximum omnium, quod legislatoris judicium non de ſingulis, neque de præſentibus rebus eſt, ſed de futuris, & de univerſo genere. Sententiæ verò moderator, & judex de præſentibus jam, & definitis rebus diſceptant, ac ſtatuunt, qui ſæpenumerò vel amore, vel odio, vel utilitate propria moventur ita, ut nullo pacto amplius veritatem intelligere, ac videre ſatis queant: cum propria voluptas, aut moleſtia vero judicio tenebras offundat. In ceteris igitur rebus, ut antea dixi, quamminimis judicem ipſum dominum conſtituere oportet, verùm utrum facta res ſit, an non facta, futura, an non futura, ſit, nec ne ſit, judicibus ipſis omninò ſtatuendum relinquere neceſſe eſt: neque enim ullo modo fieri poteſt, ut hæc legis-
8 lator prævideat. * Quæ cum ita ſe habeant; perſpicuum eſt, eos ad artem ea reducere, quæ ſunt extra propoſitam materiam,

τὸ δὲ πάντων μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις, οὐ κατὰ μέρος, οὔτε περὶ τῶν παρόντων, ἀλλὰ περὶ μελλόντων τε καὶ καθόλου ἐστίν· ὁ δ' ἐκκλησιαστὴς καὶ δικαστὴς, ἤδη περὶ παρόντων καὶ ἀφωρισμένων κρίνουσι. πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν, καὶ τὸ ἴδιον συμφέρον συνήρτηται πολλάκις· ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθὲς, ἀλλ' ἐπισκοπεῖν τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. περὶ μὲν οὖν τῶν ἄλλων, ὥσπερ λέγομεν, δεῖ ὡς ἐλαχίστων ποιεῖν κύριον τὸν κριτήν· περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγονέναι, ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη ἐπὶ τοῖς κριταῖς καταλείπειν· οὐ γὰρ δυνατὸν ταῦτα τὸν νομοθέτην προϊδεῖν. * ΕΙ' δὲ ταῦθ' οὕτως ἔχει, φανερὸν ὅτι τὰ ἔξω τοῦ πράγματος τεχνολογοῦσιν,

ὅσοι

ὅσοι τἄλλα διορίζουσιν, οἷον τί δεῖ τὸ προοίμιον, ἢ τὴν διήγησιν ἔχειν, καὶ τῶν ἄλλων ἕκαστον μορίων· οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύονται, πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσι. περὶ δὲ τῶν ἐντέχνων πίστεων οὐδὲν δεικνύουσι· τοῦτο δ' ἐστιν, ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός. * Διὰ γὰρ τοῦτο, τῆς αὐτῆς οὔσης μεθόδου περὶ τὰ δημηγορικὰ καὶ δικανικά, καὶ καλλίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγματείας οὔσης, ἢ τῆς περὶ τὰ συναλλάγματα, περὶ μὲν ἐκείνης οὐδὲν λέγουσι, περὶ δὲ τοῦ δικάζεσθαι, πάντες πειρῶνται τεχνολογεῖν, ὅτι ἧττόν ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λέγειν ἐν τοῖς δημηγορικοῖς· καὶ ἧττόν ἐστι κακοῦργον ἡ δημηγορία δικολογίας, ἀλλὰ κοινότερον.

quicunque res alias explicant, ut quid procemium, quid narrationem habere oporteat, & quid unaquæque aliarum partium: nihil enim aliud ſibi proponunt, quàm ut judicem aliquo modo afficiant. De artificioſis verò probationibus ne verbum quidem faciunt, quibus ſolis acer in argumentationibus, & argutus orator fit. 9
* Atque hac de cauſa cum eadem via, atque ratione deliberationes, & judicia tractentur: ſitque deliberationis tractatio ſpecioſior, & civitatibus utilior, quàm conventorum, & judiciorum: de illa quidem nihil dicunt, de judiciis autem omnes artem conſcribere aggrediuntur. Nam in deliberativo genere longè minus prodeſt ea, quæ ſunt extra cauſam, dicere: minuſque calliditatis, ac fallaciæ capax eſt ſententiæ dictio, quàm judicium; ſed magis aperta eſt, ac popularis.

Hic enim diſceptator ipſe de ſuis, ac propriis rebus judicat. Itaque nihil aliud opus eſt, quàm oſtendere, rem ita ſe habere, quemadmodum is ait, qui ſententiam dicit. In judiciis verò nequaquam hoc ſatis eſt, ſed auditoris animum occupare permagni intereſt; quoniam de alienis rebus futurum eſt judicium: Itaque ſæpè judices ad voluptatem ſe ſe referentes, & ad gratiam audientes, litigantibus gratificantur, non verè judicant. Atquè hoc in cauſa eſt, ut multis in locis, ſicut antea dixi, lex prohibeat, aliquid extra cauſam dicere, quod in ſententiis ipſi diſceptatores, quorum de re agitur, ſatis diligenter obſervant.

3 * Jam verò illud certum, atque exploratum eſt, eam viam, atque rationem, quæ ad artem pertinet, totam in probationibus eſſe poſitam. Probatio autem, ac fides, quędam eſt argumenti concluſio: tunc enim maximè credimus, cùm rectè concluſum eſſe putamus.

ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς περὶ τῶν οἰκείων κρίνει· ὥστ' οὐδὲν ἄλλο δεῖ, πλὴν ἀποδεῖξαι, ὅτι οὕτως ἔχει, ὥς φησιν ὁ συμβουλεύων. ἐν δὲ τοῖς δικανικοῖς, οὐχ ἱκανὸν τοῦτο, ἀλλὰ πρὸ ἔργου ἐστὶν ἀναλαβεῖν τὸν ἀκροατήν. περὶ ἀλλοτρίων γὰρ ἡ κρίσις. ὥστε, πρὸς τὸ αὑτῶν σκοπούμενοι, καὶ πρὸς χάριν ἀκροώμενοι, διδόασι τοῖς ἀμφισβητοῦσιν, ἀλλ' οὐ κρίνουσι. Διὸ καὶ πολλαχοῦ, ὥσπερ καὶ πρότερον εἶπον, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος. ἐκεῖ δ' αὐτοὶ οἱ κριταὶ τοῦτο τηροῦσιν ἱκανῶς.

γʹ. * Ἐπεὶ δὲ φανερόν ἐστιν, ὅτι ἡ μὲν ἔντεχνος μέθοδος, περὶ τὰς πίστεις ἐστίν· ἡ δὲ πίστις, ἀπόδειξίς τις· τότε γὰρ πιστεύομεν μάλιστα, ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν.

ἔστι δ' ἀπόδειξις ῥητορικὴ, ἐνθύμημα· καὶ ἔστι τοῦτο, ὡς ἁπλῶς εἰπεῖν, κυριώτατον τῶν πίστεων. τὸ δ' ἐνθύμημα, συλλογισμός τις· περὶ δὲ συλλογισμοῦ ὁμοίως ἁπάντος, τῆς Διαλεκτικῆς ἐστιν ἰδεῖν, ἢ αὐτῆς ὅλης, ἢ μέρους τινός. δῆλον δὲ ὅτι ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν, ἐκ τίνων, καὶ πῶς γίνεται συλλογισμὸς, οὗτος καὶ ἐνθυμηματικὸς ἂν εἴη μάλιστα, προσλαβὼν περὶ ποῖά τέ ἐστι τὰ ἐνθυμήματα, καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς λογικοὺς συλλογισμούς. * Τό, τε γὰρ ἀληθὲς, καὶ τὸ ὅμοιον τῷ ἀληθεῖ, τῆς αὐτῆς ἐστι δυνάμεως ἰδεῖν. ἅμα δὲ καὶ οἱ ἄνθρωποι πρὸς τὸ ἀληθὲς πεφύκασιν ἱκανῶς, καὶ τὰ πλείω τυγχάνουσι τῆς ἀληθείας·

Rhetorica porrò concluſio, probatioque vocatur enthymema: hoc enim omnium probationum plurimum valet. Eſt autem enthymema ſyllogiſmus, ac ratiocinatio quædam: de omni verò ſyllogiſmo tractare Dialecticæ proprium eſt, vel univerſæ, vel certè cujuſdam partis ejus. Non dubium eſt igitur, eum, qui perſpiciendi facultatem habet, ex quibus propoſitionibus, & quo pacto collocatis ſyllogiſmus fiat, accerimum in argumentando, & argutiſſimum oratorem futurum: modò prætereà intelligat, quæ ſit materia, quam tractent: & in qua verſentur enthymemata, & quo modo à demonſtrativis ſyllogiſmis diſtinguantur. * Ejuſdem e- 11
nim facultatis eſt, & quid verum, & quid veriſimile ſit, intelligere. Huc accedit, quòd homines ipſi à natura ad veritatem ſatis informati ſunt, & in majori rerum parte veritatem conſequuntur.

Quapropter ejuſdem hominis eſt, qui ad verum conjiciendum aptus ſit, etiã ad res probabiles ita ſe habere, ut facilè eas indaga-
12 re queat. * Jam igitur cur ii, qui de Arte dicendi ſcribunt, quæ ſunt extra cauſam perſequuntur, & cur ad judiciale genus magis inclinarunt, ſatis oſtenſum eſt.
13 4 * Utilis eſt autem Rhetorica, propterea quòd res veræ, ac juſtæ natura meliores, ac potentiores ſunt, quàm contrariæ. Quòd ſi non rectè judicia exerceantur, neceſſe eſt, eas à falſis, & iniquis ſuperari, hoc autem vituperatione, ac reprehenſione dignum eſt.
14 * Præterea apud quoſdam homines, etiam ſi exquiſitam ſcientiam haberemus: non facile eſſet argumentis ab ea ductis, dicendo perſuadere: quæ enim à ſcientia proficiſcitur oratio, munus, operamque doctoris requirit, quod in perſuadendo fieri non poteſt. Sed omnem probationem, & orationem à communibus, ac probabilibus ducere opus eſt,

διὰ πρὸς τὰ ἔνδοξα στοχαστικῶς ἔχειν, τοῦ ὁμοίως ἔχοντος καὶ πρὸς τὴν ἀλήθειάν ἐστιν. * Ὅτι μὲν οὖν τὰ ἔξω τοῦ πράγματος οἱ ἄλλοι τεχνολογοῦσι, καὶ διότι μᾶλλον ἀπονενεύκασι πρὸς τὸ δικολογεῖν, φανερόν.

δ΄. * Χρήσιμος δέ ἐστιν ἡ Ῥητορική, διά τε τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων· ὥστε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι᾽ αὐτῶν ἡττᾶσθαι. τοῦτο δ᾽ ἐστὶν ἄξιον ἐπιτιμήσεως. * Ἔτι δὲ πρὸς ἐνίους, οὐδ᾽ εἰ τὴν ἀκριβεστάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ᾽ ἐκείνης πεῖσαι λέγοντας· διδασκαλίας γάρ ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος. τοῦτο δὲ ἀδύνατον, ἀλλ᾽ ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους.

ὥσπερ

ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως. * Ἔτι δὲ, τἀναντία δύνασθαι πείθειν, καθάπερ καὶ ἐν τοῖς συλλογισμοῖς. οὐχ ὅπως ἀμφότερα πράττωμεν· οὐ γὰρ δεῖ τὰ φαῦλα πείθειν. ἀλλ' ἵνα μήτε λανθάνῃ πῶς ἔχει, καὶ ὅπως ἄλλου χρωμένου τοῖς λόγοις αὐτοῖς μὴ δικαίως, λύειν ἔχωμεν. τῶν μὲν οὖν ἄλλων τεχνῶν οὐδεμία τἀναντία συλλογίζεται. ἡ δὲ Διαλεκτικὴ καὶ ἡ Ῥητορικὴ, μόναι τοῦτο ποιοῦσιν· ὁμοίως γάρ εἰσιν ἀμφότεραι τῶν ἐναντίων· τὰ μέντοι ὑποκείμενα πράγματα οὐχ ὁμοίως ἔχει, ἀλλ' αἰεὶ τἀληθῆ καὶ τὰ βελτίω τῇ φύσει εὐσυλλογιστότερα καὶ πιθανώτερα, ὡς ἁπλῶς εἰπεῖν·

ut in Topicis etiam diximus, cùm doceremus, quomodo cum imperita multitudine congrediendum ſit. * Jam verò etiam opus eſt, res contrarias dicendo perſuadere poſſe, quemadmodùm in ſyllogiſmis, ac diſſerendi ratione fieri ſolet: non quidem, ut utrunque faciamus: neque enim, quæ mala ſunt, perſuadere oportet, ſed ne lateat nos, quomodo hoc fieri poſſit; & ſi quis hujuſmodi oratione non juſtè utatur, eâm refellere valeamus. Ex aliis autem artibus nulla eſt, quæ in contrarias partes diſſerat: verùm Dialecticæ, ac Rhetoricæ tantùm hoc proprium eſt; ambæ enim eodem modo in utranque partem diſſerunt, & contraria colligunt: ſed tamen res, quæ his artibus ſubjectæ ſunt, non eodem modo ſe habent: ſemper enim, quæ veræ, ac meliores natura ſunt, illæ faciliùs etiam probantur, & perſuadentur, dico autem, ut generatim, & plerunque fit,

16 * Præterea ſi turpe eſt homini, non poſſe ſibi ipſum corpore opitulari; quanto turpius erit, oratione ſe defendere non poſſe, quę magis, quàm uſus corporis, hominis propria eſt.

17 * Si quis objiciat, maxima incommoda eum importaturum, qui injuſtè hac dicendi facultate utatur: hoc jam commune eſt cum aliis bonis omnibus, præter virtutem, & cum eis præcipuè, quæ maximas utilitates afferre ſolent: ut cum fortitudine corporis, cum bona valetudine, cum divitiis, cum arte imperatoria: quibus ſi juſtè quis utatur, plurimum prodeſſe: ſin injuſtè, non mediocriter obeſſe poteſt.

18 * Jam igitur dicendi Artem non eſſe in aliquo certo, ac definito genere, ſicuti neque Dialectica eſt, & magnoperè utilem eſſe, perſpicuum eſt: pręterea officium ejus eſſe, non perſuadere, ſed ea videre, quæ ad perſuadendum accommodata ſint. Quod etiam in aliis omnibus artibus uſu venit.

* Πρὸς τούτοις, ἄτοπον, εἰ τῷ σώματι μὲν αἰσχρὸν, μὴ δύνασθαι βοηθεῖν ἑαυτῷ, λόγῳ δ' οὐκ αἰσχρόν. ὃ μᾶλλον ἴδιόν ἐστιν ἀνθρώπου τῆς τοῦ σώματος χρείας. * Εἰ δ', ὅτι μεγάλα βλάψειεν ἂν ὁ χρώμενος ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων, τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν, πλὴν ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος, ὑγιείας, πλούτου, στρατηγίας. τούτοις γὰρ ἄν τις ὠφελήσειε τὰ μέγιστα, χρώμενος δικαίως, καὶ βλάψειεν, ἀδίκως. * Ὅτι μὲν οὖν οὐκ ἔστιν, οὔτε ἑνός τινος γένους ἀφωρισμένου ἡ Ῥητορική, ἀλλὰ καθάπερ ἡ Διαλεκτική· καὶ ὅτι χρήσιμος, φανερόν. καὶ ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς, ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα πιθανὰ περὶ ἕκαστον, καθάπερ καὶ ἐν ταῖς ἄλλαις τέχναις πάσαις.

οὐδὲ γὰρ ἰατρικῆς, τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρις οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν. ἔστι γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας, ὅμως θεραπεῦσαι καλῶς. πρὸς δὲ τούτοις, ὅτι τῆς αὐτῆς, τό, τε πιθανὸν καὶ τὸ φαινόμενον ἰδεῖν πιθανόν, ὥσπερ καὶ ἐπὶ τῆς Διαλεκτικῆς συλλογισμόν τε, καὶ φαινόμενον συλλογισμόν. ὁ γὰρ σοφιστικὸς οὐκ ἐν τῇ δυνάμει, ἀλλ' ἐν τῇ προαιρέσει· πλὴν ἐνταῦθα μὲν ἔσται, ὁ μὲν, κατὰ τὴν ἐπιστήμην, ὁ δὲ, κατὰ τὴν προαίρεσιν ῥήτωρ· ἐκεῖ δέ, σοφιστὴς μὲν, κατὰ τὴν προαίρεσιν, Διαλεκτικὸς δὲ, οὐ κατὰ τὴν προαίρεσιν, ἀλλὰ κατὰ τὴν δύναμιν. περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν, πῶς τε

neque enim medici officium eſt ſanare, ſed uſque eò rem producere, quò ratio curandi patitur. Non enim fieri poteſt, ut is benè, atque ex arte curetur, qui bonam valetudinem recuperare nullo modo poſſit. Illud etiam manifeſtum eſt, ejuſdem artis eſſe, & quod appoſitum eſt ad perſuadendum, & quod videtur appoſitum inveniſre; quemadmodum Dialecticæ eſt verum ſyllogiſmum, & qui verus videtur, intelligere: fallax enim & captioſus diſputator non ex facultate, ſed ex voluntate atque delectu debet æſtimari. Sed ea eſt differentia, quòd in arte dicendi tàm is, qui fallacibus utitur argumentationibus, quàm is, qui ſcientia contentus, eas refugit, orator vocatur. In differendi verò ratione diſtincta ſunt nomina: nam qui ſtudio fallendi ducitur, ſophiſta: qui autem facultatem quidem habet fallendi, ſed ea non utitur, dialecticus appellatur. Sed age jam de ipſa arte dicere aggrediamur, & quomodo,

quibuſq; argumentationibus ea, quæ propoſita ſunt aſſequi poterimus. Rurſus ergo, tanquam à principio, naturam ejus definiendo aperiamus, deinde etiam de reliquis dicamus.

καὶ ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν προκειμένων. πάλιν οὖν, οἷον ἐξ ὑπαρχῆς ὁρισάμενοι αὐτὴν τίς ἐστι, λέγωμεν τὰ λοιπά.

CAPUT II.

Quid ſit Rhetorica.

DIVISIO CAPITIS IN PARTES SEPTEM.

1 *Rhetoricam eſſe facultatem videndi, quid idoneum ſit ad fidem.*

2 *Proponitur diviſio perſuaſionum, hoc eſt eorum, quæ ſunt apta ad faciendam fidem.*

3 *De probationibus Rhetoricis, enthymemate nimirùm, atque exemplo, & eorum ab invicem differentia.*

4 *Ex quibus propoſitionibus, ac principiis fiant, & circa quas concluſiones, ac quæſtiones verſentur enthymemata, & exempla Rhetorica.*

5 *De veriſimilibus, ac ſignis, ex quibus fiunt enthymemata.*

6 *Exemplum quid ſit, & quomodo confici oporteat.*

7 *De differentia enthymematum Rhetoricorum ab enthymematibus aliarũ artium propriis.*

19 1 *EST igitur Rhetorica vis quædam, ac facultas inveniendi, quid in quaque re ſit ad perſuadendum accommodatum:

ά. *ΕΣΤΩ δ' ἡ Ῥητορικὴ, δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν.

τοῦτο

τοῦτο γὰρ οὐδεμιᾶς ἑτέρας ἐστὶ τέχνης ἔργον. τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὐτῇ ὑποκείμενόν ἐστι διδασκαλικὴ, καὶ πιστική· οἷον ἰατρικὴ, περὶ ὑγιεινὸν καὶ νοσερόν· καὶ γεωμετρία, περὶ τὰ συμβεβηκότα πάθη τοῖς μεγέθεσι· καὶ ἀριθμητικὴ, περὶ ἀριθμόν· ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν. ἡ δὲ Ῥητορικὴ, περὶ τοῦ δοθέντος, ὡς εἰπεῖν, δοκεῖ δύνασθαι θεωρεῖν τὸ πιθανόν. διὸ καὶ φαμὲν αὐτὴν, οὐ περί τι γένος ἴδιον ἀφωρισμένον ἔχειν τὸ τεχνικόν.

β. * Τῶν δὲ πίστεων, αἱ μὲν ἄτεχνοί εἰσιν, αἱ δὲ ἔντεχνοι. ἄτεχνα δὲ λέγω, ὅσα μὴ δι' ἡμῶν πεπόρισται ἀλλὰ προϋπῆρχεν· οἷον, μάρτυρες, βάσανοι, συγγραφαὶ, καὶ ὅσα τοιαῦτα.

hoc enim nullius artis alterius officium eſt: nam artes aliæ ſingulæ tantùm ea docere, ac probare contendunt, quæ materiæ illius ſunt, in qua verſantur: ut medicina, quid ſalubre, quid inſalubre ſit: geometria, quæ ſint eventa, quæ magnitudinibus accidunt: arithmetica numeros; eodem modo aliæ artes, & ſcientiæ. Rhetorica verò, de omni penè dixerim, propoſita quæſtione appoſitè ad perſuadendum dicere poteſt. Atque ideò dicimus, eam non in aliquo proprio, aut definito genere artis ſuæ vim habere.

2 * Probationum 20
autem aliæ quidem expertes artis, aliæ verò artificioſæ ſunt. Expertes artis eas voco, quæ noſtra opera non pariuntur, ſed extrinſecùs aſſumuntur, ut teſtimonia, & quæſtiones, & ejus generis cæteræ.

* Ar-

21 * Artificioſas autem eas,
quas artis præſidio diſci-
mus, & cùm inhæreant in
ipſa re, reperiri indu-
ſtria noſtra, atque inde e-
rui poſſunt. Ita in ſuperio-
re genere de tractandis ar-
gumentis, in hoc etiam
de inveniendis cogitatum
eſt. Earũ verò probationũ,
quas dicendo acquirimus,
tria genera ſunt: nam a-
liæ in vita, ac moribus o-
ratoris poſitæ ſunt: aliæ
in promovendo, atque
afficiendo, prout opus fue-
rit, auditore: aliæ deni-
que in ipſa oratione; cum
aut probatur aliquid, aut
probari videtur. Quæ à
vita, & moribus probatio
naſcitur, ea tunc fit,
cum ita habetur oratio,
ut eum, qui dicit, dignum,
cui fides habeatur, vide-
ri faciat; probis enim
viris & magis, & celeriùs
credimus, atque hoc ge-
neratim in omnibus qui-
dem rebus; at in iis præci-
puè, quæ certò ſciri non
poſſunt, ſed variè tra-
duntur, omninò bono-
rum virorum ſententiis
acquieſcimus. Hoc autem
etiam ipſo genere ora-
tionis conſequi oportet;

* Ἔντεχνα δὲ, ὅσα
διὰ τῆς μεθόδου καὶ
δι' ἡμῶν κατασκευα-
σθῆναι δυνατόν. ὥστε
δεῖ τούτων, τοῖς μὲν
χρήσασθαι, τὰ δὲ
εὑρεῖν. τῶν δὲ διὰ
τοῦ λόγου ποριζομέ-
νων πίστεων τρία εἴδη
ἐστίν· αἱ μὲν γάρ
εἰσιν ἐν τῷ ἤθει τοῦ
λέγοντος· αἱ δὲ
ἐν τῷ τὸν ἀκροατὴν
διαθεῖναί πως· αἱ
δὲ, ἐν αὐτῷ τῷ λό-
γῳ διὰ τοῦ δεικνύ-
ναι, ἢ φαίνεσθαι δει-
κνύναι. διὰ μὲν οὖν
τοῦ ἤθους, ὅταν οὕτω
λεχθῇ ὁ λόγος,
ὥστε ἀξιόπιστον ποιῆ-
σαι τὸν λέγοντα.
τοῖς γὰρ ἐπιεικέσι πι-
στεύομεν μᾶλλον καὶ
θᾶττον, περὶ πάντων
μὲν, ἁπλῶς· ἐν οἷς
δὲ τὸ ἀκριβὲς μὴ
ἐστιν, ἀλλὰ τὸ ἀμφι-
δοξεῖν, καὶ παντελῶς.
δεῖ δὲ καὶ τοῦτο συμ-
βαίνειν διὰ τὸν λόγον,
ἀλλὰ

ἀλλὰ μὴ διὰ τὸ προδεδοξάσθαι ποῖόν τινα εἶναι τὸν λέγοντα· οὐ γὰρ, ὥσπερ ἔνιοι τῶν τεχνολογούντων τιθέασιν ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν τοῦ λέγοντος, ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν. ἀλλὰ σχεδὸν, ὡς εἰπεῖν, κυριωτάτην ἔχει πίστιν τὸ ἦθος. διὰ δὲ τῶν ἀκροατῶν, ὅταν εἰς πάθος ὑπὸ τοῦ λόγου προαχθῶσιν· οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες, ἢ φιλοῦντες καὶ μισοῦντες· πρὸς ὃ καὶ μόνον πειρᾶσθαι φαμὲν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας. περὶ μὲν οὖν τούτων δηλωθήσεται καθ' ἕκαστον, ὅταν περὶ τῶν παθῶν λέγωμεν. διὰ δὲ τῶν λόγων πιστεύουσιν,

neque ſatis eſt, oratorem ante conceptam de ſe bonam opinionem ad dicendum adferre. Neque enim audiendi ſunt quidam artis ſcriptores, qui oratoris ante perſpectam probitatem in arte collocant; tanquam ſi boni mores, ad tempus oratione expreſſi, nullam ad perſuadendum vim haberent. Quin auſim dicere, maximam ferè omnium vim fidei faciendæ in moribus exprimendis eſſe poſitam. Alterum genus probationis, quod ab auditoribus proficiſcitur, fit cùm motum aliquem animi miſcet oratio: neque enim eodem modo de aliqua re judicamus, cum mœremus, & gaudemus, aut cum diligimus, & odio proſequimur: qua in una re tantùm eos laboraſſe dicimus, qui hactenus de Arte dicendi conſcripſerunt. Sed de his omnibus ſigillatim tractabimus, cum motiones animorum explicabimus. Tertium probationis genus oratione fit; cum

eum aut verum, aut quod veri ſpeciem habet, concludimus, ex eis argumenta ducentes, quæ in quaque re ſunt ad perſuadendum accom-
22 modata. * Cùm igitur omnes artificioſæ probationes per hæc fiant, perſpicuum eſt, eum ſolum hæc tria conſequi poſſe, qui differendi rationem, & morum, atque virtutum cognitionem, & perturbationum animi naturam perceperit: ut ſciat, quid unaquæque perturbatio ſit, & qualis, & ex quibus excitetur, & quomodo. Itaque fit ut Rhetorica ſit propago quædam, & quaſi pullulatio Dialecticæ, & facultatis ejus, quæ de moribus tractat: quam rectè civilem ſcientiam appellabimus. Atque ideò Rhetorica ſibi habitum, ac formam ſcientiæ civilis inducit: qui huic arti incumbunt, partim ignoratione rerum, partim inani gloria ducti, partim aliis etiam humanis cauſis civilem ſe tenere ſcientiam profitentur;

ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν, ἐκ τῶν περὶ ἕκαστα πιθανῶν. * Ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσὶ, φανερὸν ὅτι ταῦτα ἐστὶ λαβεῖν, τοῦ συλλογίσασθαι δυναμένου, καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη, καὶ τὰς ἀρετὰς, καὶ τρίτον τοῦ περὶ τὰ πάθη, τί τε ἕκαστόν ἐστι τῶν παθῶν, καὶ ποῖόν τι, καὶ ἐκ τίνων ἐγγίνεται, καὶ πῶς, ὥστε συμβαίνει τὴν Ῥητορικὴν, οἷον παραφυές τι τῆς Διαλεκτικῆς εἶναι, καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστι προσαγορεύειν πολιτικήν. Διὸ καὶ ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολιτικῆς ἡ Ῥητορική· καὶ οἱ ἀντιποιούμενοι ταύτης, τὰ μὲν, δι' ἀπαιδευσίαν, τὰ δὲ, δι' ἀλαζονείαν, τὰ δὲ, καὶ δι' ἄλλας αἰτίας ἀνθρωπικάς·

ἔστι

ἔστι γὰρ μόριόν τι τῆς Διαλεκτικῆς καὶ ὁμοίωμα, καθάπερ καὶ ἀρχόμενοι εἴπομεν. περὶ οὐδενὸς γὰρ ὡρισμένου οὐδετέρα αὐτῶν ἐστὶν ἐπιστήμη, πῶς ἔχει, ἀλλὰ δυνάμεις τινὲς τοῦ πορίσαι λόγους. περὶ μὲν οὖν τῆς δυνάμεως αὐτῶν, καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας, εἴρηται σχεδὸν ἱκανῶς.

γ΄. * Τῶν δὲ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι, καθάπερ καὶ ἐν τοῖς Διαλεκτικοῖς, τὸ μὲν, ἐπαγωγή ἐστι, τὸ δὲ, συλλογισμὸς, τὸ δὲ, φαινόμενος συλλογισμός. καὶ ἐνταῦθα ὁμοίως· ἔστι γὰρ, τὸ μὲν παράδειγμα, ἐπαγωγή· τὸ δ' ἐνθύμημα, συλλογισμός. καλῶ δ' ἐνθύμημα μὲν, ῥητορικὸν συλλογισμὸν, παράδειγμα δὲ, ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι,

cum particula tantùm quędam, & imago Dialecticæ ſit, quemadmodum initio diximus: neutra enim earum alicujus definitæ rei ſcientia eſt, ut quærat, quomodo res ea ſe ſe habeat: ſed facultates quædam ſunt inveniendi, quid in quaque re probabiliter dici poſſit. Jam igitur de utriusque vi, ac poteſtate, quoque modo inter ſe conjunctę ſint, ſatis, ut opinor, dictum eſt.

3 * In probationibus autem, quæ aut verè demonſtrant, aut tantùm videntur demonſtrare, quemadmodum in Dialecticis, inductio eſt, & verus ſyllogiſmus; & præterea tantùm apparens ſyllogiſmus; ita etiam in hac arte: exemplum enim inductio eſt, enthymema verò ſyllogiſmus. Voco autem ego enthymema quidem, oratorium ſyllogiſmum, exemplum autem inductionem oratoriam. Omnes enim oratores cum aliquid dicendo probare volunt, 23

aut

aut exemplis, aut enthymematibus utuntur : & præter hęc nihil habent. Quare ſi omninò neceſſe eſt, eum, qui probare aliquid velit, aut ſyllogiſmo, aut inductione uti, quod ex iis, quæ ſunt à nobis in libris Analyticis explicata, perſpicuum eſt : neceſſitas cogit, ut utriuſque illorum natura utrique eorum par, at-
24 que eadem ſit. * Quę autem differentia ſit exempli, & enthymematis facilè ex Topicis intelligi poteſt : ibi enim de ſyllogiſmo, & inductione jam antea dictum eſt : nam cum ex pluribus, & ſimilibus ita, ut volumus, rem ſe habere oſtendimus; ibi quidem inductio eſt, ut in hac arte exemplum. Neque illud dubium eſt, artem ipſam facultatemque dicendi hoc utrunque in ſe bonum habere : ut enim in libris de differendi ratione, quos Methodicos inſcripſimus jam à nobis antea dictum eſt : ſic etiam in his de Arte dicendi res ſe habet. Cum verò,

ἢ παραδείγματα λέγοντες, ἢ ἐνθυμήματα. καὶ παρὰ ταῦτα οὐδέν πως. ὥστ' εἴπερ καὶ ὅλως ἀνάγκη συλλογιζόμενον, ἢ ἐπάγοντα δεικνύναι ὁτιοῦν, ἢ ὁντινοῦν· δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν Ἀναλυτικῶν· ἀναγκαῖον ἑκάτερον αὐτῶν ἑκατέρῳ τούτων τὸ αὐτὸ εἶναι. * Τίς δ' ἐστὶ διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν Τοπικῶν. ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον· ὅτι, τὸ μὲν, ἐπὶ τῶν πολλῶν καὶ ὁμοίων δείκνυσθαι ὅτι οὕτως ἔχει, ἐκεῖ μὲν, ἐπαγωγή ἐστιν· ἐνταῦθα δὲ παράδειγμα. φανερὸν δ' ὅτι καὶ ἑκάτερον ἔχει ἀγαθὸν, τὸ εἶδος τῆς ῥητορικῆς· καθάπερ γὰρ καὶ ἐν τοῖς μεθοδικοῖς εἴρηται, καὶ ἐν τούτοις ὁμοίως ἔχει· τὸ δὲ, τινῶν

τινῶν ὄντων, ἕτερόν τι διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα, τῷ ταῦτα εἶναι, ἢ καθόλου, ἢ ὡς ἐπὶ τὸ πολὺ, ἐκεῖ μὲν, συλλογισμὸς, ἐνταῦθα δὲ, ἐνθύμημα καλεῖται· εἰσὶ γὰρ, αἱ μὲν παραδειγματώδεις ῥητορεῖαι· αἱ δὲ, ἐνθυμηματικαί· καὶ ῥήτορες ὁμοίως, οἱ μὲν, παραδειγματώδεις, οἱ δὲ, ἐνθυμηματικοί. πιθανοὶ μὲν οὖν οὐχ ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων. θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοί. τὴν δ' αἰτίαν αὐτῶν, καὶ πῶς ἑκατέρῳ χρηστέον, ἐροῦμεν ὕστερον. νῦν δὲ περὶ αὐτῶν τούτων μᾶλλον διορίσωμεν καθαρῶς.

δ'. * Ἐπεὶ γὰρ τὸ πιθανὸν, τινὶ πιθανόν ἐστι,

quibuſdam propoſitis, aliud quiddam ab eis eorum cauſa contingit, eò, quòd illa vel generatim vera ſint, vel plerumque fiant; in Dialectica quidem ſyllogiſmus, in Rhetorica verò enthymema vocatur: ſunt enim dictiones quædam oratoriæ, quæ potiſſimùm exemplis conſtant: ſunt etiam, quæ totæ argumentis, & enthymematibus conficiantur: ſicuti oratores quidam exemplis magis, quidam argumentis delectantur. Orationes autem, quæ conſtant exemplis, ſunt quidem ad dicendum accommodatæ non minus, quàm aliæ; ſed illæ, quæ ſunt enthymematibus refertæ, majore quodam impetu animos commovent. Verùm quæ ſit utriuſque cauſa, quoque modo ſit utroque utendum, alio in loco poſtea dicemus. Nunc autem de iis, quæ tractare cœpimus, magis enucleatè, diſtinctèque diſſeramus.

4 * Nam quod probabile eſt, id eſt ejus naturæ, ut per ſe eſſe non poſſit; ſed alicui ſemper probabile ſit.

BIBLIOTECA NAZ. ROMA VITT. EMANUELE

Id autem duplex eſt: aliud enim ſimul atque auditum eſt, ex vi ſua probatur, & creditur, aliud autem arte indiget, ut propoſitis rationibus demonſtretur.

26 * Nulla verò ars eſt, quæ, quid in ſingulis rebus fieri debeat, conſideret: ut medicina non docet, quid Socrati, aut Calliæ ſalubre ſit; ſed quid homini ſic affecto, aut cunctis, qui eodem morbo laborant: hoc enim ad artem ſpectat. Quod autem ſingulare eſt, atque individuum, id infinitum habetur, & nulla ſcientia comprehendi poteſt. Neque igitur Rhetorica probabile quæret ejuſmodi, quod unius alicujus opinioni conveniat, ut Socratis, aut Hippiæ; ſed quod omnibus, qui ita animo ſunt affecti: quemadmodum etiam Dialectica: nam neque illa ita ratiocinatur, ut undique arripiat ſine ullo diſcrimine, quę alicui videantur, ſiquidem etiam deliris hominibus probabilia quędam videntur: ſed ex iis argumentatur, quæ ratione allata probari poſſunt.

καὶ τὸ μὲν, εὐθὺς ὑπάρχει δι' αὑτὸ πιθανὸν καὶ πιστόν. τὸ δὲ, τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων. * ΟΥ'δεμία δὲ τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον. οἷον ἡ ἰατρικὴ, τί Σωκράτει τὸ ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ τοιῷδε, ἢ τοῖς τοιοῖσδε· τοῦτο μὲν γὰρ, ἔντεχνον· τὸ δὲ καθ' ἕκαστον, ἄπειρον καὶ οὐκ ἐπιστητόν· οὐδὲ ἡ Ῥητορικὴ τὸ καθ' ἕκαστον ἔνδοξον θεωρήσει, οἷον Σωκράτει ἢ Ἱππίᾳ, ἀλλὰ τὸ τοιοῖσδε, καθάπερ καὶ ἡ Διαλεκτική· καὶ γὰρ ἐκείνη συλλογίζεται, οὐκ ἐξ ὧν ἔτυχε· φαίνεται γὰρ ἄττα καὶ τοῖς παραληροῦσιν· ἀλλ' ἐκείνη μὲν, ἐκ τῶν λόγου δεομένων·

ἡ δ'

ἡ δὲ Ῥητορικὴ, ἐκ τῶν ἤδη βουλεύεσθαι εἰωθότων. *Ἔστι δὲ τὸ ἔργον αὐτῆς, περί τε τοιούτων, περὶ ὧν βουλευόμεθα, καὶ τέχνας μὴ ἔχομεν, καὶ ἐν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν συνορᾶν, οὐδὲ λογίζεσθαι πόρρωθεν. βουλευόμεθα δὲ περὶ τῶν φαινομένων ἐνδέχεσθαι ἀμφοτέρως ἔχειν. περὶ γὰρ τῶν ἀδυνάτων ἄλλως ἢ γενέσθαι, ἢ ἔσεσθαι, ἢ ἔχειν, οὐδεὶς βουλεύεται, οὕτως ὑπολαμβάνων· οὐδὲν γὰρ πλέον ἢ οὕτως ἐνδέχεται συμβουλεύειν. ἐνδέχεται δὲ συλλογίζεσθαι καὶ συνάγειν, τὰ μὲν, ἐκ συλλελογισμένων πρότερον· τὰ δὲ, ἐξ ἀσυλλογίστων μὲν, δεομένων δὲ συλλογισμοῦ, διὰ τὸ μὴ εἶναι ἔνδοξα.

Rhetorica verò ex iis, quæ in conſultationem venire conſueverunt. *Eſt enim 27 artis oratoriæ proprium munus ea tractare, de quibus conſultamus, & quorum adhuc artes traditas non habemus, & apud auditores ejuſmodi, qui per multas rationes acutè rem intelligere non poſſunt, neque procul poſita, ac longinquiora ſpectare. Deliberamus autem de rebus illis, quæ videntur in utranque partem cadere poſſe: de iis verò, quę nullo modo fieri poteſt, ut aliter aut fuerint, aut futura ſint, aut ſint, nemo eſt, qui deliberet, modò ea ita ſe habere intelligat; neque enim in rebus ejuſmodi quiſquam aliter, quàm eo modo tantum, conſilium dare poteſt. Accidit autem iis, qui aliquid ratione concludunt, ut quædam aliquando colligant ex rebus antea concluſis; quædam autem ex rebus, quæ nondum quidem concluſæ ſunt, ſed probatione indigent: eo quòd minimè probabiles eſſe videantur.

Quo-

Quorum alterum neceſſe eſt, difficile eſſe ad intelligendum ob longitudinem: diſceptatorem enim rudem eſſe ponimus, atque in diſciplinis minimè verſatum: alterum autem ad perſuadendum haudquaquam accommodatum, eo quòd neque ex rebus manifeſtis, neque ex probabilibus proficiſcatur. Itaque neceſſe eſt enthymema, atque exemplum ex rebus ejuſmodi eſſe, quæ nihil in ſe firmitatis habent; ſed aliter, atque aliter ſe habere poſſunt, ut exemplum quidem inductionis: enthymema verò ſyllogiſmi ſpeciem, ac imaginem habeat. Ex paucis autem, & ſæpè ex paucioribus enthymema fit, quàm primus ille atque integer ſyllogiſmus: ſi quid enim notum, atque exploratum fuerit, id ſanè nihil attinet dicere: quoniam ipſe auditor illud adjungit: ut ſi quis probare velit, Doricum certamen viciſſe, in quo victor corona donatur, ſatis erit dicere: vicit [enim] Olympia

ἀνάγκη δὲ τούτων, τὸ μὲν μὴ εἶναι εὐπαρακολούθητον, διὰ τὸ μῆκος· ὁ γὰρ κριτὴς ὑπόκειται εἶναι ἁπλοῦς· τὸ δὲ, μὴ πιθανὰ, διὰ τὸ μὴ ἐξ ὁμολογουμένων εἶναι, μηδ' ἐνδόξων· ὥστε ἀναγκαῖον τό, τε ἐνθύμημα εἶναι καὶ τὸ παράδειγμα περὶ τῶν ἐνδεχομένων, ὡς τὰ πολλὰ ἔχειν καὶ ἄλλως· τὸ μὲν παράδειγμα, ἐπαγωγήν· τὸ δ' ἐνθύμημα, συλλογισμόν· καὶ ἐξ ὀλίγων τε καὶ πολλάκις ἐλαττόνων, ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός. ἐὰν γὰρ ᾖ τι τούτων γνώριμον, οὐδὲ δεῖ λέγειν· αὐτὸς γὰρ τοῦτο προστίθησιν ὁ ἀκροατής· οἷον, ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα νενίκηκεν, ἱκανὸν εἰπεῖν, ὅτι Ὀλύμπια γὰρ νενίκηκε·

τὸ

τὸ δ' ὅτι στεφανίτης τὰ Ὀλύμπια, οὐδὲ δεῖ προσθεῖναι. γινώσκουσι γὰρ πάντες. ἐπεὶ δέ ἐστιν, ὀλίγα μὲν τῶν ἀναγκαίων ἐξ ὧν οἱ ῥητορικοὶ συλλογισμοί εἰσι. τὰ γὰρ πολλὰ περὶ ὧν αἱ κρίσεις καὶ αἱ σκέψεις, ἐνδέχεται καὶ ἄλλως ἔχειν. περὶ ὧν μὲν γὰρ πράττουσι, βουλεύονται καὶ σκοποῦσι· τὰ δὲ πραττόμενα, πάντα τοιούτου γένους ἐστί· καὶ οὐδὲν, ὡς ἔπος εἰπεῖν, ἐξ ἀνάγκης τούτων· τὰ δ' ὡς ἐπιτοπολὺ συμβαίνοντα καὶ ἐνδεχόμενα, ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλογίζεσθαι· τὰ δ' ἀναγκαῖα, ἐξ ἀναγκαίων· δῆλον δ' ἡμῖν καὶ τοῦτο ἐκ τῶν Ἀναλυτικῶν. φανερὸν, ὅτι ἐξ ὧν τὰ ἐνθυμήματα λέγεται, τὰ μὲν, ἀναγκαῖα ἔσται. τὰ δὲ, πλεῖστα ὡς ἐπιτοπολύ.

quòd autem in Olympiis victor corona donetur, non opus eſt addere: omnes enim hoc ſciunt. Pauca verò neceſſaria ſunt eorum, ex quibus oratorii ſyllogiſmi conficiuntur: majori enim ex parte, quæ in judicium, ac deliberationem veniunt, etiam aliter ſe habere poſſunt: ſolent enim homines de iis rebus deliberare, & cogitare, quas in vita gerunt: quæ verò aguntur, ejuſdem generis omnia, ſunt: neque quicquam, penè dixerim, eorum ex neceſſitate fit. Hæc autem ipſa, quæ plerunque fiunt nec eodem modo ſe ſemper habent, neceſſe eſt ex propoſitionibus ejuſdem naturæ confirmari; ſicuti neceſſaria ex neceſſariis probantur: quod ex Analyticis libris clariùs intelligi poteſt. Quare perſpicuum eſt, eorum, ex quibus enthymemata fiunt, aliqua, quidem eſſe neceſſaria,; ſed plurima ex eis eſſe, talia, quæ plerunque, tantùm ſine ulla neceſſitate fiunt.

28 5 * Ducuntur enim enthymemata ex veriſimilibus, & ſignis. Itaque neceſſe eſt, ut horum utrunque alteri eorum reſpondeat, atque idem ſit.

29 * Nam veriſimile eſt tanquam id, quod plerunque fit, non tamen abſolutè, ſicuti quidam exiſtimant; ſed quòd in eis verſetur, quæ aliter etiam evenire poſſunt: & quòd ita ſe habeat ad id, cujus eſt veriſimile: ſicuti ſe habet id, quod generatim atque universè fit, ad id, quod fit ſigillatim, & in

30 parte. * Signorum verò duo ſunt genera: quorum alterum ita ſe habet ad id, cujus eſt ſignum, ſicuti quod in parte fit, ad id, quod in univerſo genere: alterum autem ſicuti, quod in univerſo genere fit, ad id, quod in parte. Quin ex his ipſis id ſignum, quod neceſſarium eſt, indicium vocatur, vel propria nota. Quod autem non eſt neceſſarium, caret certo, ac proprio nomine, quo ab aliis diſtinguatur. At verò neceſſaria illa voco, ex quibus ſyllogiſmus, ac firma concluſio fit.

έ. * Λέγεται γὰρ ἐνθυμήματα ἐξ εἰκότων καὶ σημείων. ὥστε ἀνάγκη τούτων ἑκάτερον ἑκατέρῳ ταὐτὸ εἶναι. * Τὸ μὲν γὰρ, εἰκός ἐστιν, ὡς ἐπιτοπολὺ γινόμενον· οὐχ ἁπλῶς δὲ, καθάπερ ὁρίζονταί τινες. ἀλλὰ τὸ περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν, οὕτως ἔχον πρὸς ἐκεῖνο πρὸς ὃ εἰκὸς, ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος. * Τῶν δὲ σημείων, τὸ μὲν, οὕτως ἔχει, ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθόλου, τὸ δὲ, ὡς τῶν καθόλου τι πρὸς τὸ κατὰ μέρος. τούτων δὲ, τὸ μὲν ἀναγκαῖον, τεκμήριον, τὸ δὲ μὴ ἀναγκαῖον, ἀνώνυμόν ἐστι κατὰ τὴν διαφοράν. ἀναγκαῖα μὲν οὖν λέγω, ἐξ ὧν γίνεται συλλογισμός:

διὸ

διὸ καὶ τεκμήριον τὸ τοιοῦτον τῶν σημείων ἐστίν. ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθὲν, τότε φέρειν οἴονται τεκμήριον, ὡς δεδειγμένον καὶ πεπερασμένον· τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶτταν. * Ἔστι δὲ, τῶν σημείων, τὸ μὲν, ὡς τὸ καθ᾽ ἕκαστον πρὸς τὸ καθόλου, ὧδε· οἷον εἴ τις εἴποιεν σημεῖον εἶναι, ὅτι οἱ σοφοὶ δίκαιοι, Σωκράτης γὰρ σοφὸς ἦν καὶ δίκαιος. τοῦτο μὲν οὖν σημεῖόν ἐστι· λυτὸν δὲ, κἂν ἀληθὲς ᾖ τὸ εἰρημένον· ἀσυλλόγιστον γάρ, τὸ δὲ, οἷον εἴ τις εἴποι σημεῖον ὅτι νοσεῖ, πυρέττει γάρ· ἢ τέτοκεν, ὅτι γάλα ἔχει, ἀναγκαῖον·

Quocircà genus hoc ſignorum tecmerium dicitur, hoc eſt, indicium, ac propria nota: cùm enim id, quod dixerint, nullo modo ſolvi poſſe exiſtimant, tunc opinantur, id ſignum tecmerium eſſe, atque ita ipſum appellant, tanquam quod jam probatum, atque confectum ſit: priſca enim Græcorum lingua, tecmar, idem erat, quod extremum, atque ultimum. * Genus autem il- 31
lud ſignorum, quod ita ſe habet ad id, cujus ſignum eſt, ſicut ſingulę res ad univerſum genus, tale eſt, ut, ſi quis affirmaret, ſignum eſſe viros ſapientes eſſe etiam juſtos, quia Socrates erat ſapiens, & juſtus, hoc quidem, certè ſignum eſt, ſed facilè diſſolvi, ac refelli poteſt, etiam ſi verum fuerit, id, quod dicitur: nihil enim in ſe firmi habet, neque neceſſariò concluditur. Quòd ſi quis ita dicat, Hunc hominem ægrotare, ſignum eſt eò, quòd febri laborat: aut, Hæc mulier peperit, quoniam lac habet, jam hoc erit firmũ, & neceſſariè concluſum.

Atque hoc ſignorum genus ſolum tecmerium, ac propria nota vocatur, ſolumque, ſi verum fuerit id, quod dicitur, refelli non poteſt. Alterum genus ſignorum, quod ita ſe habet ad id, cujus eſt ſignum, ſicuti, quod eſt in univerſo genere, ad id, quod in parte eſt, fit hoc modo, ut, ſi quis diceret, Hunc hominem febri laborare, ſignum eſt eò, quòd crebrò reſpirat. Sed hoc facilè ſolvi poteſt, etiam ſi verum fuerit, quoniam accidit etiam eum, qui febri non laborat, aliquando crebrò reſpirare. Quid igitur veriſimile ſit, & quid ſignum, & propria nota, quaque ratione differant, ſatis pro tempore dictum ſit: planiùs enim, atque dilucidiùs de his omnibus, & qua de cauſa partim quidem nihil certi concludant, partim autem concluſionem firmam, ſtabilemque habeant, in Analyticis libris jam anteà diſputavimus.

32 6 * Quod autem exemplum ſit idem, quod inductio, & quibus in rebus inductio fit, oſtenſum eſt,

ὅπερ τῶν σημείων τεκμήριον μόνον ἐστί. μόνον γὰρ ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστι· τὸ δὲ, ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος ἔχον· οἷον εἴ τις εἴποιεν, ὅτι πυρέττει, σημεῖον εἶναι. πυκνὸν γὰρ ἀναπνεῖ· λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ. ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευστιᾶν. τί μὲν οὖν εἰκός ἐστι, καὶ τί σημεῖον, καὶ τί τεκμήριον, καὶ τί διαφέρουσιν, εἴρηται μὲν καὶ νῦν, μᾶλλον δὲ φανερῶς καὶ περὶ τούτων, καὶ διὰ τίνα αἰτίαν, τὰ μὲν ἀσυλλόγιστά ἐστι, τὰ δὲ συλλελογισμένα, ἐν τοῖς Ἀναλυτικοῖς διώρισται περὶ αὐτῶν.

ϛʹ. * Παράδειγμα δὲ, ὅτι μέν ἐστιν ἐπαγωγὴ, καὶ περὶ ποῖα ἐπαγωγὴ, εἴρηται.

ἔτι

ἔστι δὲ, οὔτε ὡς μέρος πρὸς ὅλον, οὔτε ὡς ὅλον πρὸς μέρος, οὔτε ὡς ὅλον πρὸς ὅλον· ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ γένος γνωριμώτερον δὲ θάτερον ᾖ θατέρου, παράδειγμά ἐστιν· οἷον, ὅτι ἐπεβούλευε τυραννίδι Διονύσιος, αἰτῶν τὴν φυλακήν· καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων, ᾔτει φυλακὴν, καὶ λαβὼν ἐτυράννησε· καὶ Θεαγένης, ἐν Μεγάροις. καὶ ἄλλοι ὅσους ἴσασι, παράδειγμα πάντες γίνονται τοῦ Διονυσίου· ὃν οὐκ ἴσασί πω, εἰ διὰ τοῦτο αἰτεῖ. πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου, ὅτι ὁ ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ. ἐξ ὧν μὲν οὖν λέγονται αἱ δοκοῦσαι εἶναι πίστεις ἀποδεικτικαὶ, εἴρηται.

ſed tamen non ita ſe habet, ut pars ad totum, neque ut totum ad partem, neque ut totum ad totum: verùm ut pars ad partem, & quod ſimile eſt ad id, cui eſt ſimile. Cùm enim ambo illa, quæ ſumuntur, ſub eodem genere poſita fuerint, & alterum altero notius, & apertius ſit, tunc id exemplum eſt; ut, ſi quis probare velit, Dionyſium appetere dominatum regium, cum ſalutis ſuæ cuſtodes petat, & dicat, Piſiſtratum anteà cuſtodes petiiſſe, cùm regnum appeteret, & cùm eos impetraſſet, tyrannidem occupaſſe: Theagenemque idem Megaris feciſſe, & alios, quoſcunque noverit, idem feciſſe. Omnes exemplum fient Dionyſii, quem adhuc ignorant, an ea de cauſa cuſtodes petat; hæc enim omnia ſub eodem genere, ac propoſito continentur, quòd quicunque regnum appetit, cuſtodes ſalutis ſuæ petit. Jam igitur unde probationes illæ ducuntur, quæ ſpeciem habent demonſtrandi, declaratum eſt.

33 7 * In ipſis autem
enthymematibus maxima
eſt differentia, quæ om-
nes ferè plurimum fallit,
atque eadem eſt enthy-
mematum differentia,
quæ in diſſerendi ratio-
ne ſyllogiſmorum eſt.
Nam enthymemata quæ-
dam ipſius artis dicendi
propria, ſicuti ſyllogiſ-
mi etiam quidam Diale-
cticæ proprii ſunt, quæ-
dam autem ad alias artes,
& facultates pertinent:
quæ vel jam inventæ ſunt,
& excultæ, vel nondum
planè cognitæ, penituſ-
que perſpectæ ſunt. Ita-
que ſæpè fit, ut audi-
tores fallant, & qui hujuſ-
modi enthymemata ma-
gis, quàm conveniat, am-
plectuntur, artis oratoriȩ
34 fines tranſiliunt. * Hoc
autem, quod dico, clarius,
& apertius erit, ſi pluribus
verbis explicetur. Eos e-
nim ego Dialecticos, &
oratorios ſyllogiſmos vo-
co, qui ducuntur ex locis,
in quibus latent argumen-
ta. Loci verò dicuntur
ii, qui communiter de
rebus, quæ ad mores; &
ad naturam, & ad civi-
lem ſcientiam pertineat,

ζʹ. * Τῶν δὲ ἐνθυμημάτων μεγάλη διαφορά, καὶ μάλιστα λεληθυῖα σχεδὸν πάντας ἐστίν, ἥπερ καὶ περὶ τὴν Διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ μὲν γὰρ αὐτῶν ἐστὶ κατὰ τὴν Ῥητορικήν, ὥσπερ καὶ κατὰ τὴν Διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ δέ, κατ' ἄλλας τέχνας καὶ δυνάμεις, τὰς μὲν οὔσας, τὰς δέ, οὔπω κατειλημμένας· διὸ καὶ λανθάνουσί τε τοὺς ἀκροατάς, καὶ μᾶλλον ἁπτόμενοι κατὰ τρόπον, μεταβαίνουσιν ἐξ αὐτῶν. * Μᾶλλον δὲ σαφὲς ἔσται τὸ λεγόμενον, διὰ πλειόνων ῥηθέν. λέγω γὰρ Διαλεκτικούς τε καὶ Ῥητορικοὺς συλλογισμοὺς εἶναι, περὶ ὧν τοὺς τόπους λέγομεν· οὗτοι δ' εἰσὶν οἱ κοινῇ περὶ δικαίων, καὶ φυσικῶν, καὶ περὶ πολιτικῶν,

καὶ

καὶ περὶ πολλῶν διαφερόντων τῷ εἴδει· οἷον, ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος· οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι, ἢ ἐνθύμημα εἰπεῖν περὶ δικαίων, ἢ φυσικῶν, ἢ περὶ ὁτουοῦν. καίτοι ταῦτα εἴδει διαφέρει. ἴδια δὲ, ὅσα ἐκ τῶν περὶ ἕκαστον εἶδος καὶ γένος προτάσεών ἐστιν· οἷον, περὶ φυσικῶν εἰσι προτάσεις, ἐξ ὧν οὔτε ἐνθύμημα, οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν· καὶ περὶ τούτων ἄλλαι, ἐξ ὧν οὐκ ἔσται περὶ τῶν φυσικῶν· ὁμοίως δὲ τοῦτο ἔχει ἐπὶ πάντων. κἀκεῖνα μὲν οὐ ποιήσει περὶ οὐδὲν γένος ἔμφρονα· περὶ οὐδὲν γὰρ ὑποκείμενόν ἐστι·

& denique ad alia multa, quæ ſpecie inter ſe differant, argumenta continent, ut locus, qui ex majore, & minore dicitur, neque enim ex hoc loco magis de rebus juſtis, quàm de rebus naturalibus, aut de qualibet alia re, vel ſyllogiſmo concludere aliquid, vel enthymemate probare licet. Atqui hæc ſine dubio ſpecie differunt. Propria verò cujuſque artis argumenta ſunt, quæ conſtant è propoſitionibus ab arte illa ipſa deſumptis: exempli gratia, in rebus naturalibus propoſitiones ſunt, ex quibus nemo poterit aut enthymema, aut ſyllogiſmum formare, qui ad vitam, & mores pertineat: & in moralibus rebus ſunt aliæ propoſitiones, ex quibus nihil concludi poteſt, quod ad naturam ſpectet: atque eadem eſt in ceteris omnibus ratio. Illa verò argumenta, quæ communiter ex locis ſumuntur neminem poſſunt hujus, aut illius artis peritum facere, quoniam nullam habent certam ſibi ſubjectam materiam.

Atqui proprias artium propoſitiones quanto quis exquiſitiores elegerit, tanto magis à propoſito ſuo aberrabit, & in alia ſcientia verſabitur, quàm in Dialectica, aut Rhetorica. Si enim ad alicujus artis principia pervenerit: jam non erit Dialectica, aut Rhetorica, ſed erit illa ipſa ars, cujus ea principia fuerint, majori autem parte enthymemata fiunt ex propoſitionibus illis, quæ propriæ, peculiaresque ſunt alicujus artis, è communibus autem locis longè pauciora.
35 * Quemadmodum igitur in Topicis, ita etiam in hoc opere diſtinguendæ ſunt enthymematum ſpecies, & loci, unde ſumuntur argumenta. Voco autem ſpecies enthymematum, proprias cujuſque generis propoſitiones: locos verò ſedes argumentorum, æqualiter omnibus communes. Priùs igitur de formis enthymematum, quàm de locis, dicamus: ac primò Rhetoricæ genera videamus:

ταύτας δ' ὅσῳ τις ἂν βελτίω ἐκλέγηται τὰς προτάσεις, λήσει ποιήσας ἄλλην ἐπιστήμην τῆς Διαλεκτικῆς καὶ Ῥητορικῆς· ἂν γὰρ ἐντύχῃ ἀρχαῖς, οὐκ ἔτι Διαλεκτική, οὐδὲ Ῥητορική, ἀλλ' ἐκείνη ἔσται, ἧς ἔχει τὰς ἀρχάς. ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα, τῶν κατὰ μέρος καὶ ἰδίων· ἐκ δὲ τῶν κοινῶν, ἐλάττω. * Καθάπερ οὖν καὶ ἐν τοῖς Τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους, ἐξ ὧν ληπτέον. λέγω δὲ, εἴδη μὲν, τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις· τόπους δὲ, τοὺς κοινοὺς ὁμοίως πάντων. πρότερον οὖν εἴπωμεν περὶ τῶν εἰδῶν. πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς Ῥητορικῆς,

ὅπως

ὅπως διελόμενοι πόσα ἐστὶ, περὶ τούτων χωρὶς λαμβάνωμεν τὰ στοιχεῖα καὶ τὰς προτάσεις.

ut, cum ea, quot numero ſint, explicuerimus; ſigillatim deinde cujuſque generis elementa, propoſitioneſque tractemus.

CAPUT III.

De tribus Rhetoricæ generibus.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Quot ſint dicendi genera.*
2 *Quot ſint eorum partes, tempora, ac fines.*
3 *Quæ propoſitiones ex ſingulis generibus ſumendæ ſint.*

α. * ἜΣΤΙ δὲ τῆς Ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν· τοσοῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες. σύγκειται μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τοῦ λέγοντος, καὶ περὶ οὗ λέγει, καὶ πρὸς ὅν· καὶ τὸ τέλος πρὸς τοῦτόν ἐστι, λέγω δὲ τὸν ἀκροατήν. ἀνάγκη δὲ τὸν ἀκροατὴν, ἢ θεωρὸν εἶναι, ἢ κριτήν. κριτὴν δὲ, ἢ τῶν γεγενημένων, ἢ τῶν μελλόντων. ἔστι δ', ὁ μὲν περὶ τῶν μελλόντων κρίνων.

1 * SUNT autem Rhetoricæ genera numero tria, tot enim etiam auditorum genera reperiuntur: nam ex tribus rebus oratio conſtat, ex eo qui dicit, ex materia de qua dicitur, ex eo apud quem verba fiunt. Quin etiam cujuslibet orationis finis ad auditorem refertur. Neceſſe eſt autem, ut is, qui audit, vel auſcultator tantùm ſit, vel etiam diſceptator: diſceptator verò, qui vel de præteritis ſtatuat, vel de futuris. Et de futuris quidem ſtatuit, 36

ut is qui in concione dicentem audit: de præteritis autem, ut judex. At verò auſcultator de oratoris facultate judicat. Quare neceſſe eſt tria cauſarum eſſe genera, deliberationis, judicii, exornationis.

37 2 * Deliberationis autem duæ ſunt partes: altera ſuaſio, altera diſſuaſio: nam & qui privatè de re aliqua deliberant, & qui publicè concionantur, ſemper horum alterutrum efficiunt. Judicii verò partes ſunt accuſatio, & defenſio: qui enim in judicio verſantur, horum alterum facere oportet. Exornationis denique partes ſunt laus, & vitupera-

38 tio. * Quin etiam horum trium generum tempora diſtincta ſunt; nam deliberationi futurum tempus datur: qui enim deliberat, ſive ſuadeat, ſive diſſuadeat, de futuris deliberat. Judicio verò præteritum tempus eſt propoſitum: nam de rebus jam factis ſemper hic quidem accuſat, ille autem defendit.

οἷον ἐκκλησιαστής· ὁ δὲ περὶ τῶν γεγενημένων, οἷον ὁ δικαστής· ὁ δὲ περὶ τῆς δυνάμεως, οἷον ὁ θεωρός· ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικὸν, δικανικὸν, ἐπιδεικτικόν.

β'. * Συμβουλῆς δὲ, τὸ μὲν, προτροπή, τὸ δὲ ἀποτροπή· ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες, καὶ οἱ κοινῇ δημηγοροῦντες, τούτων θάτερον ποιοῦσι. δίκης δὲ, τὸ μὲν, κατηγορία· τὸ δὲ, ἀπολογία· τούτων γὰρ ὁποτερονοῦν ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας. ἐπιδεικτικοῦ δὲ, τὸ μὲν, ἔπαινος, τὸ δὲ, ψόγος. * Χρόνοι δὲ ἑκάστου τούτων εἰσὶ, τῷ μὲν συμβουλεύοντι, ὁ μέλλων. περὶ γὰρ τῶν ἐσομένων συμβουλεύει, ἢ προτρέπων, ἢ ἀποτρέπων· τῷ δὲ δικαζομένῳ, ὁ γενόμενος· περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ, ὁ μὲν, κατηγορεῖ, ὁ δὲ, ἀπολογεῖται.

τῷ δ' ἐπιδεικτικῷ, κυριώτατος μὲν ὁ παρών· κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν, ἢ ψέγουσι πάντες· προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες, καὶ τὰ μέλλοντα προεικάζοντες. * Τέλος δὲ ἑκάστοις τούτων ἕτερόν ἐστι· καὶ τρισὶν οὖσι, τρία· τῷ μὲν συμβουλεύοντι, τὸ συμφέρον καὶ βλαβερόν· ὁ μὲν γὰρ προτρέπων, ὡς βέλτιον συμβουλεύει· ὁ δὲ ἀποτρέπων, ὡς χεῖρον ἀποτρέπει· τὰ δ' ἄλλα πρὸς τοῦτο συμπαραλαμβάνει, ἢ δίκαιον ἢ ἄδικον, ἢ καλὸν ἢ αἰσχρόν. τοῖς δὲ δικαζομένοις, τὸ δίκαιον καὶ τὸ ἄδικον· τὰ δ' ἄλλα καὶ οὗτοι συμπαραλαμβάνουσι πρὸς ταῦτα· τοῖς δὲ ἐπαινοῦσι καὶ ψέγουσι, τὸ καλὸν καὶ τὸ αἰσχρόν· τὰ δ' ἄλλα καὶ οὗτοι πρὸς ταῦτα ἐπαναφέρουσι.

Exornationis maximè quidem proprium eſt præſens tempus, qui enim laudant, vel vituperant aliquem, ea, quæ tunc in eo ſunt, conſiderant; ſed tamen etiam præterita reminiſcentes commemorant, & de futuris conjecturam faciunt. * Finis prætereà 39
cuique generi propoſitus eſt, &, cum tria ſint genera, tres etiam erunt fines: nam in deliberando finis eſt utilitas, & detrimentum, qui enim ſuadet aliquid, illud tanquam melius ſuadet, & qui diſſuadet, tanquam deterius diſſuadet. Alia verò omnia huc referuntur; ut ſi quid juſtum aut injuſtum, honeſtum aut turpe dicatur. In judiciis quid æquum, aut iniquum ſit, quæritur, ſi qua verò ſunt alia, huc referuntur. In exornationibus, qui laudant & vituperant, honeſtum & turpe ſibi proponunt, & reliqua omnia huc referunt.

40 * Quòd autem hi ſint fines, unicuique generi propoſiti, illud apertè declarat, quòd de aliis rebus interdum ne contendunt quidem, ut in judicio, quin fecerit, aut quin læſerit, ſed nemo unquam, injuſtè ſe feciſſe fateretur, alioquin omnis ſtatim controverſia tolleretur. Eodem modo, qui conſulunt, alia ſæpenumerò non curant; ſed nunquam faterentur, ſe vel inutilia ſuadere, vel ab utilibus retrahere. Quin ſæpè non verentur dicere, non eſſe injuſtum, aut finitimos populos, aut eos, qui nihil læſerunt, in ſervitutem redigere. Simili ratione, qui laudant, aut vituperant, non illud attendunt; utrum is, de quo dicunt, utilia, an inutilia fecerit, ſed etiam in magna ſæpè laude ponunt, ſi quis, utilitate propria neglecta, honeſtum aliquid effecerit: ut Achillem in eo laudant,

* Σημεῖον δ', ὅτι τὸ εἰρημένον ἑκάστοις τέλος· περὶ μὲν γὰρ τῶν ἄλλων ἐνίοτε οὐκ ἂν ἀμφισβητήσαιεν· οἷον, ὁ δικαζόμενος, ὡς οὐ γέγονεν, ἢ ὡς οὐκ ἔβλαψεν· ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν ὁμολογήσαιεν· οὐδὲν γὰρ ἂν ἔδει δίκης· ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες, τὰ μὲν ἄλλα πολλάκις προΐενται· ὡς δὲ ἀσύμφορα συμβουλεύουσιν, ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν, οὐκ ἂν ὁμολογήσαιεν· ὡς δ' οὐκ ἄδικον τοὺς ἀσυγείτονας καταδουλοῦσθαι, καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν φροντίζουσιν. ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες, καὶ οἱ ψέγοντες, οὐ σκοποῦσιν, εἰ συμφέροντα ἔπραξεν, ἢ βλαβερά· ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν, ὅτι ὀλιγωρήσας τοῦ αὑτῷ λυσιτελοῦντος, ἔπραξέ τι καλόν· οἷον Ἀχιλλέα ἐπαινοῦσιν,

ὅτι ἐβοήθησε τῷ ἑταίρῳ Πατρόκλῳ, εἰδὼς, ὅτι δεῖ αὐτὸν ἀποθανεῖν, ἐξὸν ζῆν. τούτῳ δὲ, ὁ μὲν τοιοῦτος θάνατος κάλλιον, τὸ δὲ ζῆν, συμφέρον.

γʹ. * Φανερὸν δὲ ἐκ τῶν εἰρημένων, ὅτι ἀνάγκη περὶ τούτων ἔχειν πρῶτον τὰς προτάσεις· τὰ γὰρ τεκμήρια, καὶ τὰ εἰκότα, καὶ τὰ σημεῖα, προτάσεις εἰσὶ ῥητορικαί· ὅλως μὲν γὰρ συλλογισμὸς ἐκ προτάσεών ἐστι· τὸ δ' ἐνθύμημα, συλλογισμός ἐστι, συνεστηκὼς ἐκ τῶν εἰρημένων προτάσεων. * Ἐπεὶ δὲ οὔτε πραχθῆναι οἷόν τε, οὔτε πραχθήσεσθαι τὰ ἀδύνατα, ἀλλὰ τὰ δυνατά· οὐδὲ τὰ μὴ γενόμενα, ἢ μὴ ἐσόμενα, οὐχ οἷόν τε, τὰ μὲν, πεπρᾶχθαι, τὰ δὲ, πραχθήσεσθαι. ἀναγκαῖον καὶ τῷ συμβουλεύοντι, καὶ τῷ δικαζομένῳ,

quòd opitulatus eſt Patroclo ſodali ſuo, quamvis ſciret ea de cauſa ſe moriturum, cum liceret ei vivere. Huic igitur mors ejuſmodi in primis honeſta fuit, vita verò fuiſſet utilis.

3 * Perſpicuum eſt au- 41
tem ex iis, quæ dicta
ſunt, non aliter hæc
tractari poſſe; niſi quis
primò eorum propoſitiones
habuerit. Propoſitiones
verùm rhetorum
ſunt propriæ rerum notæ,
veriſimilia, & ſigna:
nam omnis ſyllogiſmus
ex propoſitionibus conflatur.
Enthymema verò
ſyllogiſmus quidam eſt,
qui conſtat ex prædictis
rhetorum propoſitionibus.
* Sed, quia quæ 42
fieri nullo modo poſſunt,
ea neque poſſunt
jam eſſe facta, neque
poſtea fieri: nam ea
tantùm fiunt, quæ fieri
poſſunt, eodem modo,
quæ nunquam fuerunt,
neque futura ſunt,
ea, non fieri poteſt,
ut aut facta ſint, aut
unquam fiant. Ideò neceſſe
eſt, ut qui conſulit,
& qui in judicio,

& qui in demonſtrativo genere verſatur, propoſitiones habeat de eo, quod fieri poteſt, aut non poteſt: ex quibus intelligatur, utrum res facta ſit, an non facta: & utrum futura ſit, an non. Præterea, cum omnes, qui laudant & vituperant, qui ſuadent, & diſſuadent, qui accuſant, & defendunt, non ſolùm prædicta demonſtrare conentur: ſed etiam rem vel magnam, vel parvam eſſe, vel bonam, vel malam, vel honeſtam, vel turpem, vel æquam, vel iniquam, aut per ſe conſideratam, aut aliarum comparatione: perſpicuum eſt, eos etiam oportere de magnitudine, & parvitate rerum, & de majori, & minori propoſitiones habere, atque illas, & generatim, & ſigillatim; ut quod majus bonum, aut minus: quod majus peccatum, aut meritum, & de aliis eodem modo. Sed hactenus dictum eſt, quarum rerum propoſitiones ſibi parare oratorem neceſſe eſt.

καὶ τῷ ἐπιδεικτικῷ, ἔχειν προτάσεις περὶ δυνατοῦ καὶ ἀδυνάτου· καὶ εἰ γέγονεν, ἢ μή· καὶ εἰ ἔσται, ἢ μή. ἔτι δὲ, ἐπεὶ ἅπαντες καὶ ἐπαινοῦντες καὶ ψέγοντες, καὶ προτρέποντες καὶ ἀποτρέποντες, καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι οὐ μόνον τὰ εἰρημένα δεικνύναι πειρῶνται, ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν, ἢ τὸ ἀγαθὸν ἢ τὸ κακὸν, ἢ τὸ καλὸν ἢ τὸ αἰσχρὸν, ἢ τὸ δίκαιον ἢ τὸ ἄδικον, ἢ καθ' αὐτὰ λέγοντες, ἢ πρὸς ἄλληλα ἀντιπαραβάλλοντες, δῆλον ὅτι δέοι ἂν καὶ περὶ μεγέθους καὶ σμικρότητος, καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, προτάσεις ἔχειν, καὶ καθόλου καὶ περὶ ἑκάστου· οἷον, τί μεῖζον ἀγαθὸν ἢ ἔλαττον, ἢ ἀδίκημα ἢ δικαίωμα· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων. περὶ ὧν μὲν οὖν ἐξ ἀνάγκης δεῖ λαβεῖν τὰς προτάσεις, εἴρηται.

μετὰ δὲ ταῦτα διαιρετέον ἰδίᾳ περὶ ἑκάστου τούτων· οἷον, περὶ ὧν συμβουλὴ, καὶ περὶ ὧν οἱ ἐπιδεικτικοὶ λόγοι· τρίτον δὲ, περὶ ὧν αἱ δίκαι.

Deinceps verò de unoquoque genere ſeparatim dicemus: ut, quæ ſint ea, ex quibus deliberatio conficitur, & ex quibus orationes demonſtrativæ, tertiò verò de quibus eſt judicium.

CAPUT IV.

De iis, circa quæ verſatur deliberatio.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Quid ſit id quod in deliberationem cadit.*
2 *Accuratam, & perfectam ſcientiam deliberabilium non ſpectare ad Rhetoricam, ſed ad Politicam.*
3 *Quinque præcipuè eſſe, circa quæ deliberatio verſatur.*

α. * ΠΡΩ͂ΤΟΝ μὲν οὖν ληπτέον, περὶ ποῖα ἀγαθὰ ἢ κακὰ ὁ συμβουλεύων συμβουλεύει· ἐπειδὴ οὐ περὶ ἅπαντα, ἀλλ' ὅσα ἐνδέχεται καὶ γενέσθαι, καὶ μή· ὅσα δὲ ἐξ ἀνάγκης ἢ ἔστιν ἢ ἔσται, ἢ ἀδύνατον εἶναι ἢ γενέσθαι, περὶ τούτων οὐκ ἔστι συμβουλή. οὐδὲ δὴ περὶ τῶν ἐνδεχομένων ἁπάντων·

1 * AC primò quidem videndum eſt, in quibus bonis, aut malis verſetur is, qui deliberat: neque enim verſatur in omnibus; ſed in eis tantùm, quæ naturam eam habent, ut & fieri, & non fieri poſſint. Quæcunque verò neceſſariè vel jam ſunt, vel poſthac erunt, vel quæ fieri non poteſt, ut aut nunc ſint, aut aliquando fiant; de iis ſanè deliberatio non eſt. Neque tamen de omnibus, quæ contingere ſolent, eſt deliberatio, 43

Cum

Cum aliqua vel à natura, vel à fortuna bona ſint, quæ aut contingere, aut non contingere poſſunt, de quibus nemo deliberare poteſt. Sed planum eſt in iis eſſe deliberationem, de quibus conſultamus. Ea verò ſunt, quæ ad nos tantùm referri poſſunt: & quorum principium agendi in noſtro arbitrio, poteſtateque ſitum eſt: nam uſque eò conſultando procedimus, donec invenerimus, utrum à nobis ea fieri, an non fieri poſſint. Singula igitur diligenter enumerare, atque in ſpecies digerere, de quibus ſtatuere ſolent.

44 2 * Et quantum fieri poſſet ex veritate perpendere, nihil opus eſt in præſentia: neque enim hoc Rhetoricæ artis officium eſt, ſed alterius, quæ diligentiùs, & accuratiùs veritatem inveſtiget. Tantum verò abeſt, ut aliquid Rhetoricæ detrahamus, ut etiam ei longè plura concedamus, quàm re vera concedi debeant.

ἔστι γὰρ καὶ φύσει ἔνια, καὶ ἀπὸ τύχης γινόμενα ἀγαθὰ, τῶν ἐνδεχομένων καὶ γίνεσθαι καὶ μή· περὶ ὧν οὐδὲν πρὸ ἔργου τὸ συμβουλεύειν· ἀλλὰ δῆλον, ὅτι περὶ ὅσων ἐστὶ τὸ βουλεύεσθαι· τοιαῦτα δ' ἐστὶν ὅσα πέφυκεν ἀνάγεσθαι εἰς ἡμᾶς, καὶ ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐφ' ἡμῖν ἐστι· μέχρι γὰρ τούτου σκοποῦμεν, ἕως ἂν εὕρωμεν, εἰ ἡμῖν δυνατὰ, ἢ ἀδύνατα πρᾶξαι. καθ' ἕκαστον μὲν οὖν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν.

β΄. * Ἔτι δ', ὅσον ἐνδέχεται περὶ αὐτῶν διορίσαι κατὰ τὴν ἀλήθειαν, οὐ δεῖ κατὰ τὸν παρόντα καιρὸν ζητεῖν, διὰ τὸ μήτε τῆς Ῥητορικῆς εἶναι τέχνης, ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς· πολλῷ γὰρ πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων·

ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν, ἀληθές ἐστιν, ὅτι ἡ Ῥητορικὴ, σύγκειται μὲν ἔκ τε τῆς Ἀναλυτικῆς ἐπιστήμης, καὶ τῆς περὶ τὰ ἤθη Πολιτικῆς· ὁμοία δ' ἐστὶ, τὰ μὲν, τῇ Διαλεκτικῇ, τὰ δὲ, τοῖς σοφιστικοῖς λόγοις. ὅσῳ δ' ἄν τις, ἢ τὴν Διαλεκτικὴν, ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις, ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας, τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων. * Ὅμως δὲ, ὅσα πρὸ ἔργου μέν ἐστι, διελεῖν· ἔτι δ', ὑπολείπει σκέψιν τῇ Πολιτικῇ ἐπιστήμῃ, εἴπωμεν καὶ νῦν:

Quod enim anteà diximus, verum eſt, nempe Rhetoricam ex Analytica ſcientia, & parte civilis facultatis, quæ in moribus verſatur, eſſe conflatam. Similis eſt autem partim quidem Dialecticæ, partim verò ſophiſticis diſputationibus. Quod ſiquis vel Dialecticam, vel hanc artem, non tanquam facultates, ſed tanquam ſcientias, exquiſitiùs tractare voluerit, imprudens earum naturam penitùs evertet: eo quòd illas ornandi ſtudio captus, tranſeat in ſcientias, quæ jam res aliquas certas, in quibus verſentur, ſubjectas habent, non autem rationes, & argumenta tantùm. * Verùm nos, quæ 45 utilitatem afferant huic arti, in præſentia pertractemus, ita tamen, ut exquiſitam eorum explicationem civili ſcientiæ relinquamus.

γ'. Σχεδὸν γὰρ, περὶ ὧν βουλεύονται πάντες, καὶ περὶ ἃ ἀγορεύουσιν οἱ συμβουλεύοντες,

3 Res igitur maximæ, de quibus omnes ferè conſultant, & de quibus deliberantes in concione ſententiam dicunt, quin-

quinque numero ſunt,
hoc eſt, de vectigalibus,
de bello, & pace, de
cuſtodia regionis, de
iis quę importantur, &
exportantur, de feren-
46 dis legibus. * Itaque
ſi quis de vectigalibus be-
nè conſulturus eſt; eum
redditus civitatis noſſe
oportet, quot, quales-
ve ſint: ut, ſi quis ne-
gligentia relictus ſit, ad-
jungatur, &, ſi quis mi-
nor eſt, quàm confici
poſſit, augeatur; præ-
tereà publicos civita-
tis ſumptus noſſe de-
bet: ut, ſi quis ſuperva-
caneus eſt, adimatur:
& ſi quis major eſt,
quàm conveniat, minua-
tur: non enim ſolùm
bona amplificando ditio-
res evadunt homines,
ſed etiam ſumptus de-
trahendo. Hæc autem
non tantùm ex privata-
rum rerum ſcientia poſ-
ſunt intelligi: ſed e-
tiam hiſtoriarum peri-
tum eſſe oportet, qui
benè de his conſul-
turus ſit, ut ſciat,
quomodo aliæ nationes
ad hanc rem idoneas
rationes invenerint.

τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα· ταῦτα δ' ἐστὶ, περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης· ἔτι δὲ, περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ περὶ νομοθεσίας. * Ὥστε, περὶ μὲν πόρων τὸν μέλλοντα συμβουλεύσειν, δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι, τίνες, καὶ πόσαι, ὅπως, εἴτε τις παραλείπεται, προστεθῇ καὶ εἴ τις ἐλάττων, αὐξηθῇ. ἔτι δὲ, τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος, ἀφαιρεθῇ. καὶ εἴ τις μείζων, ἐλάττων γένηται· οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων. ταῦτα δ', οὐ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέχεται συνορᾶν· ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων, ἱστορικὸν εἶναι, πρὸς τὴν περὶ τούτων συμβουλήν.

* Περὶ

* Περὶ δὲ πολέμου καὶ εἰρήνης, τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη, καὶ πόσην ἐνδέχεται ὑπάρξαι· καὶ ποία τις, ἥ τε ὑπάρχουσα ἤδη, καὶ ἥτις ἐνδέχεται προσγενέσθαι. ἔτι δὲ, πολέμους τινὰς, καὶ πῶς πεπολέμηκεν· οὐ μόνον δὲ τῆς οἰκείας πόλεως, ἀλλὰ καὶ τῶν ὁμόρων, ταῦτα ἀναγκαῖον εἰδέναι· ἢ καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν, ὅπως, πρὸς μὲν τοὺς κρείττους, εἰρηνεύηται, πρὸς δὲ τοὺς ἥττους. ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν. καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι, ἢ ἀνόμοιαι· ἔστι γὰρ καὶ ταύτῃ πλεονεκτεῖν, ἢ ἐλαττοῦσθαι. ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα, μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι, ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς ἀποβαίνουσιν· ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν.

* Qui verò de bello, & 47
pace conſulturus eſt, copias civitatis noſſe debet: & quæ paratæ jam ſint, & quæ parari poſſint; qualeſque ſint & illæ, quæ ſunt in promptu, & illæ quæ præterea adjungi: quin etiam quæ bella geſſerit, & quo exitu. Neque tantùm propriæ civitatis bella, ſed etiam finitimarum civitatum expendere opus eſt: & præterea vires eorum, contra quos bellum fore exiſtimatur: ut cum potentioribus pax habeatur: cum inferioribus, in eorum, quibus conſilium datur, arbitrio ſit, utrum bellum gerere velint, copias quoque ſpectare oportet, utrum ſimiles, an diſſimiles ſint: nam hac de cauſa ſæpè contingit, vel ſuperiores in bello, vel inferiores eſſe. Præter hæc etiam opus eſt, non tantùm ſuæ Reipublicæ bella, ſed aliorum etiam populorum animadvertere, & quem exitum illa habuerint, ſpectare: nam è ſimilibus rebus ſimilia evenire conſueverunt.

48 * De cuſtodia regionis qui dicturus eſt, ſcire debet, qua ratione cuſtodiri poſſit, & quot ei rei copiæ, qualesque ſint neceſſariæ: præterea locos, ubi præſidia ſint collocanda: quæ, niſi ſit peritus regionis, ſcire non poterit. Atque hæc ideò noſcenda ſunt, ut, ſi minor ſit, quàm oporteat; augeatur cuſtodia, ſi qua redundans, auferatur, & ad locos magis opportunos traduca-
49 tur. * De annona videndum erit, quanta, qualiſque civitati ſufficere poſſit, &, cujus generis ſit ea, quæ ibi naſcitur, & quæ aliunde importatur: &, quæ ſint eæ res, quas exportare, & quas importare oporteat; ut conventiones, & pactiones cum eis fiant, quibuſcum opus eſt. Duo ſunt enim hominum genera, quos obſervare neceſſe eſt, ne à civibus offendantur; nempè qui potentiores ſunt, & qui rebus ſuppeditandis
50 utile eſſe poſſunt. * Hæc omnia ſubtiliter videndi facultatem habeat oportet, qui de civitatis ſecuritate conſulturus eſt.

* Ἔτι δέ, περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν, πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς, καὶ τὸ εἶδος, καὶ τοὺς τόπους τῶν φυλακτηρείων. τοῦτο δ' ἀδύνατον, μὴ ἔμπειρον ὄντα τῆς χώρας· ἵν' εἴτ' ἐλάττων ἡ φυλακή, προστεθῇ, καὶ εἴ τις περίεργος, ἀφαιρεθῇ· καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον. * Ἔτι δέ, περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει, καὶ ποία ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος· καὶ τίνων τ' ἐξαγωγῆς δέονται καὶ τίνων εἰσαγωγῆς· ἵνα πρὸς τούτους καὶ συμβολαὶ καὶ συνθῆκαι γίγνωνται· πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας, πρός τε τοὺς κρείττους, καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους. * Εἰς δ' ἀσφάλειαν, ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν·

οὐκ

Οὐκ ἐλάχιστον δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως· ὥστ' ἀναγκαῖον εἰδέναι, πόσα τέ ἐστι πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκε, καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας, αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι, φθείρονται· οἷον, δημοκρατία, οὐ μόνον ἀνιεμένη, ἀσθενεστέρα γίνεται, ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα· ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης, οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα, ἢ σιμὰ, οὕτω διατίθεται τὴν ῥῖνα, ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι.

Sed illud non parvi ponderis eſt, ferendarum legum rationem intelligere; cum in legibus poſita ſit totius civitatis ſalus. Itaque ſcire neceſſe eſt, quot ſint Rerump. genera, & quæ cuique generi proſint, & quæ interitum adferant, ſive illa Reip. propria ſint, ſive aliena, & ei contraria. Voco autem ea propria Reipublicæ, quæ interitum adferant: quoniam, uno excepto optimo civitatis ſtatu, reliquæ omnes Reſpublicæ & cum remittuntur, & cum efferuntur, intereunt, ut popularis ſtatus non ſolùm remiſſus fit imbecillior, & tandem in paucorum dominatum delabitur: ſed etiam, ſi vehementer efferatur, interit: quemadmodum vitia, pravitatesque naſi, qui vel grypus, vel ſimus ſit, non tantùm remiſſæ ad mediam, rectamqne formam veniunt; ſed etiam vehementer auctæ, ut ſi valdè fiat grypus, aut ſimus naſus, eo tandem perveniant, ut ne naſi quidem formam naſus habere videatur.

Illud

Illud autem in ferendis legibus utiliſſimum eſt, non ſolùm advertere, & conſiderare, quiſnam Reip. ſtatus anteacto tempore profuerit; ſed etiam apud exteras nationes, quæ Reip. ſpecies, quibus hominibus conveniant. Itaque perſpicuum eſt ad legum ferendarum ſcientiam plurimum conducere terrarum peragrationem, in qua multarum gentium inſtituta, legeſque licet agnoſcere. At verò in conſiliis publicis hiſtoriarum, & antiquitatis cognitio mirificè utilis eſt. Sed hæc omnia videre civilis ſcientiæ, non autem Rhetoricæ proprium officium eſt. Res igitur maximæ, quarum cognitionem eum habere oportet, qui benè conſulturus ſit, hæc ferè ſunt. Deinceps verò dicamus, quomodo vel ex his ipſis, vel ex aliis, quæ in deliberationem cadunt, & ad ſuadendum, & ad diſſuadendum argumenta ducere poſſimus.

χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας, τὸ μὴ μόνον ἐπαΐειν, τίς πολιτεία συμφέρει, ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν. ὥστε δῆλον, ὅτι πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι· ἐντεῦθεν γὰρ λαβεῖν ἔστι τοὺς τῶν ἐθνῶν νόμους· πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς, τὰς τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίας· ἅπαντα δὲ ταῦτα, πολιτικῆς, ἀλλ᾽ οὐ Ῥητορικῆς ἔργον ἐστί. περὶ ὧν μὲν οὖν ἔχειν δεῖ τὸν μέλλοντα συμβουλεύειν τὰ μέγιστα, τοσαῦτά ἐστιν. ἐξ ὧν δὲ δεῖ, καὶ περὶ τούτων, καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν.

CAPUT V.

De deliberantium fine, hoc eſt de felicitate.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Felicitatis definitio.*
2 *Plures eſſe felicitatis partes.*
3 *Singularum partium felicitatis definitiones.*

ά. * ΣΧΕΔῸΝ δὲ καὶ ἰδίᾳ ἑκάστῳ, καὶ κοινῇ πᾶσι σκοπός τίς ἐστιν, οὗ στοχαζόμενοι καὶ αἱροῦνται καὶ φεύγουσι· καὶ τοῦτό ἐστιν ἐν κεφαλαίῳ εἰπεῖν, ἥτ' εὐδαιμονία, καὶ τὰ μόρια αὐτῆς· ὥστε παραδείγματος χάριν λάβωμεν, τί ἐστιν, ὡς ἁπλῶς εἰπεῖν, ἡ εὐδαιμονία, καὶ ἐκ τίνων τὰ μόρια ταύτης. περὶ γὰρ ταύτης καὶ τῶν εἰς ταύτην συντεινόντων, καὶ τῶν ἐναντίων ταύτῃ, αἵ τε προτροπαὶ καὶ αἱ ἀποτροπαὶ πᾶσαί εἰσι· τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην, ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, δεῖ πράττειν.

1 * EST autem, & privatim ſingulis, & publicè ferè omnibus finis quidam propoſitus, ad quem aciem mentis dirigentes, omnia vel expetunt, vel fugiunt: atque, ut in ſumma dicam, ea eſt felicitas, & partes ejus. Quare ſumamus, exempli gratia, non ſubtiliter quidem, ſed ſimpliciter, quid felicitas ſit, & ex quibus conſtent ejus partes. De hac enim, & de iis, quæ ad hanc referuntur, & de contrariis huic omnes ſuaſiones, & diſſuaſiones eſſe ſolent: quæ enim felicitatem efficere poſſunt, aut aliquam ejus partem, aut ex minore majorem, ea ſunt ampleſtenda. 51

Quæ

Quæ verò illam vel corrumpunt, vel impediunt, vel contraria ſunt, omni-
52 nò ſunt fugienda. * Ponamus igitur, felicitatem eſſe vitæ proſperitatem cum virtute conjunctam, vel poſſeſſionem earum rerum, quibus vita contenta ſit, vel vitam cum ſecuritate jucundiſſimam, vel bonum, firmumque ſtatum poſſeſſionum, & corporum, cum facultate cuſtodiendi, atque amplificandi: omnes enim ferè confitentur felicitatem aut unum horum, aut plura ſimul eſſe.

53 2 * Quod ſi felicitas eſt hujuſmodi, neceſſe eſt ejus partes eſſe nobilitatem, gratiam, amicitiam proborum hominum, divitias, bonam prolem, multitudinem filiorum, facilem ſenectutem: præterea corporis virtutes, ut bonam valetudinem, pulchritudinem, vires, magnitudinem, certandi robur: quin etiam gloriam, honorem, proſperam fortunam, virtutem, atque ejus partes, prudentiam,

τὰ δὲ φθείροντα, ἢ ἐμποδίζοντα, ἢ τὰ ἐναντία ποιοῦντα, μὴ πράττειν. * Ἔστω δὴ εὐδαιμονία, εὐπραξία μετ' ἀρετῆς, ἢ αὐτάρκεια ζωῆς· ἢ ὁ βίος ὁ μετ' ἀσφαλείας ἥδιστος· ἢ εὐθένεια κτημάτων καὶ σωμάτων, μετὰ δυνάμεως φυλακτικῆς τε καὶ πρακτικῆς τούτων· σχεδὸν γὰρ τούτων ἓν, ἢ πλείω, τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες.

β΄. * Εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον ἀνάγκη αὐτῆς εἶναι μέρη, εὐγένειαν, πολυφιλίαν, χρηστοφιλίαν, πλοῦτον, εὐτεκνίαν, πολυτεκνίαν, εὐγηρίαν· ἔτι, τὰς τοῦ σώματος ἀρετάς, οἷον ὑγίειαν, κάλλος, ἰσχύν, μέγεθος, δύναμιν ἀγωνιστικήν, δόξαν, τιμήν, εὐτυχίαν, ἀρετήν, ἢ καὶ τὰ μέρη αὐτῆς, φρόνησιν, ἀν-

ἀνδρείαν, δικαιοσύνην, σωφροσύνην. οὕτω γὰρ ἂν αὐταρκέστατος εἴη, εἰ ὑπάρχοι αὐτῷ τά τ' ἐν αὐτῷ, καὶ τὰ ἐκτὸς ἀγαθά· οὐ γάρ ἐστιν ἄλλα παρὰ ταῦτα. ἔστι δὲ, ἐν αὐτῷ μὲν, τὰ περὶ ψυχὴν, καὶ τὰ ἐν σώματι· ἔξω δὲ, εὐγένεια, καὶ φίλοι, καὶ χρήματα, καὶ τιμή. ἔτι δὲ προσήκειν οἰόμεθα, δυνάμεις ὑπάρχειν καὶ τύχην· οὕτω γὰρ ἂν ἀσφαλέστατος ὁ βίος εἴη.

γ΄. * Λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον τί ἐστιν. εὐγένεια μὲν οὖν ἐστιν, ἔθνει μὲν καὶ πόλει, τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι, καὶ ἡγεμόνας τοὺς πρώτους ἐπιφανεῖς, καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν ἐπὶ τοῖς ζηλουμένοις· ἰδίᾳ δὲ, εὐγένεια, ἢ ἀπ' ἀνδρῶν, ἢ ἀπὸ γυναικῶν, καὶ γνησιότης ἀπ' ἀμφοῖν,

ſcilicet fortitudinem, juſtitiam; temperantiam. Hac enim ratione nullius rei ad benè, beatèque vivendum indigebit is, cui bona omnia, & quæ in eo ſunt, & quæ extrinſecùs adveniunt, affatim adfuerint: nam præter hæc, nulla bona ſunt. In ipſo verò ſunt ea, quæ vel in animo ſunt, vel in corpore. Extrinſecùs adveniunt, ut nobilitas, amici, pecuniæ, honor, opes etiam atque fortunam adeſſe oportere cenſemus: ſic enim fiet vita ſecuriſſima.

4 * Hæc igitur ſingula 54
quid ſint, definiendo aperiemus. Nobilitas gentis, & civitatis ea eſt, ſi ipſa ex ſeſe ſuos cives genuit, vel ſaltem vetuſtam originem habuit: & ſi primi ductores ejus illuſtres fuerunt, & ſi multi principes, atque imperatores ex ea nati ſunt, quos æmulari alii ſtudeant. Privata verò nobilitas, vel à viris, vel à mulieribus pendet, & cum utrique legitimè conjuncti ſunt,

& quemadmodum etiam in civitate, cum primi auctores generis clari fuerunt vel virtute, vel divitiis, vel alia re, quæ in pretio apud homines ſit, & ſi ex ea familia multi illuſtres fuerunt & viri, & mulieres, & juvenes, & ſeniores. * Bona verò proles, & multitudo filiorum, quid ſit, omnibus notum eſt. Atque in Repub. bona proles eſſe intelligitur: cum multi, bonique juvenes in ea fuerint, & bona dicitur, vel ex virtute corporis, ut cum magnitudinem, pulchritudinem, vires, certandi robur habet: vel ex virtute animi: nam temperantia, & fortitudo juvenis virtutes ſunt, privatim autem bona proles, & multitudo filiorum intelligitur; cum quis multos, & hujuſmodi virtutibus inſtructos habet filios & mares, & fœminas. Fœminarum virtus in corpore, venuſtas, & magnitudo eſt: in animo, temparantia, & ſedulitas, ſtudiumque ſuorum operum, modo tamen ne incidat in illiberalitatem,

καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους, ἢ ἐπ' ἀρετῇ. ἢ πλούτῳ, ἢ ἄλλῳ τῷ τῶν τιμωμένων. καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας, καὶ γυναῖκας, καὶ νέους καὶ πρεσβυτέρους. * ΕΥ'τεκνία δὲ καὶ πολυτεκνία, οὐκ ἄδηλα· ἔστι δὲ, τῷ κοινῷ μὲν, εὐτεκνία, νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή· ἀγαθὴ δὲ, κατ' ἀρετὴν σώματος, οἷον μέγεθος, κάλλος, ἰσχὺν, δύναμιν ἀγωνιστικήν. ψυχῆς δὲ σωφροσύνη, καὶ ἀνδρεία, νέου ἀρεταί. ἰδίᾳ δὲ, εὐτεκνία καὶ πολυτεκνία, τὸ τὰ ἴδια τέκνα πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα· θηλειῶν δὲ ἀρετὴ, σώματος μὲν κάλλος, καὶ μέγεθος· ψυχῆς δὲ, σωφροσύνη, καὶ φιλεργία ἄνευ ἀνελευθερίας· ὁμοίως

ὁμοίως δὲ καὶ ἰδίᾳ καὶ κοινῇ, καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας, δεῖ ζητεῖν, ἕκαστον ὑπάρχειν τῶν τοιούτων· ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα, ὥσπερ Λακεδαιμονίοις, σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσι. * Πλούτου δὲ μέρη, νομίσματα, πλῆθος γῆς, χωρίων κτῆσις· ἔτι δὲ, ἐπίπλων κτῆσις, καὶ βοσκημάτων, καὶ ἀνδραπόδων, πλήθει, καὶ μεγέθει, καὶ κάλλει διαφερόντων. ταῦτα δὲ πάντα, καὶ ἀσφαλῆ, καὶ ἐλευθέρια, καὶ χρήσιμα. ἔστι δὲ, χρήσιμα μὲν μᾶλλον, τὰ κάρπιμα· ἐλευθέρια δὲ, τὰ πρὸς ἀπόλαυσιν· κάρπιμα δὲ λέγω, ἀφ' ὧν αἱ πρόσοδοι· ἀπολαυστικὰ δὲ, ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται, ὅ,τι καὶ ἄξιον. ὅρος δὲ, ἀσφαλείας μὲν, τὸ ἐνταῦθα καὶ οὕτω κεκτῆσθαι, ὥς' ἐφ' αὐτῷ εἶναι τὴν χρῆσιν·

ſimiliter autem & privatim, & publicè, & in viris, & mulieribus, ut hæc ſingula ſint, ſtudere oportet: nam qui impudicas habent mulieres, ut Lacedæmonii, dimidia ferè felicitatis parte carent. * Divitiarum par- 56
tes ſunt pecuniæ, prædiorum multitudo, regionum poſſeſſiones, & præterea ſuppellectilium copia, & pecudum, & ſervorum: quæ res multitudine, & magnitudine, & pulchritudine excellant, & omnia ſecura, liberalia, & utilia ſint. Dicuntur autem utilia ea, quæ magis fructuoſa ſunt, liberalia verò, quæ animi, voluptatiſque gratia poſſidentur: fructuoſa illa voco, unde redditus, vectigaliaque capiuntur; voluptaria, è quibus nihil præter uſum capitur, quod aliquo pretio dignum ſit. Securitatis ille finis eſt, ut eo in loco, atque eo modo prædia poſſideantur, ut eorum uſus in domini arbitrio ſit.

Id verò alicujus proprium eſſe, aut non eſſe dicitur, cum in ejus poteſtate eſt alienare: dico autem alienare, donare, & vendere: omninò divitem eſſe magis in uſu, quàm in poſſeſſione ſitum eſt; nam hujuſmodi rerum actus, atque uſus ipſæ divitiæ ſunt.
57 * Bona exiſtimatio eſt virtute præditum ab omnibus judicari, vel tale aliquid in ſe habere, quod omnes expetant, aut multi, aut boni viri, aut prudentes. * Honor autem eſt ſignum gloriæ, ex plurimis in alios me-
58 ritis comparatæ. * Juſtè verò, maximèque honore afficiunt ii, qui jam beneficia contulerunt. Verumtamen etiam ille ſolet honorari, qui aliis benefaciendi facultatem habet. Id autem beneficium honore dignum putatur, vel quod ad ſalutem, vitamque tuendam pertinet, vel ad opes, vel ad hujuſmodi bonum aliquod, cujus non ſit facilis acquiſitio, quodque ſine magno labore paratum,

τοῦ δὲ οἰκεῖον εἶναι), ἢ μὴ, ὅταν ἐφ' αὐτῷ ᾖ ἀπαλλοτριῶσαι· λέγω δὲ ἀπαλλοτρίωσιν, δόσιν καὶ πρᾶσιν· ὅλως δὲ, τὸ πλουτεῖν ἐστὶν ἐν τῷ χρῆσθαι μᾶλλον, ἢ ἐν τῷ κεκτῆσθαι· καὶ γὰρ ἡ ἐνέργειά ἐστι τῶν τοιούτων, καὶ ἡ χρῆσις πλοῦτος. * Εὐδοξία δ' ἐστὶ, τὸ ὑπὸ πάντων σπουδαίων ὑπολαμβάνεσθαι, ἢ τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται), ἢ οἱ πολλοὶ, ἢ οἱ ἀγαθοὶ, ἢ οἱ φρόνιμοι. * Τιμὴ δέ ἐστι μὲν σημεῖον εὐεργετικῆς δόξης. τιμῶνται δὲ, δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες· οὐ μὴν ἀλλὰ τιμᾶται καὶ ὁ δυνάμενος εὐεργετεῖν. εὐεργεσία δὲ, ἢ εἰς σωτηρίαν, καὶ ὅσα αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων ἀγαθῶν, ὧν μὴ ῥᾳδία ἡ κτῆσις; ἢ ὅλως,

ἢ ὅλως, ἢ ἐνταῦθα, ἤ ποτέ· πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα, τιμῆς τυγχάνουσιν· ἀλλ' οἱ τρόποι καὶ οἱ καιροὶ αἴτιοι. μέρη δὲ τιμῆς, θυσίαι, μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, προεδρίαι, τάφοι, εἰκόνες, τροφαὶ δημόσιαι· τὰ βαρβαρικά, οἷον προσκυνήσεις καὶ ἐκστάσεις, δῶρα τὰ παρ' ἑκάστοις τίμια· καὶ γὰρ τὸ δῶρόν ἐστι, κτήματος δόσις, καὶ τιμῆς σημεῖον· διὸ καὶ οἱ φιλοχρήματοι καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν, ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται· καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι· καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι. *Σώματος δὲ ἀρετὴ, ὑγίεια· αὕτη δὲ οὕτως, ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασι·

vel ſemper, vel eo in loco, vel eo tempore: multi enim propter res quaſdam, quæ parvæ videntur, honorem aſſequuntur: ſed id aut propter modum, aut propter occaſionem accidit. Honoris ſpecies ſunt immolationes, monumenta vel carmine, vel ſoluta oratione conſcripta, præmia certa, luci, ſuperiores in ſedendo loci, ſepulchra, imagines, & publica cibaria, &, quibus barbari utuntur, habitus adorantium, & conſpectus evitationes; munera. quæ apud ſingulas gentes in pretio ſunt: etenim munus eſt & poſſeſſionis largitio, & honoris indicium. Quo fit, ut avari, & ambitioſi munerum ſint appetentes: nam utrique in eis inveniunt, quod concupiſcunt: eſt enim in illis utilitas, quam appetunt avari, & honor, cui maximè ſtudent ambitioſi. *Corporis virtus eſt bona valetudo. Quæ ita 59
accipienda eſt; ut morbo vacuum ſit corpus, & ad uſus benè conſtitutum:

multi enim ſano corpore ſunt, ut Herodicus dicit, quos nemo tamen ob eam valetudinem beatos judicaret eo, quòd vel ab omnibus humanis actionibus, vel ab earum maxima parte
60 ſe abſtinent. * Pulchritudo non eadem eſt in omni ætate, ſed diverſa: nam adoleſcentis pulchritudo eſt, ſi corpus ita conſtitutum habet, ut ad labores ſuſtinendos utile ſit, vel ad curſum, vel ad inferendam vim: & ſi quandam ore ſuavitatem præferat, quæ ſpectantes voluptate compleat. Hac de cauſa Pentathli pulcherrimi habentur, quòd ad vim inferendam, & ad celeritatem ſimul apti ſunt. Viri autem, & qui jam conſtanti ætate ſit, pulchritudo eſt, ut corpus ad militares labores idoneum habeat, & oris ſuavitatem cum quodam terrore conjunctam præferat. Senis denique pulchritudo eſt, ſi corpus habeat neceſſariis laboribus largè ſufficiens,

πολλοὶ γὰρ ὑγιαίνουσιν, ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονήσειε τῆς ὑγιείας, διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων, ἢ τῶν πλείστων. * Κάλλος δ' ἐστὶ, ἕτερον καθ' ἑκάστην ἡλικίαν ἐστί. νέου μὲν οὖν κάλλος, τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα. τούς τε πρὸς δρόμον, καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν, διὸ οἱ Πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν· ἀκμάζοντος δ', πρὸς μὲν πόνους τοὺς πολεμικοὺς, ἡδὺν δὲ εἶναι δοκεῖν μετὰ φοβερότητος. γέροντος δὲ, πρὸς μὲν πόνους τοὺς ἀναγκαίους ἱκανὸν,

ἄλυ-

ἄλυπον δὲ, διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται. * Ἰσχὺς δὲ, ἐστι μὲν δύναμις τοῦ κινεῖν ἕτερον, ὡς βούλεται· ἀνάγκη δὲ κινεῖν ἕτερον, ἢ ἕλκοντα, ἢ ὠθοῦντα, ἢ αἴροντα, ἢ πιέζοντα, ἢ συνθλίβοντα· ὥστε ὁ ἰσχυρὸς, ἢ πᾶσιν, ἢ τούτων τισὶν ἐστὶν ἰσχυρός. * Μεγέθους δὲ ἀρετὴ, τὸ ὑπερέχειν κατὰ τὸ μῆκος, καὶ βάθος, καὶ πλάτος τῶν πολλῶν τοσούτῳ μείζονι, ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν. * Ἀγωνιστικὴ δὲ τοῦ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους, καὶ ἰσχύος, καὶ τάχους· καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως, καὶ κινεῖν ταχὺ, καὶ πόῤῥω, δρομικός.

& ſi nullam ore triſtitiam oſtendat eo, quòd iis morbis careat, qui ſenectutem depravare ſolent. * Vires ex eo in- 61
telliguntur; cum quis eam facultatem habet, ut alterum moveat, quomodocunque voluerit. Neceſſe eſt autem alterum movere, vel trahendo, vel impellendo, vel tollendo, vel deprimendo, vel colligendo. Quare robuſtus ille, valenſque aut his omnibus, aut quibuſdam horum valebit. * Magnitudinis vir- 62
tus ea eſt; cum quis & longitudine, & altitudine, & latitudine multos alios antecedit, modo ne tanto major ſit, ut propter exuperantiam corporis motus tardiores efficiantur.
* Decertandi robur ex 63
tribus conſtat, magnitudine, viribus, & celeritate: nam & qui celer eſt, robuſtus appellatur: qui enim crura quodammodo vibrare, & celeriter movere, atque ex longinquo loco poteſt, is natura curſor eſt.

Qui verò premere, fortiterque tenere, ad luctam eſt idoneus; qui longè à ſe pellere, plagamque inferre poteſt, is erit pugil. Sed qui in utriſque valet, hoc eſt lucta, & pugillatione, pancratiaſtes erit, qui in tribus illis omnibus, Pentathlus vocatur.

64 * Bona ſenectus eſt, cum tardè, atque ſine triſtitia advenit, neque enim, qui celeriter ſeneſcit, bona ſenectute frui dici poteſt, neque qui ſerò quidem fit ſenex, verùm cum multis, magniſque doloribus. Ad bona verò ſenectutem & corporis virtutes, & fortunæ bona concurrant oportet: nam, niſi ſine morbo fuerit, & niſi vires conſervet; non erit expers moleſtiarum, ac dolorum, nec vitam producere poterit, nec proſperam fortunam retinere. Eſt etiam alia ratio, qua quis etiam ſine viribus, & bona valetudine diù vivendi facultatem inveniat: multi enim ſine corporis virtutibus in longum tempus vitam prorogant.

ὁ δὲ θλίβειν, καὶ κατέχειν, παλαιστικός. ὁ δὲ ὦσαι τῇ πληγῇ, πληκτικός. ὁ δ' ἀμφοτέροις τούτοις, παγκρατιαστικός. ὁ δὲ πᾶσι, Πένταθλος, * Εὐγηρία δέ ἐστι, βραδυτὴς γήρως μετ' ἀλυπίας· οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὔγηρως, οὔτ' εἰ μόγις μὲν, λυπηρῶς δέ· ἔστι δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν, καὶ τύχης· μὴ ἄνοσος γὰρ ὤν, μηδὲ ἰσχυρὸς, οὐκ ἔσται ἀπαθὴς, οὐδ' ἄλυπος καὶ πολυχρόνιος, οὔτ' ἂν ἄνευ τύχης διαμείνειεν ἄν. ἔστι δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας, ἄλλη δύναμις μακροβιότητος· πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν, μακρόβιοί εἰσιν.

ἀλλ'

ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἡ περὶ τούτων εἰς τὰ νῦν.

* Πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα, τοῦ φίλου ὡρισμένου, ὅτι ἐστὶν ὁ τοιοῦτος φίλος, ὅστις ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον, ᾧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος· ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος.

* Εὐτυχία δέ ἐστιν, ὧν ἡ τύχη ἀγαθῶν αἰτία ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν, ἢ πάντα, ἢ τὰ πλεῖστα, ἢ τὰ μέγιστα. αἰτία δέ ἐστιν ἡ τύχη, ἐνίων μὲν, ὧν καὶ αἱ τέχναι· πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις· ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους, φύσις. ὅλως δὲ, τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστιν ἀπὸ τύχης,

ſed in præſentia nihil opus eſt de hujuſmodi rebus exquiſitè diſputare.

65 * Gratia verò, bonorumque virorum amicitia quid ſit ignorari non poteſt, modò quid ſit amicus, intelligatur. Eſt enim is amicus, qui quæcunque arbitratur ei, quem amat, bono eſſe ejus ipſius cauſa facit. Cui igitur multi ſunt hujuſmodi, is gratioſus dicitur, cui verò boni viri tales ſunt, is bonos amicos habere prædicatur.

66 * Proſpera fortuna eſt, cum, quæ à fortuna proveniunt bona vel omnia, vel plurima, vel maximia alicui vel fiunt, vel jam præſtò adſunt. Eſt autem fortuna nonnullorum cauſa, quæ etiam ab artibus efficiuntur, ſed plerumque eorum cauſa eſt, quæ nulla arte fieri poſſunt, ut eorum, quæ natura quidem fiunt, ſe etiam contra naturam fieri poſſunt, nam bonæ valetudinis ars cauſa eſt, pulchritudinis autem, & magnitudinis ipſa natura. Omninò bona illa proficiſcuntur à fortuna,

quæ maximè ſolent invidiam concitare. Quin etiam eorum bonorum, quæ præter omnem rationem eveniunt, fortuna cauſa eſt; ut, ſi cæteri fratres deformes ſunt, hic autem formoſus, aut ſi theſaurum alii non viderunt, hic autem invenit, aut ſi is, qui propè ſtabat, jaculo percuſſus eſt, hic autem minimè, vel, qui antea ſolebat frequentare, tunc non venit, cum alii, ſemel tantum venientes, interfecti ſunt: hæc enim omnia fortunæ beneficio
67 contingere videntur. * De virtute, quoniam in exornatione maximè proprius eſt ejus locus, cum de laudando verba faciemus, tunc quid ſtatuendum ſit, accuratè explicabimus.
68 * Quæ igitur ſpectare oportet eos, qui ſuadent, tanquam futura, aut præſentia, perſpicuum eſt, & rurſus qui diſſuadent: ſunt enim eis, quæ jam dicta ſunt, contraria.

ἐφ' οἷς ἐστιν ὁ φθόνος. ἔστι δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοὶ, ὁ δὲ, καλός. ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρὸν, ὁ δὲ, εὗρεν. ἢ εἰ τοῦ πλησίον ἔτυχε τὸ βέλος, τούτου δὲ, μή. ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ, ἅπαξ ἐλθόντες διεφθάρησαν· πάντα γὰρ τὰ τοιαῦτα, εὐτυχήματα δοκεῖ εἶναι. * Περὶ δὲ ἀρετῆς, ἐπειδὴ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διαιρετέον. * Ὧν μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντας, ὡς ἐσομένων, ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντας, φανερόν· τὰ γὰρ ἐναντία τούτων ἐστίν.

CA-

CAPUT VI.

De bono, & utili.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Definitur bonum & utile.*
2 *Enumerantur ea, quæ ſunt verè bona.*
3 *Statuuntur quædam principia, quibus oſtendi poſſit, & de quibus dubitatur, eſſe verè bona.*

α. * Ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς, τὸ συμφέρον· βουλεύονται δὲ, οὐ περὶ τοῦ τέλους, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος· ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις· τὸ δὲ συμφέρον, ἀγαθόν· ληπτέον ἂν εἴη στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς. * Ἔστω δὴ ἀγαθὸν, ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν. καὶ οὗ ἕνεκα ἄλλο αἱρούμεθα· καὶ οὗ ἐφίεται πάντα, ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν, ἢ εἰ λάβοι νοῦν· καὶ ὅσα ὁ νοῦς ἂν ἑκάστῳ ἀποδοίη·

1 * SED quoniam de- 69
liberanti propoſita eſt utilitas, & qui deliberant, non de fine ipſo, ſed de iis, quæ ſpectant ad finem deliberant: ea verò ſunt, quæ in ſingulis actionibus proſunt; &, quod prodeſt, bonum eſt: ideò de bono, atque utili generatim mihi dicendum, & quæ ſint ejus initia; atq; elementa, quærendum arbitror. * Pona- 70
mus ergo bonum id eſſe, quod ipſum propter ſe ſit expetendum, & cujus gratia ſolemus aliud expetere: &, quod res omnes expetunt, vel ſaltem illæ, quę ſenſu præditę ſunt, vel intelligentiam habent, vel ſi eis intelligentia daretur, & quæcunque ratio, atque intelligentia cuiq; dictaret.

Et quæcunque ſingulis in rebus unicuique ratio tribuit, atque aſſignat, ea ſunt unicuique bona. Illud quoque bonum eſt, quo præſente res benè ſe habet, nec quicquam amplius deſiderat, & quod

71 per ſe ſufficiens eſt. * Quin etiam, quod hæc ipſa conficiendi, & cuſtodiendi vim habet, bonum eſt, & quod hæc eadem conſequuntur, & quod contraria depellit, atque interimit. Duobus autem modis aliquid eſſe conſequens dicitur, vel enim ſimul, vel poſtea: ut, ſi quis diſcit, conſequitur, ut ſciat, ſed poſtea, ſi benè valet: conſequitur, ut valeat, ſed ſimul. Quæ conficiendi vim habent, tribus modis dicuntur: partim, ut benè valere, & corpus habere benè conſtitutum, conficiens eſt bonæ valetudinis: partim, ut cibaria, quæ ſalubria ſunt, & conficientia ſanitatis: partim, ut exercitatio corporis, quæ plerunque bonam efficit valetudinem.

72 2 * His ita poſitis, neceſſe eſt, bonorum adeptiones eſſe bonas,

καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς ἀποδίδωσιν ἑκάστῳ, τοῦτό ἐστιν ἑκάστῳ ἀγαθόν· καὶ οὗ παρόντος, εὖ διάκειται καὶ αὐτάρκως ἔχει, καὶ τὸ αὔταρκες. * Καὶ τὸ ποιητικὸν, ἢ φυλακτικὸν τῶν τοιούτων· καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα· καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων, καὶ τὰ φθαρτικά· ἀκολουθεῖ δὲ διχῶς· ἢ γὰρ ἅμα, ἢ ὕστερον· οἷον, τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι, ὕστερον· τῷ δὲ ὑγιαίνειν τὸ ζῆν, ἅμα. καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν, ὡς τὸ ὑγιαίνειν, ὑγιείας· τὰ δὲ, ὡς σιτία, ὑγιείας· τὰ δὲ, ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπιτοπολὺ ποιεῖ ὑγίειαν.

β΄. * Τούτων δὲ κειμένων, ἀνάγκη τάς τε λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι,

καὶ

καὶ τὰς τῶν κακῶν ἀποβολάς· ἀκολουθεῖ γὰρ, τῷ μὲν, τὸ μὴ ἔχειν τὸ κακὸν, ἅμα· τῷ δὲ, τὸ ἔχειν τὸ ἀγαθὸν, ὕστερον. * Καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθοῦ μείζονος λῆψις, καὶ ἀντὶ μείζονος κακοῦ ἐλάττονος· ᾧ γὰρ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάττονος, τοῦτο γίνεται, τοῦ μὲν, λῆψις, τοῦ δ', ἀποβολή. * Καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι· κατὰ γὰρ ταύτας εὖ τε διάκεινται οἱ ἔχοντες, καὶ ποιητικαὶ τῶν ἀγαθῶν εἰσι, καὶ πρακτικαί· περὶ ἑκάστης δὲ, καὶ τίς, καὶ ποία, χωρὶς ῥητέον. * Καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι. πάντα γὰρ ἐφίεται τὰ ζῶα αὐτῆς τῇ φύσει· ὥστε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ, ἀνάγκη ἀγαθὰ εἶναι· τὰ μὲν γὰρ ἡδονῆς ποιητικά. τῶν δὲ καλῶν, τὰ μὲν, ἡδέα, τὰ δὲ, αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν·

atque etiam malorum depulſiones: huic enim ſimul malum non habere conſequens eſt, illi autem poſtea bonum habere. * Item etiam 73
pro minore bono majoris adeptio, & pro majore malo minoris bona eſt: nam id totum, quo majus minori præſtat, fit illius quidem adeptio, hujus autem depulſio. * Virtutes e- 74
tiam bonas eſſe neceſſe eſt: nam, qui eas poſſident, ii benè affecti ſunt: & ipſæ multa, ac magna bona conficiunt: atque earum laus in actione conſiſtit. Sed de ſingulis virtutibus, quæ, qualeſque ſint, alio in loco dicendum erit. * Vo- 75
luptas prætereà bona eſt: omnes enim animantes naturæ inſtinctu eam expetunt. Quare & quæ jucunda ſunt, & quæ pulchra, bona eſſe neceſſe eſt: jucunda enim ſunt efficientia voluptatis. Rerum autem pulchrarum aliquæ jucundæ ſunt, aliquæ ipſæ per ſe ſe ſunt expetendæ.

76 * Ut autem ſigillatim aliqua dicamus, hæc eſſe bona neceſſe eſt: primò felicitatem, quia per ſe expetenda eſt, & ſe ipſa eſt contenta, & ejus gratia multa alia expetimus: deinde juſtitiam, fortitudinem, magnanimitatem, magnificentiam, atque alios hujuſmodi animi habitus; ſunt enim hæ virtutes animi, tum bonam valetudinem, pulchritudinem, cęteraque ejus generis, quæ corporis virtutes ſunt, & multarum rerum bonarum conficientes; ut bona valetudo voluptatis, & vitæ. Itaque res optima videtur eſſe bona valetudo: quoniam duas res efficiat, quæ plurimi ab hominibus æſtimantur, hoc eſt, voluptatem, & vitam. Divitiarum uſus, fructuſque bonus eſt; hæc enim eſt poſſeſſionis virtus, & multorum commodorum conficiens. Amicus, & amicitia bona ſunt; nam amicus propter ſe eſt expetendus, & multorum bonorum efficiens:

* Ὡς δὲ καθ' ἓν εἰπεῖν, ἀνάγκη ἀγαθὰ εἶναι τάδε, εὐδαιμονία, καὶ γὰρ καθ' αὑτὸ αἱρετὸν, καὶ αὔταρκες, καὶ ἕνεκα αὐτῆς πολλὰ αἱρέμεθα. δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια, καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις· ἀρεταὶ γὰρ ψυχῆς, καὶ ὑγίεια, καὶ κάλλος, καὶ τὰ τοιαῦτα· ἀρεταὶ γὰρ σώματος, καὶ ποιητικαὶ πολλῶν· οἷον ὑγίεια, καὶ ἡδονῆς, καὶ τοῦ ζῆν. διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν ἡδονῆς, καὶ τοῦ ζῆν, πλοῦτος· ἀρετὴ γὰρ κτήσεως, καὶ ποιητικὸν πολλῶν. φίλος καὶ φιλία· καὶ γὰρ καθ' αὑτὸν αἱρετὸν ὁ φίλος, καὶ ποιητικὸν πολλῶν.

τιμὴ,

τιμὴ, δόξα· καὶ γὰρ ἡδέα, καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπιτοπολὺ, τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται. δύναμις τοῦ λέγειν, τοῦ πράττειν· ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν. ἔτι, εὐφυΐα, μνῆμαι, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα· ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν. ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι, καὶ αἱ τέχναι, καὶ τὸ ζῆν· εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθὸν, καθ' αὑτὸ αἱρετόν ἐστι, καὶ τὸ δίκαιον, συμφέρον γάρ τι κοινῇ ἐστί. ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐστίν.

γʹ. * Ἐν δὲ τοῖς ἀμφισβητησίμοις, ἐκ τῶνδε οἱ συλλογισμοί. ᾧ τὸ ἐναντίον κακὸν, τοῦτ' ἀγαθόν. καὶ οὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμφέρει.

honor præntereà, & gloria, ſunt enim res jucundæ, multaque commoda adferunt, & plerunque accidit, ut in hominibus ea ſint, propter quæ honorantur: dicendi quoque facultas, & agendi, quoniam ex eis multa bona proveniunt. Item ingenii acumen bonum eſt, & memoria, & docilitas, & animi celeres motus, cæteraque ejus generis omnia, nam ejuſmodi facultates bonorum conficientes eſſe ſolent, eodem modo ſcientiæ omnes, & artes. Vivere quoque ipſum, nam etſi nihil aliud boni conſequatur, propter ſe tamen ipſum expetendum eſt, id etiam, quod juſtum, eſt bonum, nam ad communem utilitatem pertinet. Hæc quidem ferè ſunt, quæ omnes bona eſſe confitentur.

3 * Sunt alia, de 77
quibus controverſia eſt, quæ illis argumentis bona eſſe probantur, cujus contrarium eſt malum illud bonum eſt, & id, cujus contrarium hoſtibus prodeſt, ut,

ut, ſi noſtros cives eſſe timidos maximè conducit hoſtibus; perſpicuum eſt, civibus maximè prodeſſe
78 fortitudinem. * Et omninò, quod inimici cupiunt, & quo gaudent, ejus contrarium utile nobis eſſe videtur. Ideò rectè dictum eſt ab Homero,

Certè lætitia Priamus afficeretur.

Neque tamen hoc perpetuò verum eſt, nam interdum fieri poteſt, ut eadem res adverſariis utilitatem adferat. Unde proverbio dicitur, homines ab infortuniis, & malis conciliari, quoties idem utriſque detrimentum ad-
79 fert. * Id etiam bonum eſt, in quo nihil nimium eſſe poteſt: quod enim majus eſt, quàm conve-
80 niat, id eſt malum. * Et, cujus multi labores ſuſcepti ſunt aut multi ſumptus facti, bonum jam eſſe videtur, & jam finis exiſtimatur, multarum moleſtiarum finis. Quicquid autem finis rationem habet, id certè bonum eſt. Unde hujuſmodi dicta vulgo jactantur,

οἷον, εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρεία μάλιστα ὠφέλιμον τοῖς πολίταις. * Καὶ ὅλως, ὃ οἱ ἐχθροὶ βούλονται, ἢ ἐφ' ᾧ χαίρουσι, τοὐναντίον τούτῳ ὠφέλιμον φαίνεται· διὸ καὶ εἴρηται,

Ἦ κεν γηθήσαι Πρίαμος.

ἔστι δ' οὐκ ἀεὶ τοῦτο, ἀλλ' ὡς ἐπιτοπολύ· οὐδὲν γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις· ὅθεν λέγεται, ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους, ὅταν ᾖ ταὐτὸ βλαβερὸν ἀμφοῖν. *Καὶ οὗ μή ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν. ὃ δ' ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν. * Καὶ οὗ ἕνεκα πολλὰ πεπόνηται, ἢ δεδαπάνηται· φαινόμενον γὰρ ἀγαθὸν ἤδη· καὶ ὡς τέλος ἤδη τὸ τοιοῦτον ὑπολαμβάνεται, καὶ τέλος πολλῶν· τὸ δὲ τέλος, ἀγαθόν· ὅθεν ταῦτ' εἴρηται.

Καδδέκεν ἀσχαλόων Πριάμῳ· καὶ,
Αἰσχρόν τοι δηρόν τε μένειν·

καὶ ἡ παροιμία δὲ, τὸ Ἐπὶ θύραις τὴν ὑδρίαν. *Καὶ οὗ πολλοὶ ἐφίενται, καὶ τὸ περιμάχητον φαινόμενον. οὗ γὰρ πάντες ἐφίενται, τοῦτο ἀγαθὸν ἦν· οἱ δὲ πολλοὶ, ὥσπερ πάντες φαίνονται. *Καὶ τὸ ἐπαινετόν· οὐδεὶς γὰρ τὸ μὴ ἀγαθὸν ἐπαινεῖ. καὶ ὃ οἱ ἐχθροὶ καὶ οἱ φαῦλοι ἐπαινοῦσιν· ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς πεπονθότες· διὰ γὰρ τὸ φανερὸν, ὁμολογήσειαν ἄν· ὥσπερ καὶ φαῦλοι, οὓς οἱ φίλοι ψέγουσι· καὶ ἀγαθοὶ, οὓς οἱ ἐχθροὶ μὴ ψέγουσι· διὸ λελοιδορῆσθαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιήσαντος,

Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον,

*Καὶ ὃ τῶν φρονίμων τις,

Certè Priamo gloriam,
&, *Turpe eſt manere diù.*

Et proverbium illud,
In foribus hydriam.
* Et quod multi ex 81
petunt, & pro quo digladiari inter ſe conſueverunt, quod enim omnes expetunt, id bonum eſſe ſupra diximus. Multi verò, tanquam omnes, vulgo videntur. * Et quod eſt 82
laudabile, nemo enim id laudat, quod bonum non eſt, & quod etiam inimici, ac malevoli homines laudant, nam, quod illi laudant, qui mala inde perpeſſi ſunt, perinde eſt, ac ſi jam omnes bonum id eſſe faterentur, quemadmodum enim illi ſunt improbi, quos amici vituperant, ſic illi boni, quos neque inimici vituperant. Ideò ſe contumelia affectos à Simonide Poeta Corinthii exiſtimarunt, quòd ita ceciniſſet.

Corinthios non incuſas Ilium. * Et quod ali- 83
quis ex prudentibus, & bo-

& bonis viris, ac mulieribus præcellere judicavit; ut Ulyſſem Pallas, Helenam Theſeus, tres illæ deæ Paridem,
84 Achillem Homerus. * Et omninò quæcunque aliis conſulto præponuntur; ſtatuunt enim homines ea facere, quæ ſupra dicta ſunt. Et quæ mala ſint inimicis, amicis autem bona, & quæ fieri poſſint. Hæc autem duobus modis intelliguntur, vel quæ quoquo modo fieri poſſunt, vel quæ facilè nulloque negotio. Facilia verò dicuntur ea, quæ vel ſine moleſtia, vel brevi tempore confici poſſunt; difficile nanque vel moleſtia, vel temporis longitudine defini-
85 tur. * Bona quoque illa ſunt, quæ ita fiunt, ut homines volunt. Volunt autem vel nihil habere mali, vel ſaltem minus mali, quàm boni. Quod tunc evenit, cum pœna vel nos latuerit, vel puſilla fuerit. Et, quæ propria ſunt, & quæ nullus alius poſſidet, & quæ reliquis præſtant, bona ſunt: in his enim honor ſpectatur:

ἢ τῶν ἀγαθῶν ἀνδρῶν, ἢ γυναικῶν προέκρινεν· οἷον, Ὀδυσσέα Ἀθηνᾶ, καὶ Ἑλένην Θησεύς, καὶ Ἀλέξανδρον αἱ θεαί, καὶ Ἀχιλλέα Ὅμηρος. * Καὶ ὅλως τὰ προαιρετά· προαιροῦνται δὲ πράττειν τά τε εἰρημένα, καὶ τὰ τοῖς ἐχθροῖς κακά, καὶ τὰ τοῖς φίλοις ἀγαθά, καὶ τὰ δυνατά. ταῦτα δὲ διχῶς ἐστι, τά τε γενόμενα ἄν, καὶ τὰ ῥᾳδίως γιγνόμενα. ῥᾴδια δέ, ὅσα ἢ ἄνευ λύπης, ἢ ἐν ὀλίγῳ χρόνῳ· τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ, ἢ πλήθει χρόνου. * Καὶ ἐὰν ὡς βούλονται, βούλονται δέ, ἢ μηδὲν κακόν, ἢ ἔλαττον τοῦ ἀγαθοῦ. τοῦτο δ' ἔσται, ἐὰν ἢ λανθάνῃ ἡ τιμωρία, ἢ μικρὰ ᾖ. καὶ τὰ ἴδια, καὶ ἃ μηδείς, καὶ τὰ περιττά· τιμὴ γὰρ οὕτω μᾶλλον.

καὶ

καὶ τὰ ἁρμόττοντα αὐτοῖς· τοιαῦτα δὲ τά τε προσήκοντα κατὰ γένος καὶ δύναμιν. καὶ ὧν ἐλλείπειν οἴονται, κἂν μικρὰ ᾖ· οὐδὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν. * Καὶ τὰ εὐκατέργαστα· δυνατὰ γὰρ, ὡς ῥᾴδια· εὐκατέργαστα δὲ, καὶ ἃ πάντες, ἢ οἱ πολλοὶ, ἢ οἱ ὅμοιοι, ἢ οἱ ἥττους κατώρθωσαν· καὶ ἃ χαριοῦνται τοῖς φίλοις, ἢ ἃ ἀπεχθήσονται τοῖς ἐχθροῖς. καὶ ὅσα οὓς θαυμάζουσι προαιροῦνται πράττειν, καὶ πρὸς ἃ εὐφυεῖς εἰσι καὶ ἔμπειροι· ῥᾷον γὰρ κατορθώσειν οἴονται. καὶ ἃ μηδεὶς φαῦλος, ἐπαινετὰ γὰρ μᾶλλον. καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν· οὐ γὰρ μόνον ἡδὺ, ἀλλὰ καὶ βέλτιον φαίνεται.

& quæ ipſis congruentia ſunt; qualia ſunt, & quæ vel propter genus, & familiam, vel propter ejus ipſius facultatem alicui conveniunt: & quæ ſibi deeſſe putant, etiam ſi parva fuerint; nam nihilominus ea ſibi agenda eſſe ſtatuunt: * Et quæ ſi- 86
ne labore ad exitum perducuntur; nam ſunt ex eo genere, quæ fieri poſſunt, tanquam facilia. Dicuntur autem ea ſine labore ad exitum perduci, quæ vel omnes, vel multi, vel pares, vel inferiores rectè perfecerunt: & ea, in quibus gratificantur amicis, aut inimicis dolorem inferunt, & quæcunque illi ſtudent agere, quos admirantur, & ad quæ natura ſunt aptiores, & in quibus exercitatiores; facilius enim ea, meliusque ſe perfecturos exiſtimant. Et quæ nemo vir abjectus aggreditur, ſunt enim ea majori laude digna; & ea, quorum appetentes ſunt; nam ea non solùm jucunda, ſed etiam aliis meliora eſſe videntur,

& ea

& ea præcipuè, ad quæ natura proclives ſunt, ut victoriæ ſtudioſi, ſi victoriam ſperent: honoris avidi, ſi honor proponatur: avari, ſi pecuniæ, & cæteri eodem modo. Ac de bono quidem, atque utili ex iis, quæ dicta ſunt, argumenta ſumi poſſunt.

καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι· οἷον, οἱ φιλόνικοι, εἰ νίκη ἔσται· οἱ φιλότιμοι, εἰ τιμή· οἱ φιλοχρήματοι, εἰ χρήματα, καὶ οἱ ἄλλοι ὡσαύτως. περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος, ἐκ τούτων ληπτέον τὰς πίστεις.

CAPUT VII.

Quomodo oſtendi poſſit, aliquid eſſe magis, aut minus bonum.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Quid ſit excedens, quid exceſſum, quid majus, aut minus, quid magnum, quid parvum.*

2 *Statuuntur propoſitiones, & principia, quibus oſtendi poſſit, aliquod bonum eſſe majus altero.*

87 1 * SED quoniam ſæpè accidit, ut duo proponantur, quæ ambo ſint utilia: ſed, utrum utilius ſit, dubitant: deinceps de majori bono, magiſque utili nobis dicendum eſt.

α΄. * ἘΠΕῚ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν, περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ, καὶ τοῦ μᾶλλον συμφέροντος.

* Ἔστω

* Ἔστω δὴ ὑπερέχον μὲν, τοσοῦτον καὶ ἔτι ὑπερεχόμενον δὲ, τὸ ἐνυπάρχον. καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον πρὸς ἔλαττον· μέγα δὲ καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον, πρὸς τὸ τῶν πολλῶν μέγεθος· καὶ ὑπερέχον μὲν, τὸ μέγα· τὸ δὲ ἐλλεῖπον, μικρὸν, καὶ πολὺ, καὶ ὀλίγων ὡσαύτως. * Ἐπεὶ οὖν ἀγαθὸν λέγομεν, τό,τε αὐτὸ αὐτοῦ ἕνεκα καὶ μὴ ἄλλου αἱρετὸν, καὶ οὗ πάντα ἐφίεται· καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο· καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικὸν, ἢ ᾧ ἕπεται τὰ τοιαῦτα, τὸ δ' οὗ ἕνεκα, τὸ τέλος ἐστί· τέλος δ' ἐστὶν, οὗ ἕνεκα τὰ ἄλλα· αὑτῷ δὲ ἀγαθὸν, τὸ πρὸς αὐτὸ ταῦτα πεπονθός.

* Id igitur, quod præſtat, eſt tantum, quantum id, quod ſuperatur, atque amplius: ſuperatum autem in eo, quod præſtat, incluſum eſt, & majus quidem, atque plus ſemper ad aliquid, quod minus ſit, refertur: magnum autem & parvum, & multum & paucum cum multorum magnitudine, multitudineque conferuntur; & quidem quod præſtat, magnum eſt, quod autem ſuperatur, parvum: atque eadem ratio eſt de multo & pauco. * Quoniam autem id bonum eſſe dicimus, quod ipſum propter ſe, non propter aliud, eſt expetendum, & quod res omnes expetunt, vel quæ ſi eis mens atque intelligentia daretur, expeterent, & quod efficiendi, & conſervandi vim habet, vel cui res ejuſmodi ſunt conſequentes, & quoniam id cujus gratia, eſt finis, & contra finis eſt, cujus gratia fiunt alia, idque privatim alicui bonum eſt, quod illi eſt accommodatum.

88 89

2 * Ne-

90 2 * Neceſſe eſt, ut quæ plura ſunt uno, & paucioribus, majora ſint bona, modò in eis unum illud, atque illa pauciora connumerentur. * Hoc enim modo præſtant, &, quod in eis incluſum eſt, ſuperatur.
91 * Et, ſi quod maximum eſt in aliquo genere maximo alterius generis præſtabit, etiam genus generi, & contrà ſi genus generi præſtabit, etiam quod eſt maximum maximo: ut, ſi maximus vir maxima muliere major erit, etiam ſimpliciter viri mulieribus majores erunt: &, ſi mulieribus viri majores ſint, etiam maximus vir maxima muliere major erit. Eandem enim habent rationem exuperantiæ generum, & eorum, quæ ſunt in ipſis generibus
62 maxima. * Et quando huic illud fuerit conſequens, hoc autem illi non fuerit, certè hoc majus erit. Tribus autem modis aliquid conſequi dicitur, aut uno, & eodem tempore, aut deinceps, aut vi ac poteſtate,

β'. * Ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων, συναριθμουμένου τοῦ ἑνὸς ἢ τῶν ἐλαττόνων, μεῖζον ἀγαθὸν εἶναι· ὑπερέχει γάρ· τὸ δὲ ἐνυπάρχον, ὑπερέχεται. * Καὶ ἐὰν τὸ μέγιστον τοῦ μεγίστου ὑπερέχῃ, καὶ αὐτὰ αὐτῶν, καὶ ὅσα αὐτὰ αὐτῶν, καὶ τὸ μέγιστον τοῦ μεγίστου· οἷον, εἰ ὁ μέγιστος ἀνὴρ γυναικὸς τῆς μεγίστης μεῖζον, καὶ ὅλως οἱ ἄνδρες τῶν γυναικῶν μείζους· καὶ εἰ οἱ ἄνδρες τῶν γυναικῶν ὅλως μείζους, καὶ ἀνὴρ ὁ μέγιστος τῆς μεγίστης γυναικὸς μείζων. ἀνάλογον γὰρ ἔχουσιν αἱ ὑπεροχαὶ τῶν γενῶν, καὶ τῶν μεγίστων ἐν αὐτοῖς. * Καὶ ὅταν, τόδε μὲν τῷδε ἕπηται. ἐκεῖνο δὲ τούτῳ μή· ἕπεται δὲ, ἢ τῷ ἅμα, ἢ τῷ ἐφεξῆς, ἢ τῇ δυνάμει· ἐν-

ἐνυπάρχει γὰρ ἡ χρῆσις ἢ τῆς ἑπομένης ἐν τῇ θατέρου. ἕπεται δὲ, ἅμα μὲν, τῷ ὑγιαίνειν τὸ ζῆν. τούτῳ δὲ ἐκεῖνο οὔ· ὕστερον δὲ τῷ μανθάνειν τὸ ἐπίστασθαι· δυνάμει δὲ, τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν· ὁ γὰρ ἱεροσυλήσας, κἂν ἀποστερήσειε. * Καὶ τὰ ὑπερέχοντα τοῦ αὐτοῦ μείζονι, μείζω· ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ μείζονος. * Καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ, μείζω· τοῦτο γὰρ ἦν τὸ μείζονος ποιητικῷ εἶναι· καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως· εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος, καὶ μεῖζον ἀγαθὸν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων, καὶ τὸ αἱρετώτερον καθ' αὑτὸ, τοῦ μὴ καθ' αὑτό· οἷον, ἰσχὺς, ὑγιεινοῦ·

nam uſus ejus, quod conſequitur, in altero conſiſtit. Uno verò & eodem tempore vita bonam valetudinem conſequitur, ſed non contrà: neque enim bona valetudo conſequitur vitam, deinceps autem, ut diſciplinam conſequitur ſcientia, vi, ac poteſtate, ut ſacrilegium facere plus eſt, quàm furari, nam qui ſacrilegium facit, etiam furabitur. * Illa quoque ma- 93
jora ſunt, quæ rem magnam magis exuperant, neceſſe eſt enim, ut etiam illam majorem exuperent. * Et, quæ ma- 94
jori boni conficientia ſunt, ea majora ſunt bona, hoc enim majoris boni natura poſtulat, ut majus bonum conficiat. * Et 95
contrà, majus illud bonum eſt, cujus conficiens eſt majus: ut, ſi quod eſt ſalubre magis eſt expetendum, quàm, quod eſt jucundum, certè bona valetudo voluptate major erit. * Et, quod 96
propter ſe expetendum, eo, quod propter aliud, ut vires corporis rebus ſalubribus præſtant,

hæ

hæ namque propter aliud, illæ verò propter ſe expetuntur. Quod eſt boni proprium.
97 prium. * Et quod rationem finis habet, eo majus eſt, quod non habet; nam hoc alterius gratia eſt, illud autem ſui ipſius, ut exercitatio fit bonæ valetu-
98 dinis gratia. * Et quod minus eget alio, vel aliis, majus eſt, quia magis quàm alia, ſe ipſo eſt contentum. Illud autem minus indigere dicitur, quod vel paucioribus, vel faci-
99 lioribus indiget. * Et quando res aliqua ſine altera non eſt, aut non eſſe poteſt, altera verò ſine hac, certè illa major eſt, id enim magis, quàm alia ſeipſo contentum eſt, quod non indiget. Itaque majus bonum vide-
100 tur. * Et, ſi hoc alicujus rei principium fuerit, illud autem non fuerit: &, ſi hoc cauſa fuerit, illud autem non; eadem ferè ratione, quoniam ſine cauſa, & ſine principio fieri non poteſt,
101 ut aliquid ſit, aut fiat. * Et, cum duo principia ſunt, quod à majore principio proficiſcitur, majus eſt,

τὸ μὲν γὰρ, οὐχ αὑτοῦ ἕνεκα· τὸ δὲ, αὑτοῦ, ὅπερ ἦν τὸ ἀγαθόν· * Κἂν ᾖ, τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος· τὸ μὲν γὰρ, ἄλλου ἕνεκα· τὸ δὲ, αὑτοῦ· οἷον, τὸ γυμνάζεσθαι, τοῦ εὖ ἔχειν τὸ σῶμα. * Καὶ τὸ ἧττον προσδεόμενον θατέρου, ἢ ἑτέρων· αὐταρκέστερον γάρ· ἧττον προσδεῖται τὸ ἐλαττόνων, ἢ ῥᾳόνων προσδεόμενον. * Καὶ ὅταν, τόδε μὲν ἄνευ τοῦδε μὴ ᾖ, ἢ μὴ δυνατὸν ᾖ γενέσθαι, θάτερον δὲ ἄνευ τούτου· αὐταρκέστερον δὲ τὸ μὴ δεόμενον· ὥστε φαίνεται μεῖζον ἀγαθόν. * Κἂν ᾖ ἀρχὴ, τὸ δὲ μὴ ἀρχή· κἂν ᾖ αἴτιον, τὸ δ᾽ οὐκ αἴτιον, διὰ τὸ αὐτό· ἄνευ γὰρ αἰτίου καὶ ἀρχῆς, ἀδύνατον εἶναι, ἢ γενέσθαι. * Καὶ δυοῖν ἀρχαῖν, τὸ ἀπὸ τῆς μείζονος ἀρχῆς, μεῖζον.

ygi

καὶ δυοῖν αἰτίοιν, τὸ ἀπὸ τοῦ μείζονος αἰτίου, μεῖζον. καὶ ἀνάπαλιν δὴ δυοῖν ἀρχαῖν, ἡ τοῦ μείζονος ἀρχὴ, μείζων· καὶ δυοῖν αἰτίοιν, τὸ τοῦ μείζονος αἴτιον, μεῖζον. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἀμφοτέρως μεῖζόν ἐστι φαίνεσθαι· καὶ γὰρ εἰ ἀρχὴ τόδε, τὸ δὲ μὴ ἀρχὴ, δόξει μεῖζον εἶναι· καὶ εἰ μὴ ἀρχὴ, τὸ δὲ ἀρχή· τὸ γὰρ τέλος, μεῖζον, καὶ οὐκ ἀρχή· ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου, τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν. οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλεύσαντος· πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος· οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων.

Et cum duæ ſunt cauſæ, quod à majori cauſa naſcitur, majus eſt, & contrà propoſitis duobus principiis, quod rei majoris principium eſt, illud eſt majus: & propoſitis duabus cauſis, quæ majoris rei cauſa eſt, illa eſt major. Ex iis, quæ dicta ſunt, perſpicuum eſt, utroque modo poſſe aliquid majus videri: nam, ſi hoc principium eſt, illud autem non eſt, videbitur eſſe majus: & contrà, ſi non principium hoc eſt, illud verò eſt principium, quod enim ultimum, finisque eſt, majus eſt, non, quod principium, quemadmodum Leodamas, cum Calliſtratum accuſaret, dixit eum, qui conſilium dederat, magis in culpa eſſe, quàm qui ſcelus commiſerat, neque enim ſcelus illud commiſſum fuiſſet, niſi ejus auctor, & conſiliarius extitiſſet. At verò, cum accuſaret Chabriam, dixit eum magis peccaſſe, qui fecerat, quàm qui conſuluerat, neque enim flagitium extitiſſet, niſi eſſet inventus, qui faceret;

hujus enim gratia delibe-
rant, ut quod ſtatutum
102 fuerit, efficiant. * Et,
quod rarius eſt, affluenti
eſt præſtantius, ut aurum
ferro, quod quamvis mi-
nus ſit utile; tamen ejus
poſſeſſio majoris æſtimatur,
quia difficilior eſt, quod in
aliquibus rebus contra ſe
habet: ſiquidem, quod
vulgare eſt, ei, quod eſt
rarum, anteponitur; quo-
niam frequentior eſt uſus:
id enim, quo ſæpiùs uti-
mur, præſtat ei, quo ra-
riùs: unde dicitur. Op-
tima quidem aqua. Et
omninò, quod difficilius
eſt procliviore majus eò,
quòd etiam rarius eſt, &
contra, nonnunquam,
quod proclivius eſt, diffici-
liori præſtat, ſic enim ſe
103 habet, ut volumus. * Præ-
tereà id majus eſt, cu-
jus contrarium eſt majus,
& cujus privatio major.
104 * Et virtus non virtute, &
vitioſitas non vitioſitate
major eſt: nam illæ fines
ſunt, hæc autem non
105 ſunt fines. * Et quorum
opera pulchriora, aut tur-
piora ſunt, ipſa ſunt ma-
jora, & quorum virtu-
tes, aut vitia majora,

τούτου γὰρ ἕνεκα ἐπιβουλεύουσιν, ὅπως πράξωσι. * Καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου· οἷον, χρυσὸς σιδήρου, ἀχρηστότερος ὤν· μείζων γὰρ ἡ κτῆσις, διὰ τὸ χαλεπωτέραν εἶναι. ἄλλον δὲ τρόπον, τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει· τὸ γὰρ πολλάκις, τοῦ ὀλιγάκις ὑπερέχει· ὅθεν λέγεται, Ἄριστον μὲν ὕδωρ. καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος· σπανιώτερον γάρ. ἄλλον δὲ τρόπον, τὸ ῥᾷον τοῦ χαλεπωτέρου· ἔχει γὰρ ὡς βουλόμεθα. * Καὶ ᾧ τὸ ἐναντίον μεῖζον. καὶ οὗ ἡ στέρησις μείζων. * Καὶ ἀρετὴ μὴ ἀρετῆς, καὶ κακία μὴ κακίας μείζων· τὰ μὲν γὰρ, τέλη· τὰ δ', οὐ τέλη. * Καὶ ὧν τὰ ἔργα καλλίω, ἢ αἰσχίω, μείζω αὐτά. καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ μείζους,

καὶ

καὶ τὰ ἔργα μείζω, ἐπείπερ, ὡς τὰ αἴτια καὶ αἱ ἀρχαὶ, καὶ τὰ ἀποβαίνοντα· καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ τὰ αἴτια καὶ αἱ ἀρχαί. * Καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα, ἢ καλλίων· οἷον, τὸ ἀκριβῶς ὁρᾶν, αἱρετώτερον τοῦ ὀσφραίνεσθαι· καὶ γὰρ ὄψις, ὀσφρήσεως· καὶ τὸ φιλεταῖρον εἶναι, τοῦ φιλοχρήματον, μᾶλλον κάλλιον· ὥστε καὶ φιλεταιρία, φιλοχρηματίας. καὶ ἀντικειμένως δὲ, τῶν βελτιόνων αἱ ὑπερβολαὶ, βελτίους· καὶ καλλιόνων, καλλίους. * Καὶ ὧν αἱ ἐπιθυμίαι καλλίους, ἢ βελτίους· αἱ γὰρ μείζους ὀρέξεις, μειζόνων εἰσί· καὶ τῶν καλλιόνων δὲ, ἢ καὶ βελτιόνων αἱ ἐπιθυμίαι, βελτίους καὶ καλλίους διὰ τὸ αὐτό. * Καὶ ὧν αἱ ἐπιστῆμαι καλλίους ἢ σπουδαιότεραι, καὶ τὰ πράγματα καλλίω καὶ σπουδαιότερα·

etiam opera majora ſunt; quoniam, ut ſe habent cauſæ, & principia, ita etiam eventa. Atque ut eventa ſe habent; ita etiam cauſæ, & principia.

* Et quorum exuperantia magis expetenda, aut melior eſt, ut acutè videre magis expetendum eſt, quàm olfacere, ergo etiam viſus olfactu præſtantior. Et ſociorum ſtudioſum eſſe, magis decet, quàm pecuniarum. Quare ſtudium ſociorum comparandorum, quàm pecuniarum laudabilius eſt, & è converſo ordine rerum meliorum exuperantiæ meliores ſunt, & honeſtiorum honeſtiores. 106

* Et, quorum cupiditates honeſtiores, & meliores ſunt, ea quoque meliora ſunt, & honeſtiora: majores enim rerum majorum ſunt appetitiones, atque ideò honeſtiorum, & meliorum ſunt etiam meliores, & honeſtiores cupiditates. 107

* Et, quarum rerum ſcientiæ pulchriores, & exquiſitiores ſunt, ipſæ quoque res ſunt pulchriores, & exquiſitiores, 108

quemadmodũ enim ſcientia ſe habet, ita etiam verum, & unaquæque ſcientia, quod ipſius eſt propriũ præcipit, ac tradit. Atque hac de cauſa rerum exquiſitiorum, & pulchriorum etiam ſcientiæ ſunt eadem
109 ratione tales. * Et quod prudentes homines vel cuncti, vel multi, vel plures, vel præſtantiſſimi majus bonum eſſe judicarent, aut antea judicarunt, id eſſe tale neceſſe eſt, ſive ſimpliciter in omnibus rebus, ſive in ea re, cujus periti ſunt, judicavere. Eſt autem hoc etiam in aliis omnibus commune, ut prudentes intelligant, & quid, & quantum, & quale; prout unaquæque ars, & ſcientia tradit. At nos hoc loco de bonis verba facimus, nam antea bonum id eſſe ſtatuimus, quod res omnes, ſi prudentiam haberent, ſibi eligerent. Ex quo perſpicuum eſt, majus id eſſe bonum, quod prudentia magis expetit.
110 * Et id quod melioribus adeſt, ſive ſimpliciter, ſive ex ea parte, qua meliora ſunt; ut fortitudo robori præſtat.

ὡς γὰρ ἔχει ἡ ἐπιστήμη, καὶ τὸ ἀληθές. κελεύει δὲ τὸ αὐτῆς ἑκάστη. καὶ τῶν σπουδαιοτέρων δὲ καὶ καλλιόνων αἱ ἐπιστῆμαι, ἀνάλογον διὰ ταῦτα. * Καὶ ὃ κεκρίναιεν ἂν ἢ κεκρίκασιν οἱ φρόνιμοι, ἢ πάντες, ἢ οἱ πολλοὶ, ἢ οἱ πλείους, ἢ οἱ κράτιστοι, ἀγαθὸν, ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν, ἢ ἁπλῶς, ἢ εἰ κατὰ τὴν φρόνησιν ἔκριναν. ἔστι δὲ τοῦτο κοινὸν καὶ κατὰ τῶν ἄλλων. καὶ γὰρ τί, καὶ ποσὸν, καὶ ποιὸν, οὕτως ἔχει, ὡς ἂν ἡ ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι· ἀλλ' ἐπ' ἀγαθῶν εἰρήκαμεν· ὥρισται γὰρ ἀγαθὸν εἶναι, ὃ λαβόντα τὰ πράγματα φρόνησιν, ἕλοιτ' ἂν ἕκαστον. δῆλον οὖν, ὅτι καὶ μεῖζον, ὃ μᾶλλον ἡ φρόνησις λέγει. * Καὶ τὸ τοῖς βελτίοσιν ὑπάρχον, ἢ ἁπλῶς, ἢ ᾗ βελτίους· οἷον ἡ ἀνδρεία ἰσχύος.

* Καὶ

* Καὶ ὃ ἕλοιτ' ἂν ὁ βελτίων, ἢ ἁπλῶς, ἢ ᾗ βελτίων· οἷον τὸ ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν· τοῦτο γὰρ ὁ δικαιότερος ἕλοιτ' ἄν. * Καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος. τὴν γὰρ ἡδονὴν πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι ὀρέγονται. ὥρισται δὲ τούτοις τὸ ἀγαθὸν, καὶ τὸ τέλος. ἥδιον δὲ, τό,τε ἀλυπότερον, καὶ τὸ πολυχρονιώτερον ἡδύ. * Καὶ τὸ κάλλιον, τοῦ ἧττον καλοῦ· τὸ γὰρ καλόν ἐστιν, ἤτοι τὸ ἡδὺ, ἢ τὸ καθ' αὑτὸ αἱρετόν. * Καὶ ὅσων αὐτοὶ αὑτοῖς ἢ φίλοις βούλονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγαθά· ὅσων δὲ ἥκιστα, μείζω κακά. * Καὶ τὰ πολυχρονιώτερα, τῶν ὀλιγοχρονιωτέρων. καὶ τὰ βεβαιότερα, τῶν μὴ βεβαιοτέρων· ὑπερέχει γὰρ ἡ χρῆσις, τῶν μὲν, τῷ χρόνῳ, τῶν δὲ, τῇ βουλήσει· ὅταν γὰρ βούλωνται, ὑπάρχει μᾶλλον ἡ τοῦ βεβαίου.

* Et quod vir melior e- 111
ligeret, vel abſolutè,
vel quatenus melior eſt;
ut injuriam accipere po-
tiùs, quàm inferre. * Id 112
etiam, quod jucundius
eſt, magis eſt expeten-
dum, quàm minus jucun-
dum, nam omnia volupta-
tem ſequuntur, & ejus
ipſius cauſa jucundè vive-
re cupiunt; quibus rebus
boni, finisque natura jam
à nobis ſuprà definita eſt.
Jucundius autem illud eſt,
quod & minùs habet mo-
leſtiæ, & diutiùs perdu-
rat. * Et quod pulchrius 113
eſt minus pulchro, nam
pulchrum aut eſt jucun-
dum, aut propter ſe ex-
petendum. * Ea quoque 114
majora bona ſunt, quo-
rum ſibi homines, aut a-
micis auctores eſſe ma-
lunt, quorum autem
minimè volunt auctores
eſſe, ea majora ſunt mala.
* Et diuturniora bona bre- 115
vioribus, & ſtabiliora in-
certioribus: nam diutur-
niorum uſus tempore
præſtat, ſtabiliorum
autem voluntate; quo-
niam quod ſtabile, ac fir-
mum eſt, voluntatibus no-
ſtris præſtò ſemper adeſt,

116 * Et eo pacto, quo à conjugatis, & caſibus ſimilibus alia conſequuntur; ut, ſi fortiter ſe gerere pulchrius, & magis expetendum eſt, quàm temperanter, etiam fortitudo magis erit expetenda, quàm temperantia, & fortem eſſe magis, quàm eſſe tempe-
117 rantem. * Et, quod omnes expetunt, majus eſt, quàm quod non omnes, & quod plures, quàm, quod pauciores; bonum enim id eſſe diximus, quod omnes expetunt. Itaque majus id bonum eſt, quod ma-
118 gis expetitur. * Et quod aut adverſarii, aut hoſtes, aut diſceptatores, aut qui verè judicare poſſe cenſentur; illud enim perinde eſt, ac ſi omnes tale eſſe faterentur; hoc autem ac ſi qui in ſua poteſtate rem habent, & ejus valdè ſunt intelli-
119 gentes. * Atque interdum illud majus habetur, cujus omnes participes ſunt, labes enim, atque ignominia eſt, non illud participare, interdum illud, cujus nemo, aut pauci ſunt participes: id enim eſt rarius.

* Καὶ ὡς ἂν ἐκ τῶν συστοίχων καὶ τῶν ὁμοίων πτώσεων, ἔχῃ τἄλλα ἀκολουθεῖ· οἷον, εἰ τὸ ἀνδρείως κάλλιον καὶ αἱρετώτερον τοῦ σωφρόνως, καὶ ἀνδρεία σωφροσύνης αἱρετωτέρα, καὶ τὸ ἀνδρεῖον εἶναι, τοῦ σωφρονεῖν. * Καὶ ὃ πάντες αἱροῦνται, τοῦ ὃ μὴ πάντες. καὶ ὃ οἱ πλείους, ἢ οἱ ἐλάττους. ἀγαθὸν γὰρ ἦν, οὗ πάντες ἐφίενται· ὥστε καὶ μεῖζον, οὗ μᾶλλον. * Καὶ ὃ οἱ ἀμφισβητοῦντες, ἢ οἱ ἐχθροὶ, ἢ οἱ κρίνοντες, ἢ οὓς οὗτοι κρίνουσι· τὸ μὲν γὰρ, ὡς ἂν οἱ πάντες φαῖεν, ἐστί· τὸ δὲ, οἱ κύριοι καὶ οἱ εἰδότες. * Καὶ ὁτὲ μὲν, οὗ πάντες μετέχουσι, μεῖζον· ἀτιμία γὰρ τὸ μὴ μετέχειν. ὁτὲ δὲ, οὗ μηδεὶς, ἢ οὗ ὀλίγοι· σπανιώτερον γάρ.

* Καὶ

* Καὶ τὰ ἐπαινετώτερα· καλλίω γάρ. καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως· ἡ γὰρ τιμή, ὥσπερ ἀξία τίς ἐστι. καὶ ὧν ἡ ζημίαι μείζους. * Καὶ τὰ τῶν ὁμολογουμένων αἱ φαινομένων μεγάλων, μείζω. * Καὶ διαιρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ, μείζω φαίνεται. πλειόνων γὰρ ὑπεροχὴ φαίνεται. ὅθεν καὶ ὁ ποιητής φησιν, πεῖσαι λέγουσαν τὸν Μελέαγρον ἀναστῆναι·

120 * Et quæ laudabiliora, nam eadem ſunt honeſtiora, & ea, quibus majores honores tribuuntur, honor enim tanquam æſtimatio quædam eſt, & quibus pœnæ majores conſtitutæ ſunt. * Et quæ majora 121 ſunt eis, quæ omnes magna eſſe confitentur, aut quæ magnorum ſpeciem præ ſe ferunt. * Et, quæ 122 in partes diſſecantur, majora videntur, nam in eis apparet plurium rerum quædam exuperantia. Unde etiam Poeta ſcribit Meleagrum ab uxore ad bellum hac ratione fuiſſe concitatum.

Ὅσα κάκ' ἀνθρώποισι
πέλει, τῶν ἄστυ ἁλώῃ,
Λαοὶ μὲν φθινύθουσι,
πόλιν δέ τε πῦρ ἀμαθύνει,
Τέκνα δέ τ' ἄλλοι ἄγουσι, ----

Quot mala concurrunt, quoties crudeliter urbē
Diripiunt hoſtes, pereunt juvenesque, ſenesque:
Ilicet ignis edax evertit tecta domorum:
Abducunt alii natos, --

* Καὶ τὸ συντιθέναι καὶ ἐποικοδομεῖν, ὥσπερ Ἐπίχαρμος· διά τε τὸ αὐτὸ τῇ διαιρέσει· ἡ γὰρ σύνθεσις, ὑπεροχὴν δείκνυσι πολλήν·

* Præterea componendo, 123 & quaſi ſuperſtruendo fit, ut majus aliquid videatur, quemadmodum Epicharmus facere conſuevit: nam partim eadem ferè ratione, qua diviſio, etiam compoſitio, magnam oſtendit exuperantiam,

partim quia principium, & cauſa rerum magnarum eſſe videtur.
124 * Quoniam autem id, quod difficilius eſt, & rarius, habetur majus, accidit, ut etiam occaſiones, ætates, loci, tempora, facultates res magnas efficiant: ſi quid enim ſupra vires, & ſupra ætatem, & ſupra æquales, & ſi opportunè, ſi loco, ſi tempore geſtum fuerit, magnitudinem habebit, & in rebus honeſtis, & in bonis, & in juſtis, atque etiam in contrariis, quo ſenſu factum eſt epigramma in victorem illum Olympiorum:

His humeris antè, impoſita mibi corbe, redibam
Ex Argo, preſſus piſcibus, in Tegeam:

& Iphicrates, ſe ipſum laudans, ita dicebat. *Ex quibus initiis ad hæc perveni?*
125 * Atque id, quod innatum, inſitum eſt, aſſumpto, & adventitio majus; quoniam etiam difficilius eſt, unde Poeta inquit,

Ipſe meo didici Marte;

καὶ ὅτι ἀρχὴ φαίνεται μεγάλων καὶ αἴτιον. * Ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, καὶ οἱ καιροὶ, καὶ αἱ ἡλικίαι, καὶ οἱ τόποι, καὶ οἱ χρόνοι, καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα· εἰ γὰρ παρὰ δύναμιν, καὶ παρ' ἡλικίαν, καὶ παρὰ τοὺς ὁμοίους, καὶ εἰ οὕτως, ἢ ἐνταῦθα, ἢ τόθ', ἕξει μέγεθος καὶ καλῶν καὶ ἀγαθῶν, καὶ δικαίων, καὶ τῶν ἐναντίων· ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ·

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσυλλαν,
Ἰχθῦς ἐξ Ἄργους εἰς Τεγέαν ἔφερον,

καὶ ὁ Ἰφικράτης αὐτὸν ἐνεγκωμίαζε, λέγων,

Ἐξ ὧν ὑπῆρξε ταῦτα;

* Καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου· χαλεπώτερον γάρ· ὅθεν καὶ ὁ ποιητής φησιν,

Αὐτοδίδακτος δ' εἰμί.

* Καὶ

* Καὶ τὸ μεγάλου μέγιστον μέρος, οἷον, Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνηρῆσθαι, ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. * Καὶ τὰ ἐν χρείᾳ μείζονι, χρήσιμα, οἷον τὰ ἐν γήρᾳ καὶ νόσοις. * Καὶ δυοῖν τὸ ἐγγύτερον τοῦ τέλους. * Καὶ τὸ αὐτῷ ἢ ἁπλῶς· καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου· τὸ μὲν γὰρ αὐτῷ, τὸ δ᾽ οὔ. * Καὶ τὰ ἐν τέλει τοῦ βίου. τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει. * Καὶ τὰ πρὸς ἀλήθειαν, τῶν πρὸς δόξαν. ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων, οὐκ ἂν ἕλοιτο. διὸ καὶ τὸ εὖ πάσχειν, τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι:

*Et rei magnæ maxima pars, ut Pericles, cum funebrem orationem haberet, dixit, juventutem è civitate bello ſublatam, non aliter, ac ſi ver ex anno tolleretur. 126

* Et quæ in graviori tempore ſunt utilia, ut in ſenectute, & in morbo. 127

*Et duobus propoſitis, id quod fini propinquius eſt, etiam majus. 128

* Et quod privatim alicui prodeſt, majus eſt ipſi, quàm quod omnibus abſolutè: & quod fieri poteſt, melius, quàm quod non poteſt: illud enim in ipſo eſt, qui deliberat, hoc autem non. 129

* Et quæ in ipſo fine vitæ manent: nam magis finis rationem habent, quæ ſunt ipſi fini accommodata, atque vicina. 130

* Et quę rei veritatem ſpectantes, ſumimus, anteponenda ſunt iis, quæ ad opinionem, eorum autem, quę ad opinionem ſpectant, hęc definitio eſt; ut ea ſint, quę nemo aggrederetur, ſi illa clam hominibus fore exiſtimaret. Hinc eſt, quòd quibuſdam accipere beneficium, quàm facere, prędtantius videri poſſet: 131

illud enim, etiam ſi lateat, expetitur: conferre autem beneficium in alterum, ſi lateat, non ſanè videtur
132 quiſquam expetere. * Et quicquid magis optant homines eſſe, quàm videri, majus eſt; nam ad veritatem magis accedit: ideo ſunt, qui dicant juſtitiam tenuem, puſillamque rem eſſe; quoniam præſtat juſtum videri, quàm eſſe; ſed benè valere non item.
133 * Et, quod ad multas res eſt utilius ut ad vivendum, & ad benè vivendum, & ad voluptatem, & ad res honeſtas conficiendas. Quamobrem divitiæ, & bona valetudo maximè eſſe bona videntur, quoniam omnes commo-
134 ditates in ſe habent. * Et quod minus habet moleſtiæ; & quod voluptati conjunctum eſt: nam plura ſunt uno; eſt enim illic & voluptas, quod eſt bonum, & indolentia. Et duobus propoſitis, id, quod eidem rei adjunctum, efficit, ut totum majus ſit, ma-
135 gis eſt expetendum. * Et quæ cum præſentia ſunt, clàm eſſe non poſſunt, majora ſunt, quàm quę latent:

τὸ μὲν γὰρ, κἂν λανθάνῃ, αἱρήσεται· ποιεῖν δ' εὖ λανθάνων οὐ δοκεῖ ἂν ἑλέσθαι. * Καὶ ὅσα εἶναι μᾶλλον ἢ δοκεῖν βούλονται. πρὸς ἀλήθειαν γὰρ μᾶλλον. διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν, ἢ εἶναι αἱρετώτερον. τὸ δὲ ὑγιαίνειν, οὔ. * Καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον· οἷον, τὸ πρὸς τὸ ζῆν, καὶ εὖ ζῆν, καὶ τὴν ἡδονὴν, καὶ πράττειν τὰ καλά· διὸ καὶ ὁ πλοῦτος, καὶ ἡ ὑγίεια, μέγιστα δοκεῖ εἶναι· ἅπαντα γὰρ ἔχει ταῦτα. * Καὶ τὸ ἀλυπότερον, καὶ τὸ μεθ' ἡδονῆς· πλείω γὰρ ἑνός· ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν, καὶ ἡ ἀλυπία. καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον, μεῖζον τὸ ὅλον ποιεῖ· * Καὶ ἃ μὴ λανθάνει παρόντα, ἢ ἃ λανθάνει.

πρὸς

Digitized by Google

πρὸς ἀλήθειαν γὰρ τείνει ταῦτα. διὸ τὸ πλουτεῖν φανείη ἂν μεῖζον ἀγαθὸν τοῦ δοκεῖν. * Καὶ τὸ ἀγαπητόν· καὶ τοῖς μὲν, μόνον, τοῖς δὲ, μετ' ἄλλων. διὸ καὶ οὐκ ἴση ζημία, ἄν τις τὸν ἑτερόφθαλμον τυφλώσῃ καὶ τὸν δύ' ἔχοντα· ἀγαπητὸν γὰρ ἀφῄρηται. ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν, καὶ ἀποτρέπειν, σχεδὸν εἴρηται.

quoniam ad veritatem magis accedunt. Itaque locupletem eſſe majus bonum videri poteſt, quàm exiſtimari. * Et quod amabile, 136
& carum eſt his quidem ſolùm, illis autem cum aliis bonis conjunctum, quare non æqualis pœna legibus eſt conſtituta; ſi quis altero captum oculo cæcaverit: & ſi quis, duos oculos habenti, alterum effoderit, nam illi id ereptum eſt, quod maximè carum erat. Jam igitur, unde ſumenda ſint argumenta, & in ſuadendo, & in diſſuadendo, ferè dictum eſt.

CAPUT VIII.

De Speciebus Politiarum.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Quatuor eſſe Politiarum Species.*
2 *Singularum ſuas eſſe definitiones.*
3 *Diverſos eſſe earum omnium fines, ac proinde diverſos mores, diverſa inſtituta.*

α'. * Μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν, καὶ καλῶς συμβουλεύειν,

2 * MAXIMUM autem, & potentiſſimum omnium ad perſuadendi facultatem, & benè conſulendum id eſt; 137

ſi quis Reſpublicas omnes cognitas habeat, & uniuſcujuſque mores, inſtituta, atque utilitates intelligat; omnes enim utilitate moventur. Illud autem utile eſt, quod civitatis ſtatum conſervat.
138 * Prætereà decretum id firmum eſt, quod ab illo ordine factum fuerit, in cujus poteſtate omnia conſtituta ſunt, ſummæ verò poteſtates ſecundum Rerumpublicarum ſtatus diſtributę ſunt: quot enim Rerumpublicarum genera ſunt; totidem etiam ſunt ſummæ poteſtates. Sunt autem Rerump. genera quatuor, Democratia, Oligarchia, Ariſtocratia, Monarchia. Itaque ſumma poteſtas, quæ de rebus judicet, aut eſt eorum generum aliqua pars,
139 aut totum. * Ac Democratia quidem eſt Reipublicæ ſtatus, in quo ſortitione tantùm magiſtratus diſtribuuntur. Oligarchia verò eſt, in qua ex cenſu magiſtratus eliguntur. Ariſtocratia dicitur illa, in qua magiſtratus diſtribuuntur iis, qui diſciplinam perceperunt.

τὰς πολιτείας ἁπάσας λαβεῖν, καὶ τὰ ἑκάστης ἔθη, καὶ νόμιμα, καὶ συμφέροντα διελεῖν. πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι. συμφέρει δὲ τὸ σῶζον τὴν πολιτείαν. * Ἔτι δὲ, κυρία μὲν ἐστὶν ἡ τοῦ κυρίου ἀπόφασις· τὰ δὲ κύρια διήρηται κατὰ τὰς πολιτείας· ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν. * Εἰσὶ δὲ πολιτεῖαι τέσσαρες, δημοκρατία, ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία· ὥστε, τὸ μὲν κύριον καὶ τὸ κρῖνον, τούτων δὴ ἂν εἴη μόριον, ἢ ὅλον τούτων.

β. * Ἔστι δὲ δημοκρατία μὲν, πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς· ὀλιγαρχία δὲ, ἐν ᾗ οἱ ἀπὸ τιμημάτων· ἀριστοκρατία δὲ, ἐν ᾗ οἱ κατὰ παιδείαν. παιδείαν δὲ λέγω,

τὴν

τὴν ὑπὸ τῶν νόμων κειμένην· οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς νομίμοις, ἐν τῇ ἀριστοκρατίᾳ ἄρχουσιν. ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίστους· ὅθεν καὶ τοὔνομα εἴληφε τοῦτο· μοναρχία δ' ἐστὶ, κατὰ τοὔνομα, ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστι· τούτων δὲ, ἡ μὲν κατὰ τάξιν τινὰ, βασιλεία· ἡ δ' ἀόριστος, τυραννίς.

γʹ. * Τὸ δὴ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν· αἱροῦνται γὰρ τὰ πρὸς τὸ τέλος. ἔστι δὲ, δημοκρατίας μὲν τέλος, ἐλευθερία· ὀλιγαρχίας δὲ, πλοῦτος· ἀριστοκρατίας δὲ, τὰ πρὸς παιδείαν καὶ τὰ νόμιμα· τυραννίδος δὲ, φυλακή. δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης, ἤθη καὶ νόμιμα, καὶ συμφέροντα, διαιρετέον. εἴπερ αἱροῦνται πρὸς τοῦτο ἐπαναφέροντες.

diſciplinam autem eam intelligo, quæ à lege conſtituta ſit: nam qui permanent in inſtitutis civitatis, in Ariſtocratia magiſtratus gerunt: neceſſe eſt enim hujuſmodi viros optimos videri, unde etiam Ariſtocratia nomen habet. Monarchia eſt, ut nomen indicat, in qua unus omnium dominus eſt: quæ ſi definita eſt, & ordinem quendam ſervat; regnum vocatur. Si verò inordinata, atque ex unius libidine, tyrannis appellatur.

3 * Oportet igitur, 140
finem uniuſcujuſque Reipublicę cognitum habere: nam ea ſingulæ quęrunt, quæ ad finem ſuum tendunt. Eſt autem Democratiæ finis libertas, Oligarchiæ divitiæ, Ariſtocratiæ quæ ad diſciplinam, legesque civitatis pertinent, Tyrannidis cuſtodia. Perſpicuum eſt igitur, oportere diſtincta, & cognita habere omnia, quæ ad finem ſpectant, ut mores, ut inſtituta, res utiles: nam omnes quæcunque eligunt, ad finem ſuum referunt.

141 * Et, quoniam fides non tantum argumentis fit; ſed etiam oratione, quæ dicentis mores exprimit (credimus enim ei, qui ita affectus eſſe videtur, ut aut vir bonus appareat, aut benevolus, aut utrunque) opus eſt uniuſcujuſq; Reipublicæ mores benè cognitos habere, mores enim cujuſque civitatis oratione expreſſi, neceſſe eſt, ut ad perſuadendum vim habeant maximam, qui quidem ex eis, quæ antè dicta ſunt facilè cognoſci poterunt: nam ex eo, quod ſibi quæque civitas propoſuit, apertè mores cognoſcuntur, proponunt autem ea ſibi, quæ ad finem referuntur.

142 * Sed jam quæ ſibi proponere debeant illi, qui ſuadent aliqua, tanquam futura, & inſtantia, & unde poſſint argumenta de eo, quod utile eſt ſumere, & prætereà de moribus, & inſtitutis, quibus ſinguli civitatum ſtatus reguntur, quibus rationibus, & quomodo poſſimus dicendi copiam habere,

* Ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου, ἀλλὰ καὶ δι' ἠθικοῦ· τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα, πιστεύομεν· τοῦτο δ' ἐστὶν, ἂν ἀγαθὸς φαίνηται, ἢ εὔνους, ἢ ἄμφω, δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς· τὸ μὲν γὰρ ἑκάστης ἦθος, πιθανώτατον ἀνάγκη πρὸς ἑκάστην εἶναι. ταῦτα δὲ ληφθήσεται διὰ τῶν αὐτῶν· τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν· ἡ δὲ προαίρεσις, ἀναφέρεται πρὸς τὸ τέλος. * Ὧν μὲν οὖν δεῖ ὀρέγεσθαι προτρέποντας, ὡς ἐσομένων ἢ ὄντων· καὶ ἐκ τίνων δεῖ τὰς περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν· ἔτι δὲ, περὶ τῶν κατὰ τὰς πολιτείας ἠθῶν καὶ νομίμων· διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν,

ἐφ'

ἐφ' ὅσον ἦν τῷ παρόντι καιρῷ σύμμετρον, εἴρηται· διηκρίβωται γὰρ ἐν τοῖς πολιτικοῖς περὶ τούτων.

quantum decuit in hac arte quærere, diximus: nam in libris de Rep. de his accuratiùs pertractatum eſt.

CAPUT IX.

De fine laudantis, & vituperantis, hoc eſt, de honeſto, & turpi, de virtute, ac vitio.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Definitur honeſtum, & virtus.*
2 *Species virtutis numerantur, & definiuntur.*
3 *Statuuntur propoſitiones, quibus oſtendi poteſt aliquid eſſe honeſtum.*
4 *Item alia, quæ valent ad cauſandam quandam apparentiam honeſtatis.*

α. * ΜΕΤΑ' δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας, καὶ καλοῦ καὶ αἰσχροῦ, οὗτοι γὰρ σκοποὶ τῷ ἐπαινοῦντι καὶ ψέγοντι· συμβήσεται γὰρ ἅμα περὶ τούτων λέγοντας, κἀκεῖνα δηλοῦν, ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος·

1 * DEINCEPS autem de virtute, & vitio, de honeſtate, & turpitudine dicamus: laudanti enim, & vituperanti ſunt hi propoſiti fines, ſimul etiam illud commodum conſequetur, ut, dum hæc agimus, etiam illa declaremus, unde mores noſtros oſtendamus, 143

quod

quod erat ſecundum probationis genus, ex iiſdem enim locis, & nos ipſos, & alium quemlibet ita ornabimus, ut tanquam probis viris, & virtute præditis fides habeatur. Et quoniam ſæpè fit, ut vel animi gratia, vel ſeriò, ſtudioſèque laudemus non tantùm hominem, aut Deum, ſed etiam ea, quæ anima carent, & quodcunque animal nobis viſum fuerit, eodem modo, quo in ſuperiori genere fecimus, etiam de his rebus videndum, unde propoſitiones ſumendæ ſint. Quare non exquiſitè, ſed exempli tantùm gratia de his e-
144 tiam dicamus. * Pulchrum igitur id eſt, quod cum propter ſe ſit expetendum, eſt etiam laudabile, vel quod, cum bonum ſit, eſt etiam jucundum, quatenus bonum. Quòd ſi pulchrum eſt hujuſmodi, neceſſe eſt, virtutem eſſe pulchram; quoniam cum ſit bona; eſt etiam
145 laudabilis. * Virtus autem eſt, ut ferè videtur, facultas comparandi,

ὅπερ ἦν δευτέρα πίστις· ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον ἀξιόπιστον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν. ἐπεὶ δὲ συμβαίνει καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν πολλάκις, οὐ μόνον ἄνθρωπον, ἢ θεὸν, ἀλλὰ καὶ ἄψυχα, καὶ τῶν ἄλλων ζώων τὸ τυχόν. τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προτάσεις. ὥστε ὅσον παραδείγματος χάριν, εἴπωμεν καὶ περὶ τούτων. * Καλὸν μὲν οὖν ἐστιν, ὃ ἂν δι' αὐτὸ αἱρετὸν ὂν, ἐπαινετὸν ᾖ. ἢ ὃ ἂν ἀγαθὸν ὂν, ἡδὺ ᾖ, ὅτι ἀγαθόν. εἰ δὲ τοῦτό ἐστι τὸ καλὸν, ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι· ἀγαθὸν γὰρ ὂν, ἐπαινετόν ἐστιν. * Ἀρετὴ δὲ, ἐστὶ μὲν δύναμις, ὡς δοκεῖ, ποριστικὴ,

ἀγα-

ἀγαθῶν καὶ φυλακτική· καὶ δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων περὶ πάντα.

β'. * Μέρη δὲ ἀρετῆς, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πρᾳότης, φρόνησις, σοφία. ἀνάγκη δὲ, μεγίστας εἶναι ἀρετὰς, τὰς τοῖς ἄλλοις χρησιμωτάτας, εἴπερ ἐστὶν ἡ ἀρετὴ δύναμις εὐεργετική. διὰ τοῦτο τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα τιμῶσιν· ἡ μὲν γὰρ ἐν πολέμῳ, ἡ δὲ, καὶ ἐν εἰρήνῃ χρήσιμός ἐστιν αὐτοῖς. εἶτα ἡ ἐλευθεριότης· προΐενται γὰρ, καὶ οὐκ ἀνταγωνίζονται περὶ τῶν χρημάτων, ὧν μάλιστα ἐφίενται ἄλλοι. * Ἔστι δὲ, δικαιοσύνη μὲν, ἀρετὴ, δι' ἣν τὰ αὑτῶν ἕκαστοι ἔχουσι, καὶ ὡς ὁ νόμος. ἀδικία δὲ, δι' ἣν τὰ ἀλλότρια, οὐχ ὡς ὁ νόμος.

quæ bona ſunt, & eadem conſervandi, & facultas multa, & magna in alios merita conferendi, & quę poteſt omnes omnibus in rebus adjuvare,

2 * Partes autem 146
virtutis ſunt juſtitia, fortitudo, temperantia, magnificentia, magnanimitas, liberalitas, manſuetudo, prudentia, ſapientia, Neceſſe eſt autem, omnium virtutum eas eſſe maximas, quæ ſunt aliis utiliſſimæ, ſi quidem virtus eſt facultas beneficia conferendi. Atque hac de cauſa juſti, & fortes viri maximè honorantur. Hi enim in bello, illi verò etiam in pace multis utiles ſunt. Deinde liberales; ideò ſunt in honore, quòd fortunas ſuas erogant, neque de pecuniis digladiantur, quarum reliqui mortales magnoperè cupidi ſunt.

* Eſt autem juſtitia 147
virtus, per quam ſinguli res ſuas habent, & eo modo, quo lex præcipit, injuſtitia verò, per quam aliena contra legem poſſidentur.

Forti-

Fortitudo eſt virtus, per quam homines res honeſtas in periculis aggrediuntur, easque gerunt, ut lex præcipit, & ſe legum miniſtros præbent. Timiditas verò vitium eſt contrarium. Temperantia virtus eſt, cujus opera homines ita corporis voluptates moderantur, ut lex jubet. Intemperantia vitium eſt contrarium. Liberalitas eſt, quæ pecuniis ſuppeditandis pluribus benefacit; cui contraria eſt illiberalitas. Magnanimitas eſt virtus, quæ maxima in alios beneficia confert, huic contraria eſt animi parvitas. Magnificentia virtus eſt, quę in ſumptibus faciendis amplitudinem ſequitur, huic etiam animi parvitas, & tenuitas eſt contraria. Prudentia eſt virtus rationis, per quam de bonis rebus, & malis, quæ ad beatam vitam pertinent, homines benè conſulere poſſunt.

ἀνδρεία ἐστὶ, δι' ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει, καὶ ὑπηρετικοὶ τῶ νόμω· δειλία ἐστὶ, τὐναντίον. σωφροσύνη δὲ, ἀρετὴ, δι' ἣν πρὸς τὰς ἡδονὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει· ἀκολασία δὲ, τὐναντίον. ἐλευθεριότης ἐστὶ, περὶ χρήματα εὖ ποιητική· ἀνελευθερία ἐστὶ, τὐναντίον. μεγαλοψυχία δὲ, ἀρετὴ μεγάλων ποιητικὴ εὐεργετημάτων· μικροψυχία ἐστὶ, τὐναντίον. μεγαλοπρέπεια ἐστὶ, ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική· μικροψυχία ἐστὶ καὶ μικροπρέπεια, τὐναντία. φρόνησις δ', ἐστὶν ἀρετὴ διανοίας, καθ' ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶν τῶν εἰρημένων εἰς εὐδαιμονίαν.

περὶ

περὶ μὲν οὖν ἀρετῆς καὶ κακίας καθόλου, καὶ περὶ τῶν μορίων, εἴρηται κατὰ τὸν ἐνεστῶτα καιρὸν ἱκανῶς.

γʹ. * Περὶ δὲ τῶν ἄλλων οὐ χαλεπὸν ἰδεῖν, φανερὸν γὰρ, ὅτι ἀνάγκη, τά τε ποιητικὰ τῆς ἀρετῆς εἶναι καλά. πρὸς ἀρετὴν γάρ. καὶ τὰ ἀπ' ἀρετῆς, γινόμενα· τοιαῦτα δὲ, τά τε σημεῖα τῆς ἀρετῆς, καὶ τὰ ἔργα. ἐπεὶ δὲ τὰ σημεῖα καὶ τὰ τοιαῦτα ὅσα εἰσὶν ἀγαθοῦ ἔργα ἢ πάθη καλὰ, ἀνάγκη ὅσα τε ἀνδρείας ἔργα, ἢ σημεῖα ἀνδρείας, ἢ ἀνδρείως πέπρακται, καλὰ εἶναι· καὶ τὰ δίκαια, καὶ τὰ δικαίως ἔργα· πάθη δὲ, οὔ. ἐν μόνῃ γὰρ ταύτῃ τῶν ἀρετῶν, οὐκ ἀεὶ τὸ δικαίως καλὸν, ἀλλ' ἐπὶ τοῦ ζημιοῦσθαι, αἰσχρὸν τὸ δικαίως μᾶλλον ἢ τὸ ἀδίκως· καὶ κατὰ τὰς ἄλλας δὲ ἀρετὰς, ὡσαύτως.

Ac de vittute quidem, & vitio, deque partibus eorum, quantum ad hanc preceptionem attinet, ſatis in præſentia dictum eſt;

3 * Nam cætera dignoſcere, non eſt difficile: 148 planum eſt enim eas res, quæ virtutis efficientes ſunt, neceſſariò honeſtas eſſe, quoniam ad virtutem referuntur: & quæ à virtute proficiſcuntur, quales ſunt virtutis ſignificationes, & actiones. Quoniam autem ſigna, & hujuſmodi rès, quæ ſunt alicujus boni opera, aut affectiones, honeſtæ ſunt, neceſſe eſt, ut quæcunque fortitudinis opera, aut ſigna ſunt, vel fortiter geſta, ſint etiam honeſta. Et quæ juſta ſunt opera, quæque juſtè fiunt, non tamen, quæ juſtè patimur, ſunt honeſta: nam in hac ſola virtute, non ſemper, quod juſtè fit, eſt honeſtum: in luenda enim pœna, quæ legibus impoſita eſt, turpius eſt juſtè, quàm injuſtè plecti: ſed in aliis virtutibus uno atque eodem modo ſe ſe res habet.

* Et

149 * Et ea, quibus præmium propoſitum eſt honor, honeſta ſunt: &, quæ magis honore, quàm pecu-
150 nia compenſantur. * Et quæ cum ſint expetenda, potiùs aliena cauſa, quàm
151 ſua fiunt. * Et quæ ſunt abſolutè bona, & quæ negleсta propria ſalute, pro patria geruntur ab aliquo.
152 * Et quæ bona dantur à
153 natura. * Et quæ non illi ipſi, qui habet, fructum afferunt: nam, quę afferunt, ejus ipſius gratia
154 ſunt. * Et quæcunq; mortuo ſæpiùs, quàm vivo, contingere ſolent; nam, quæ vivo fiunt, ipſius gratia facta videri poſſunt,
155 * Et quæcunque opera fiunt aliorum cauſa; minus enim ipſius gratia: & quæ in alienis negotiis curandis, benè conficiuntur, non autem in ſuis:
156 * Et quæ propter eos fiunt, à quibus beneficium acceptum fuerit; hoc enim juſtum eſt, & benefacta in alios, quoniam ad proprium fructum non refe-
157 runtur. * Et eorum contraria, propter quæ ſolent homines erubeſcere. Nam propter turpia,

* Καὶ ἐφ' ὅσοις τὰ ἆθλα τιμή, καλά. καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα. * Καὶ ὅσα μὴ αὐτοῦ ἕνεκα πράττει τις τῶν αἱρετῶν. * Καὶ τὰ ἁπλῶς ἀγαθὰ, ὅσα ὑπὲρ τῆς πατρίδος τις ἐποίησε, παριδὼν τὸ αὐτοῦ. * Καὶ τὰ τῇ φύσει ἀγαθά. * Καὶ ἃ μὴ αὐτῷ ἀγαθά· αὐτοῦ γὰρ ἕνεκα τὰ τοιαῦτα. * Καὶ ὅσα τεθνεῶτι ἐνδέχεται ὑπάρχειν μᾶλλον, ἢ ζῶντι. τὸ γὰρ αὐτοῦ ἕνεκα μᾶλλον ἔχει τὰ ζῶντι. * Καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα· ἧττον γὰρ αὐτοῦ. καὶ ὅσαι εὐπραγίαι περὶ ἄλλους, ἀλλὰ μὴ περὶ αὐτόν. * Καὶ περὶ τοὺς εὖ ποιήσαντας· δίκαιον γάρ· καὶ τὰ εὐεργετήματα· οὐ γὰρ εἰς αὐτόν. * Καὶ τὰ ἐναντία, ἢ ἐφ' οἷς αἰχύνονται· τὰ γὰρ αἰχρὰ αἰχύνονται,

καὶ

ἢ λέγοντες, ἢ ποιοῦντες, ἢ μέλλοντες· ὥσπερ καὶ Σαπφὼ πεποίηκεν, εἰπόντος τοῦ Ἀλκαίου,

Θέλω τί τ' εἰπεῖν, ἀλλά με κωλύει αἰδώς·
Αἲδ' ἦχες ἐσθλῶν ἵμερον ἢ καλῶν,
Καὶ μή τ' εἰπεῖν γλῶσσ' ἐκύκα κακὸν,
Αἰδώς κέν σε οὐκ εἶχεν ὄμματα,
Ἀλλ' ἔλεγες περὶ τῷ δικαίῳ.

* Καὶ περὶ ὧν ἀγωνιῶσι μὴ φοβούμενοι. περὶ γὰρ τῶν πρὸς δόξαν φερόντων ἀγαθῶν, τοῦτο πάσχουσι. * Καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ, καλλίους· ἢ τὰ ἔργα, οἷον, ἀνδρὸς, ἢ γυναικός. * Καὶ αἱ ἀπολαυστικαὶ ἄλλοις μᾶλλον ἢ αὐτοῖς· διὸ τὸ δίκαιον ἢ ἡ δικαιοσύνη καλόν. * Καὶ τὸ τοὺς ἐχθροὺς τιμωρεῖσθαι μᾶλλον, ἢ μὴ καταλλάττεσθαι· τό,τε γὰρ ἀντιαποδιδόναι δίκαιον·

cum aut ea dicunt, aut faciunt, vel cum dicturi, facturique ſunt, erubeſcunt, quemadmodum Alcęo poetæ reſpondit Sappho, cum enim ille dixiſſet, *Cupio tecum quædam loqui, ſed me deterret pudor*, illa ſic inquit. *Si te bonarum, aut honeſtarum rerum deſiderium teneret, neque lingua tua flagitium aliquod proferre tentaret; non ſanè pudor oculos tuos occupaſſet, ſed de re juſta liberè verba feciſſes*. * Et 158
ea, de quibus homines anguntur, cum tamen non metuant, ſunt honeſta, de iis, enim anguntur, & ſoliciti ſunt homines: quæ rectâ ad gloriam tendunt. * Honeſtiores etiam 159
eorum virtutes, & opera ſunt, qui natura ſunt meliores, ut viri, quàm mulieris. * Et virtutes il- 160
læ, quibus alii magis frui poſſint, quàm illi, in quibus ſunt: qua de cauſa juſtum, & juſtitia honeſta eſt. * Quin e- 161
tiam hoſtes potiùs ulciſci, quàm cum illis in gratiam redire, honeſtum eſt, nam par pari referre, juſtum eſt: quod

quod autem juſtum, eſt
etiam honeſtum, prætereà
viri fortis eſt, non pati ſe
162 inferiorem eſſe. * Victo-
ria quoque, & honor in
rebus honeſtis ſunt: ex-
petuntur enim, etiam ſi
nullum fructum ferant; &
quandam virtutis exupe-
163 rantiam oſtendunt. * Et
quę memoriam alicujus or-
nant, honeſta ſunt, & quan-
tò magis ornant, tantò
ſunt honeſtiora. Et quæ
mortuum etiam conſe-
quuntur, & quibus ho-
nor comitatur, & quæ e-
ximia ſunt, quæque ſolus
aliquis poſſidet, honeſtio-
ra putantur; magis enim
res hujuſmodi celebran-
164 tur. * Et prædia minimè
fructuoſa. Magis enim li-
165 beralia ſunt. * Et quæ
propria ſingularum ſunt,
66 habentur honeſta. * Et
quæ ſunt indicia rerum,
apud ſingulas gentes lau-
datarum; ut apud Lace-
dæmonios alere comam
honeſtum eſt. Eſt enim in-
genuitatis ſignum, neque
enim facilè eſt ei, qui co-
mam alit, aliquid ſervile
67 opus exequi. * Honeſtum
eſt etiam nullam artem e-
xercere mercenariam,

τὸ δὲ δίκαιον, κα-
λόν· καὶ ἀνδρεῖον, τὸ
μὴ ἡττᾶσθαι. * Καὶ
νίκη, καὶ τιμὴ, τῶν
καλῶν· αἱρετά τε γὰρ
ἄκαρπα ὄντα, καὶ ὑ-
περοχὴν ἀρετῆς δηλοῖ.
* Καὶ τὰ μνημονεύ-
ματα· καὶ τὰ μᾶλλον,
μᾶλλον. καὶ ἃ μὴ
ζῶντι ἕπεται· καὶ οἷς
τιμὴ ἀκολουθεῖ. καὶ τὰ
περιττά. καὶ τὰ μό-
νῳ ὑπάρχοντα, καλ-
λίω· εὐμνημονευτό-
τερα γάρ· * Καὶ κτή-
ματα ἄκαρπα· ἐ-
λευθεριώτερα γάρ.
* Καὶ τὰ παρ' ἑκά-
στοις δὲ ἴδια, καλά.
* Καὶ ὅσα σημεῖά ἐστι
τῶν παρ' ἑκάστοις ἐπ-
αινουμένων· οἷον ἐν
Λακεδαίμονι κομᾶν,
καλόν· ἐλευθερίας
γὰρ σημεῖον· οὐ γάρ
ἐστι κομῶντα ῥᾴδιον
οὐδὲν ποιεῖν ἔργον
θητικόν. * Καὶ τὸ
μηδεμίαν ἐργάζεσθαι
βάναυσον τέχνην;
ἐλευ-

ἐλευθέρου γὰρ, τὸ μὴ πρὸς ἄλλον ζῆν.

δ΄. * Ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν, ὡς ταὐτὰ ὄντα, καὶ πρὸς ἔπαινον, καὶ πρὸς ψόγον· οἷον τὸν εὐλαβῆ καὶ ψυχρὸν, δῆλον καὶ ἐπίβουλον· καὶ τὸν ἠλίθιον, χρηστόν· καὶ τὸν ἀνάλγητον, πρᾶον. καὶ ἕκαστον δὲ, ἐκ τῶν παρακολουθούντων ἀεὶ κατὰ τὸ βέλτιστον· οἷον, τὸν ὀργίλον καὶ τὸν μανικὸν, ἁπλοῦν· καὶ τὸν αὐθάδη, μεγαλοπρεπῆ καὶ σεμνόν· καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς, ὡς ἐν ταῖς ἀρεταῖς ὄντας· οἷον, τὸν θρασὺν, ἀνδρεῖον· καὶ τὸν ἄσωτον, ἐλευθέριον· δόξει τε γὰρ τοῖς πολλοῖς· καὶ ἅμα παραλογιστικὸν ἐκ τῆς αἰτίας· εἰ γὰρ οὐ μὴ ἀνάγκη κινδυνευτικὸς, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν· καὶ εἰ προετικὸς τοῖς τυχοῦσι,

nam liberalis hominis proprium eſt, non ad alterius arbitrium vivere.

4 * Aſſumenda prætereà ſunt ea, quæ vicina 168
ſunt, & proxima rebus ipſis, vel ad laudem, vel ad vituperationem; ut, ſi cautum, & ſibi fidentem hominem, timidum, & inſidioſum vocemus: ſi fatuum bonum: ſi lentum manſuetum: & in quaque re ſemper ex conſequentibus id, quod optimum videtur, capiamus; ut ſi iracundum, & truculentum, ingenii ſimplicis hominem dicamus: &, ſi contumacem magnificum, & gravem: &, qui in eo, quod eſt nimium, peccant, ſi ita probemus, quaſi in mediocritate, virtutibusque conſiſtant; ut, ſi temerarium fortem, prodigum liberalem appellemus. Sic enim imperitæ multitudini eſſe videbitur. Quin etiam ſubeſt ratio, cur in errorem plerique ducantur: nam, qui pericula non neceſſaria ſubit, multò magis videtur id facturus, cum aliqua res honeſta poſtulabit, & qui pecunias temerè profundit,

is

is etiam amicis facilè ſubveniet: nam ab exuperantia quadam virtutis provenit, omnibus beneface-
169 re. * Sed videndum eſt, apud quos quempiam laudes: nam, ut ajebat Socrates: non difficile eſt Athenienſes Athenis laudare. Oportet autem id, quod apud ſingulos in pretio, tale ſua vi eſſe dicere, ut apud Scythas, vel Lacones, vel Philoſophos, & omninò, quod in pretio eſt, ad honeſtum referri debet: quoniam propinquum eſſe videtur, & quæcunque illi conveniunt, qui laudatur, dicenda ſunt, ut ſi res dignas majoribus ſuis geſſit, & ſi hoc aliis rebus ab eo præclarè geſtis reſpondet; eſt enim beatum, & honeſtum, honori parto honorem adjungere, aut, ſi præter id, quod conveniebat, aliquid in meliorem, honeſtioremque partem efficit; ut, ſi cui res ſecundæ ſunt, is moderatus ſit, & ſi, cui fortuna eſt adverſa, is magno ſit animo, aut opibus, & dignitate auctus, melior, & placabilior evaſerit.

καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς, τὸ πάντας εὖ ποιεῖν. * Σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν. δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν, ὡς ὑπάρχον. οἷον, ἐν Σκύθαις, ἢ Λάκωσιν, ἢ φιλοσόφοις· καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν· ἐπείπερ δοκεῖ γειτνιᾶν. * Καὶ ὅσα κατὰ τὸ προσῆκον· οἷον, εἰ ἄξια τῶν προγόνων, καὶ τῶν προϋπηργμένων· εὐδαιμονικὸν γὰρ καὶ καλὸν, τὸ προσεπικτᾶσθαι τιμήν· ἢ εἰ παρὰ τὸ προσῆκον ἐπὶ τὸ βέλτιον, καὶ τὸ κάλλιον· οἷον, εἰ ὁ εὐτυχῶν μὲν, μέτριος, ὁ δὲ ἀτυχῶν, μεγαλόψυχος, ἢ μείζων γινόμενος, βελτίων καὶ καταλλακτικώτερος.

τοῖς-

τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους,
Ἐξ οἵων εἰς οἷα.

Tale fuit illud Iphicratis dictum: *E quibus initiis ad quas res:*

καὶ τὸ τοῦ Ὀλυμπιονίκου,
Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν.

& victoris Olympiorum.
His humeris ante, impoſita mihi corbe,

καὶ τὸ τοῦ Σιμωνίδου,
Ἣ πατρός τε καὶ ἀνδρὸς, ἀδελφῶν τ' οὖσα τυράννων.

atque illud Simonidis.
Hæc habuit patrem, atque virum, fratresque tyrannos.

* Ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τοῦ σπουδαίου τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν. χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα. διὸ καὶ τὰ συμπτώματα, καὶ τὰ ἀπὸ τύχης, ὡς ἐν προαιρέσει, ληπτέον· ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως. ἔστι δ' ἔπαινος, λόγος ἐμφανίζων μέγεθος ἀρετῆς. δεῖ οὖν τὰς πράξεις ἐπιδεικνύναι, ὡς τοιαῦται.

* Quoniam autem laus in 17
actionibus conſiſtit, & boni viri proprium eſt, in rebus gerendis delectum adhibere; danda eſt opera, ut oſtendamus, eum, quem laudamus, delectu adhibito, res ſuas geſſiſſe: ad quod probandum utile erit oſtendere ſæpiùs illum rectè feciſſe. Itaque illa etiam, quæ caſu, fortuitòque contingunt, tanquam conſilio, & ratione facta ſint, laudare debemus; nam ſi multa, & ſimilia prolata fuerint; ea virtutis, & conſilii ſignum eſſe videbuntur: laus enim eſt oratio, quæ virtutis magnitudinem explicat. Quare res geſtas ejus, quem laudamus, ita tractare oportet, quaſi à virtute profectæ ſint;

E lau-

laudatio enim tota ab actionibus pendet. Quæ verò extrinſecùs aſſumuntur, ad fidem faciendam valent; ut nobilitas, atque educatio: credibile eſt enim è bonis parentibus bonos naſci filios, & eum, qui benè fuerit educatus, bonum futurum. Quare laudamus eos, qui jam præclarè aliquid geſſerunt; actiones enim, & opera ſigna ſunt habitus animi. Et certè illum etiam laudaremus, qui nihil adhuc laude dignum geſſit; ſi certum haberemus eum talem futurum. At verò beati, & felicis appellatio eadem eſt: differt tamen à laude, atque encomio; nam, quemadmodum felicitas virtutem continet, ita felicis appellatio laudem, & encomium complecti-
171 tur. * Habent autem quandam communem ſpeciem demonſtrativuum genus, & deliberativum. Nam quæ utiliter in ſuadendo conſilia dantur, ea, commutato dicendi genere, in laudationes tranſeunt.

τὸ δ' ἐγκώμιον, τῶν ἔργων ἐστί. τὰ δὲ κύκλῳ, εἰς πίστιν· οἷον, εὐγένεια, καὶ παιδεία· εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθοὺς, καὶ τὸν οὕτω τραφέντα, τοιοῦτον εἶναι· διὸ καὶ ἐγκωμιάζομεν πράξαντας· τὰ δ' ἔργα σημεῖα τῆς ἕξεώς εἰσιν· ἐπεὶ ἐπαινοῖμεν καὶ μὴ πεπραγότα, εἰ πιστεύοιμεν εἶναι τοιοῦτον, μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς, αὐτοῖς μὲν, ταὐτά· τούτοις δ', οὐ ταὐτά· ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετὴν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα. * Ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ συμβουλαί· ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἂν, ταῦτα μετατεθέντα τῇ λέξει, ἐγκώμια γίγνεται.

ἐπεὶ

ἐπεὶ οὖν ἔχομεν ἃ δεῖ πράττειν, καὶ ποῖόν τινα εἶναι, δεῖ ταῦτα ὡς ὑποθήκας λέγοντας, τῇ λέξει μετατιθέναι καὶ στρέφειν· οἷον, ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην, ἀλλὰ τοῖς δι' αὐτόν. οὕτω μὲν οὖν λεχθὲν, ὑποθήκην δύναται· ὡδὶ δ' ἔπαινον· μέγα φρονῶν, οὐ τοῖς διὰ τύχην ὑπάρχουσιν, ἀλλὰ τοῖς δι' αὐτόν. ὥστε ὅταν ἐπαινεῖν βούλῃ, ὅρα τί ἂν ὑπόθοιο· καὶ ὅταν ὑποθέσθαι, ὅρα τί ἂν ἐπαινέσαις. ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν, τὸ μὲν, κωλύον, τὸ δὲ, μὴ κωλύον, μετατεθῇ. * Χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς· οἷον, εἰ μόνος, ἢ πρῶτος, ἢ μετ' ὀλίγων, ἢ καὶ ὃ μάλιστα, πεποίηκεν·

Cum igitur ea ſint explicata, quæ virum probum agere oportet, ſi voluerimus eadem ad præceptiones, ſuaſioneſque traducere; dicendi tantùm genus mutare, & convertere opus erit; ut, ſi quis ita dicat: non oportet quemquam efferri animo propter ea, quæ dantur à fortuna; ſed propter ea quæ in ipſo poſita ſunt. Hoc præceptum erit, ſed illo modo laus; Animo ſe ſe efferebat non ob ea, quæ data ſibi fuerant à fortuna; ſed, quæ in ſe ipſo poſita habebat. Quare, cum aliquem laudare volueris, conſidera, quæ illi præcepta dares, cum autem præcipere volueris, vide, quid eſſet in eo laudandum. Dicendi verò genus neceſſariò contrarium eſt; cum id, quod immutatur, ex prohibente in non prohibens tranſierit. * Utendum eſt e- 172
tiam multis argumentis, quæ amplificandi vim habeant; ut, ſi ſolus, aut primus, aut cum paucis ſociis feciſſe dicatur; aut ipſius potiſſimùm in eo virtus enituit;

hæc enim omnia ſunt honeſta. A temporibus etiam, & occaſionibus amplificare licet; ut ſi qua præter expectationem facta fuerint; &, ſi ſæpiùs eadem in re ſe rectè, feliciterque geſſerit; hoc enim magnum videtur, & non à fortuna, ſed ab ejus conſilio factum; &, ſi ea, quæ homines excitant, & honorem adferunt, ab eo, quem laudamus inventa fuerint, & præparata, &, in quem prima fuit edita laudatio, ut in Hippolochum; ſicuti Harmodio, & Ariſtogitoni primis in foro ſtatuæ collocatæ ſunt, eodem modo res ſe ſe habet in
173 contrariis. * Quod, ſi non poteris eum per ſe copioſè laudare, ex aliorum comparatione laudes ejus amplificabis. Quod Iſocrates faciebat ex conſuetudine docendi, quæ ad judiciale genus pertinerent. Sed cum eis comparare opus eſt, qui cum laude vixerunt. Sic enim eius dignitatem amplificare poteris, ſi docueris, eum præſtantibus viris anteponendum.

ἅπαντα γὰρ ταῦτα, καλά, καὶ τὸ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν· ταῦτα δὲ παρὰ τὸ προσῆκον, καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκε· μέγα γὰρ, καὶ οὐκ ἀπὸ τύχης, ἀλλὰ δι' αὐτὸν ἂν δόξειε. καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη· καὶ εἰς ὃν πρῶτον ἐγκώμιον ἐποιήθη· οἷον, εἰς Ἱππόλοχον, καὶ Ἁρμοδίῳ, καὶ Ἀριστογείτονα, τὸ ἐν ἀγορᾷ σταθῆναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων. * Κἂν μὴ καθ' αὑτὸν εὐπορῇς πρὸς ἄλλους ἀντιπαραβάλλειν· ὅπερ Ἰσοκράτης ἐποίει, διὰ τὴν συνήθειαν τοῦ δικολογεῖν. δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν· αὐξητικὸν γὰρ καὶ καλὸν, εἰ σπουδαίων βελτίων.

πίπτει

πίπτει δ' ἀλόγως ἡ
αὔξησις εἰς τοὺς ἐπαί-
νους· ἐν ὑπεροχῇ γάρ
ἐστιν, ἡ δ' ὑπεροχὴ τῶν
καλῶν. διὸ κἂν μὴ
πρὸς τοὺς ἐνδόξους, ἀλ-
λὰ πρὸς τοὺς ἄλλους δεῖ
παραβάλλειν, ἐπείπερ
ἡ ὑπεροχὴ δοκεῖ μη-
νύειν ἀρετήν. * Ὅλως
δὲ τῶν κοινῶν εἰδῶν ἅ-
πασι τοῖς λόγοις, ἡ
μὲν αὔξησις, ἐπιτη-
δειοτάτη τοῖς ἐπιδει-
κτικοῖς· τὰς γὰρ πρά-
ξεις ὁμολογουμένας λαμ-
βάνουσιν· ὥστε λοιπὸν
μέγεθος περιθεῖναι
καὶ κάλλος· τὰ δὲ
παραδείγματα τοῖς
συμβουλευτικοῖς· ἐκ
γὰρ τῶν προγεγονό-
των τὰ μέλλοντα κα-
ταμαντευόμενοι, κεί-
νομεν· τὰ δ' ἐνθυ-
μήματα, τοῖς δι-
κανικοῖς· αἰτίαν γὰρ
καὶ ἀπόδειξιν μάλιστα
δέχεται τὸ γεγονὸς,
διὰ τὸ ἀσαφές. ἐκ τί-
νων μὲν οὖν οἱ ἔπαινοι

Cadit autem in exorna-
tiones potiſſimùm ampli-
ficatio, nam in exupe-
rantia eſt, quæ ipſa
rerum honeſtarum una
habetur. Quare, ſi cum
præſtantibus viris non po-
tueris, cum aliis quibus-
libet conferas, omnis e-
nim exuperantia virtu-
tem quandam videtur in-
dicare. * Omninò verò 174
ex univerſis dicendi for-
mis, quæ tribus generibus
communes ſunt, ampli-
ficatio demonſtrativo ge-
neri maximè eſt accom-
modata; nam qui lau-
dant, res manifeſtas, &
certas ſumunt, itaque
reſtat eis tantùm ma-
gnitudinem, & pulchri-
tudinem adjungere.
Exempla verò deliberati-
vo generi maximè con-
veniunt, nam ex præ-
teritis futura conjicien-
tes, quid ſit agendum ſta-
tuimus. Argumentationes
in judiciali genere ſunt
maximè neceſſariæ. Quod
enim factum eſſe dici-
tur, propterea quòd eſt
incertum, cauſam, &
probationem requirit.
Hæc ferè ſunt, ex qui-
bus laudationes omnes,

& vituperationes ducuntur, & quæ reſpicere eos oportet, qui laudant, & vituperant, & unde encomia, opprobriaque conſlantur. His enim cognitis, quæ contraria ſunt, facilè cognoſcuntur, nam ex contrariis vituperatio conſtat.

καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες, καὶ πρὸς ποῖα δεῖ βλέποντας ἐπαινεῖν καὶ ψέγειν, καὶ ἐκ τίνων τὰ ἐγκώμια γίγνεται καὶ τὰ ὀνείδη, ταῦτ᾽ ἐστίν. ἐχομένων γὰρ τούτων, τὰ ἐναντία τούτοις φανερά· ὁ γὰρ ψόγος ἐκ τῶν ἐναντίων ἐστί.

CAPUT X.

Quid ſit injuria, & ob quas cauſas injuriæ fiant?

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Quænam ſit injuriæ definitio.*
2 *Quas ob cauſas, & quomodo affecti homines injurias faciant.*

175 1 * RELIQUUM eſt igitur, ut de accuſatione, & defenſione verba faciamus, & ex quot numero, qualibusque rationes colligere oporteat. Tria verò ſunt, quæ in hoc genere ſumere oportet: primò, quænam ſint, & quot, quæ ut conſequantur, homines injuriam faciunt; deinde quomodo affecti quempiam injuſtè lædant,

α´ * ΠΕΡΙ´ δὲ τῆς κατηγορίας καὶ ἀπολογίας, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμοὺς, ἐχόμενον ἂν εἴη λέγειν. δεῖ δὴ λαβεῖν τρία. ἓν μὲν τίνων καὶ πόσων ἕνεκα ἀδικοῦσι· δεύτερον δὲ, πῶς αὐτοὶ διακείμενοι·

τρίτον

τρίτον δὲ, τοὺς ποίους καὶ πῶς ἔχοντας. διορισάμενοι οὖν τὸ ἀδικεῖν, λέγωμεν ἑξῆς. * Ἔστω δὴ τὸ ἀδικεῖν, τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον. νόμος δ᾽ ἐστὶν, ὁ μὲν ἴδιος, ὁ δὲ κοινός. λέγω δὲ, ἴδιον μὲν, καθ᾽ ὃν γεγραμμένον πολιτεύονται· κοινὸν δὲ, ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ. ἑκόντες δὲ ποιοῦσιν, ὅσα εἰδότες, καὶ μὴ ἀναγκαζόμενοι. ὅσα μὲν οὖν ἑκόντες οὐ πάντα προαιρούμενοι. ὅσα δὲ προαιρούμενοι, ἑκόντες καὶ εἰδότες ἅπαντα· οὐδεὶς γὰρ ὃ προαιρεῖται, ἀγνοεῖ.

β´. Δι᾽ ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον, κακία ἐστὶ καὶ ἀκρασία· ἐὰν γάρ τινες ἔχωσι μοχθηρίαν, ἢ μίαν, ἢ πλείους· περὶ δὲ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες,

tum quos, qualeſque offendant: quæ ſingula deinceps declarabimus, ſi priùs, quid ſit injuriam facere, definiverimus.
* Eſt igitur injuriam facere, ſponte contra leges 176
alicui nocere. Leges verò ſunt vel propriæ, vel communes: propriam legem eam voco, quæ ſcripta eſt, & qua utimur in Repub. Communem verò, quæ, licet ſcripta non ſit, tamen ab omnibus probari, confirmarique videtur. Sua ſponte dicuntur facere, qui ſcientes faciunt, & à nemine coacti. Non tamen quæcunque ſponte faciunt, etiam conſultò, & delectu adhibito faciunt, ſed quæcunque faciunt conſultò, & adhibito delectu, ea ſcientes omnia faciunt: neque enim quiſquam, quod ignorat, id eligit.

2 Quæ verò impellunt homines, ut contra leges aliquem offendere velint, & injuſta facere non dubitent, duo ſunt, vitioſitas, & incontinentia; nam, qui vel uno vitio, vel pluribus tenentur, in eo ipſo, quo vitioſi ſunt,

etiam injurioſi eſſe ſolent, ut avarus & illiberalis in pecunia quærenda, intemperans in explendis corporis voluptatibus, mollis autem, & ignavus in otio amplexando, timidus in periculis evitandis: nam eos, qui cum ipſo periclitantur, propter timorem deſerit. Ambitioſus propter honorem injurius eſt, iracundus propter iram, contentioſus propter victoriam, amarus, aſperque natura propter ultionem, inſipiens eò quòd de æquo & iniquo perversè judicat, impudens eò quòd famam, & exiſtimationem ſuam negligit. Atque eodem modo ſinguli alii in rebus iis ſunt injurii, quas avidè cupiunt. Reliqua enim, quæ multa ſunt, partim ex iis perſpicua ſunt, quæ jam de virtutibus diximus, partim autem intelligentur ex iis, quæ de perturbationibus poſtea
177 dicemus. * Reſtat, ut explicemus, cujus rei gratia ſoleant homines injuriam inferre, & quomodo affecti,

καὶ ἄδικοί εἰσιν· οἷον, ὁ μὲν ἀνελεύθερος, περὶ χρήματα· ὁ δ' ἀκόλαστος, περὶ τὰς τοῦ σώματος ἡδονάς· ὁ δὲ μαλακὸς, περὶ τὰ ῥάθυμα· ὁ δὲ δειλὸς, περὶ τοὺς κινδύνους. τοὺς γὰρ συγκινδυνεύοντας ἐγκαταλιμπάνουσι, διὰ τὸν φόβον. ὁ δὲ φιλότιμος διὰ τιμήν· ὁ δ' ὀξύθυμος δι' ὀργήν· ὁ δὲ φιλόνικος διὰ νίκην· ὁ δὲ πικρὸς διὰ τιμωρίαν· ὁ δ' ἄφρων διὰ τὸ ἀπατᾶσθαι περὶ τὸ δίκαιον καὶ ἄδικον, ὁ δ' ἀναίσχυντος δι' ὀλιγωρίαν δόξης. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος, περὶ ἕκαστον τῶν ὑποκειμένων. ἀλλὰ περὶ μὲν τούτων, δῆλον, τὰ μὲν, ἐκ τῶν περὶ τὰς ἀρετὰς εἰρημένων. τὰ δ', ἐκ τῶν περὶ τὰ πάθη ῥηθησομένων. * Λοιπὸν δ' εἰπεῖν, τίνος ἕνεκα, καὶ πῶς ἔχοντες ἀδικοῦσι,

καὶ

καὶ τίνας. πρῶτον μὲν οὖν διελώμεθα, τίνων ὀρεγόμενοι, καὶ ποῖα φεύγοντες, ἐγχειροῦμεν ἀδικεῖν· δῆλον γὰρ ὡς τῷ μὲν κατηγοροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ, σκεπτέον, ὧν ἐφιέμενοι πάντες, τοὺς πλησίον ἀδικοῦσι· τῷ δ' ἀπολογουμένῳ, ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει. * Πάντες δὴ πράττουσι πάντα, τὰ μὲν, οὐ δι' αὐτοὺς, τὰ δὲ, δι' αὐτούς· τῶν μὲν οὖν μὴ δι' αὐτοὺς, τὰ μὲν, διὰ τύχην πράττουσι· τὰ δ', ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης, τὰ μὲν, βίᾳ, τὰ δὲ, φύσει. ὥστε πάντα ὅσα μὴ δι' αὐτοὺς πράττουσι, τὰ μὲν, ἀπὸ τύχης, τὰ δὲ, φύσει, τὰ δὲ, βίᾳ. ὅσα δὲ δι' αὐτοὺς, καὶ ὧν αὐτοὶ αἴτιοι, τὰ μὲν, δι' ἔθος, τὰ δὲ, δι' ὄρεξιν· καὶ τὰ μὲν, διὰ λογιστικὴν ὄρεξιν, τὰ δὲ, δι' ἀλόγιστον.

& quibus nocere ſtudeant. Primum igitur diſtinguamus quænam appetentes, & quæ fugientes, injuria quempiam afficere moliamur: perſpicuum eſt enim accuſatorem oportere diligenter advertere, quot eorum, & quanta ſint in reo, quæ cupientes homines injuriam inferant, defenſorem autem, quot, & quanta non inſint.
* Omnes autem omnia 178
faciunt partim non per ſe ipſos, partim verò per ſe ipſos: & quæ non per ſe ipſos faciunt, partim fortuitò, partim neceſſariè faciunt. Et eorum, quæ neceſſariè, partim ab externa vi, partim ab inſita natura facere coguntur. Quare omnia, quæ non per ſe ipſos homines agunt, partim à fortuna proficiſcuntur, partim à natura, partim ab externa vi. Quæcunque verò per ſe faciunt, & quorum ipſi auctores ſunt, ea vel propter conſuetudinem, vel propter appetitum faciunt, & appetitum quidem vel rationis compotem, vel expertem rationis.

Eſt autem voluntas appetitus boni cum ratione; nemo enim aliud vult, quàm id, quod bonum eſſe judicarit: appetitus verò rationis expertes duo ſunt; ira, & cupiditas. Quamobrem omnia, quæ faciunt homines, neceſſe eſt, ut ſeptem cauſarum oriantur ab aliqua; hoc eſt, vel à fortuna, vel à vi, vel à natura, vel à conſuetudine, vel à ratione, vel ab ira,
172 vel à cupiditate. * Velle autem, quæ agunt homines, etiam ex qualibet ætate, aut habitu animi diſtinguere, ſupervacaneum eſt: nam, ſi contingit in juventute citò iraſci, aut cupiditatibus trahi; hæc non ætati ſunt attribuenda, ſed iræ, & cupiditati. Neque propter divitias, aut paupertatem quicquam agunt: ſed uſuvenit pauperibus, ſuadente egeſtate, ut pecunias cupiant: divitibus autem ob facultatem, ut cupiant minimè neceſſarias voluptates.

ἔστι δὲ, ἡ μὲν βούλησις, μετὰ λόγου ὄρεξις ἀγαθοῦ· οὐδεὶς γὰρ βούλεται, ἀλλ' ἢ ὅ,τ' ἂν οἰηθείη εἶναι ἀγαθόν· ἄλογοι δ' ὀρέξεις, ὀργὴ καὶ ἐπιθυμία· ὥστε πάντα ὅσα πράττουσιν, ἀνάγκη πράττειν δι' αἰτίας ἑπτὰ, διὰ τύχην, διὰ βίαν, διὰ φύσιν, δι' ἔθος, διὰ λογισμὸν, διὰ θυμὸν, δι' ἐπιθυμίαν. * Τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίας, ἢ ἕξεις, ἢ ἄλλ' ἄττα τὰ πραττόμενα, περίεργον· εἰ γὰρ συμβέβηκε τοῖς νέοις ὀργίλοις εἶναι, ἢ ἐπιθυμητικοῖς, οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα, ἀλλὰ δι' ὀργὴν καὶ ἐπιθυμίαν. οὐδὲ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ συμβέβηκε, τοῖς μὲν πένησι, διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων· τοῖς δὲ πλουσίοις, διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων ἡδονῶν.

ἀλλὰ

ἀλλὰ πράξουσι καὶ οὗτοι, οὐ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ διὰ τὴν ἐπιθυμίαν. ὁμοίως δὲ καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι, καὶ οἱ ἄλλοι οἱ λεγόμενοι κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πάντα πράξουσιν. ἢ γὰρ διὰ λογισμὸν, ἢ διὰ πάθος, ἀλλ' οἱ μὲν, δι' ἤθη, καὶ πάθη, χρηστά· οἱ δὲ, διὰ τἀναντία. συμβαίνει μέντοι, ταῖς μὲν τοιαύταις ἕξεσι τὰ τοιαῦτα ἀκολουθεῖν, ταῖς δὲ τοιαῖσδε, τὰ τοιάδε· εὐθὺς γὰρ ἴσως, τῷ μὲν σώφρονι, διὰ τὸ σώφρον, δόξαι τε καὶ ἐπιθυμίαι χρησταὶ ἐπακολουθοῦσι περὶ τῶν ἡδονῶν· τῷ δ' ἀκολάστῳ, αἱ ἐναντίαι περὶ τῶν αὐτῶν τούτων. διὸ, τὰς μὲν τοιαύτας διαιρέσεις ἐατέον· σκεπτέον δὲ, ποῖα ποίοις εἴωθεν ἕπεσθαι· εἰ μὲν γὰρ λευκὸς, ἢ μέλας, ἢ μέγας, ἢ μικρὸς,

ſed etiam hi, quæ agunt, non aut divitiis, aut paupertate impellente, ſed hortante cupiditate, faciunt. Eodem modo juſti, & injuſti, & alii, qui ex habitu animi quippiam facere dicuntur, propter hæc eadem faciunt: vel enim rationem, vel mores ſequuntur. Sed in hoc differunt, quòd aliqui bonis moribus, & affectionibus ad agendum impelluntur: aliqui verò contrariis. Illud quidem certè contingit, ut diverſos habitus animi diverſæ actiones conſequantur: confeſtim enim fortaſſe, temperanti propter temperantiam contingit, ut eum opiniones, & cupiditates bonæ comitentur: intemperanti verò contrariæ de iiſdem rebus. Itaque diviſiones hujuſmodi prętermittendæ ſunt, atque illud conſiderandum, quæ, quibus conſequentia ſint: ſive enim albus ſit, ſive niger, ſive magnus, ſive parvus;

nihil eorum, quæ dicta ſunt, ideo conſequi ſolet: ſed, ſi juvenis ſit aut ſenex, juſtus aut injuſtus, jam plurimi intereſt. Et omninò videnda ſunt omnia, quæ, cum accidunt, hominum mores variant, atque commutant: ut, ſi quis ſe divitem eſſe exiſtimet, aut pauperem, permagni intererit, & ſi fortunatum, aut infortunatum. Sed de his poſteà ſuo loco dicemus: nunc ea, quæ reſtant, primò
280 perſequamur. * A fortuna igitur dicuntur ea provenire, quorum cauſa incerta, atque indefinita eſt, nec certum ſibi finem propoſitum habent: neque ſemper, neque plerunque, neque ordinatè fiunt: quæ quidem omnia, ex ipſius fortunæ definitione perſpicua ſunt. A natura proveniunt ea, quorum cauſa in ipſis conſtituta eſt, & ordinata, vel enim ſemper, vel plerunque eodem modo fiunt. De iis verò, quæ contra naturam fiunt, nihil attinet hoc loco ſubtiliùs diſputare,

ἐστὶν τέτυκται τὴν τοιούτων ἀκολουθεῖν. εἰ δὲ νέος ἢ πρεσβύτης, ἢ δίκαιος ἢ ἄδικος, ἤδη διαφέρει. καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων· οἷον, πλουτεῖν δοκείτω ἢ πένεσθαι, διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν. ταῦτα μὲν οὖν ὕστερον ἐροῦμεν. νῦν δὲ περὶ τῶν λοιπῶν εἴπωμεν πρῶτον. * Ἔστι δ' ἀπὸ τύχης μὲν, τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥτε αἰτία ἀόριστος. καὶ μὴ ἕνεκά του γίγνεται· καὶ μήτε αἰεὶ, μήτε ὡς ἐπιτοπολὺ, μήτε τεταγμένως. δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ τῆς τύχης περὶ τούτων. φύσει δὲ, ὅσων ἥτε αἰτία ἐν αὐτοῖς, καὶ τεταγμένη· ἢ γὰρ αἰεὶ, ἢ ὡς ἐπιτοπολὺ ὡσαύτως ἀποβαίνει· τὰ γὰρ παρὰ φύσιν, οὐδὲν δεῖ ἀκριβολογεῖσθαι,

πότερα

πότερα κατὰ φύσιν τινά, ἢ ἄλλην αἰτίαν γίγνεται. δόξειε δ' ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιούτων. βίᾳ δέ, ὅσα παρ' ἐπιθυμίαν, ἢ τοὺς λογισμοὺς γίγνεται δι' αὐτῶν τῶν πραττόντων, ἔθει δέ, ὅσα διὰ τὸ πολλάκις πεποιηκέναι, ποιοῦσι. διὰ λογισμὸν δέ, τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν, ἢ ὡς τέλος, ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρον πράττηται· ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρον, ἀλλὰ δι' ἡδονήν. διὰ θυμὸν δὲ καὶ ὀργήν, τὰ τιμωρητικά. διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις, τοῦ πάσχοντος ἕνεκά ἐστιν· ἡ δὲ τιμωρία, τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ:

utrum à naturæ aliqua vi, an ab alia quadam cauſa gignantur: nam fortuna etiam eorum omnium videri cauſa poteſt. Per vim ea fieri dicuntur, quæcunque fiunt quidem ab aliquibus; ſed tamen contra cupiditatem, & voluntates eorum ipſorum, qui illa faciunt. Conſuetudine faciunt homines ea, quæ jam antea ſæpiùs fecerunt; & ideo nunc faciliùs efficiunt. Conſilio ac ratione fiunt, quæ prodeſſe videntur. Et ſunt è numero bonorum, quæ ſupra diximus, vel tanquam fines, vel tanquam ea, quæ ad finem perducunt: & hoc, quando propter ipſam utilitatem fiunt: nam etiam intemperantes quædam, quæ ſunt utilia, faciunt, non tamen propter utilitatem, ſed propter voluptatem. Propter excandeſcentiam autem, & iram fiunt ea, quæ ad ultionem pertinent. Differunt autem inter ſe ultio, & caſtigatio: caſtigatio enim ejus gratia eſt, cui dolor inuritur; ultio verò ejus, qui ſuam injuriam ulciſcitur, ut animum expleat.

Verùm, quibus in rebus excitetur ira, perſpicuum erit, cum de perturbationibus animi poſtea dicemus. Propter cupiditatem ea fieri ſolent, quæcunque jucunda, & ſuavia videntur: nam & quod alicui familiare eſt, & in quo quis diù verſatus ſit, inter res jucundas connumeratur; multa enim, quæ natura ſua jucunda, non ſunt, tamen jucundè faciunt homines, cum aſſueverint. * Itaque (ut
181 ſummatim dicam) quæcunque per ſe ipſos homines faciunt, ea omnia vel bona ſunt, vel bona videntur, vel jucunda ſunt, vel ſpeciem jucunditatis habent. Et quoniam, quæ per ſe ipſos agunt homines, ea ſpontè faciunt, & quæ non per ſe ipſos, ea non ſpontè; ſequitur, ut quæcunque ſpontè faciunt, ea vel bona, vel ſimulata bona ſint, vel jucunda, vel jucunditatis ſpeciem habentia. Ego enim etiam liberationem malorum, & eorum, quæ mala videntur, & minoris mali optionem pro majore in bonis colloco,

περὶ μὲν οὖν τίνα ἐστὶν ἡ ὀργὴ, δῆλον ἔσαι ἐν τοῖς περὶ παθῶν. δι' ἐπιθυμίαν δὲ πράττεται, ὅσα φαίνεται ἡδέα. ἔσι δὲ καὶ τὸ συνήθες, καὶ τὸ ἐθισὸν ἐν τοῖς ἡδέσι· πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν ἐθισθῶσιν, ἡδέως ποιοῦσιν. * Ὥσε συλλαβόντι εἰπεῖν, ὅσα δι' αὑτοὺς πράττουσιν, ἅπαντά ἐστιν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ, ἢ ἡδέα, ἢ φαινόμενα ἡδέα. ἐπεὶ δ' ὅσα δι' αὑτοὺς ἑκόντες πράττουσιν, οὐχ ἑκόντες δὲ, ὅσα μὴ δι' αὑτοὺς, πάντ' ἂν εἴη ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ, ἢ φαινόμενα ἀγαθὰ, ἢ ἡδέα, ἢ φαινόμενα ἡδέα· τίθημι γὰρ καὶ τὴν τῶν κακῶν, ἢ φαινομένων κακῶν, ἢ ἀπαλλαγὴν, ἢ ἀντὶ μείζονος, ἐλάττονος μετάληψιν, ἐν τοῖς ἀγαθοῖς· αἱρετὰ.

αἱρετὰ γάρ πως ἐστί. καὶ ἡ τῶν λυπηρῶν, ἢ φαινομένων, ἢ ἀπαλλαγὴ, ἢ μετάληψιν ἀντὶ μειζόνων, ἐλαττόνων, ὡσαύτως ἐν τοῖς ἡδέσι. * Ληπτέον ἄρα τὰ συμφέροντα καὶ τὰ ἡδέα, πόσα καὶ ποῖα. περὶ μὲν οὖν τοῦ συμφέροντος, ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον. περὶ δὲ τοῦ ἡδέος, εἴπωμεν νῦν. δεῖ δὲ νομίζειν, ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου, μήτε ἀσαφεῖς, μήτε ἀκριβεῖς.

quodam enim modo ſunt expetenda: & præterea rerum moleſtarum, & earum, quæ moleſtæ videntur, liberationem, vel minoris moleſtiæ optionem pro majori eodem modo in jucũdis numero.
* Videndum igitur, quæ 182
ſint utilia, quæ jucunda. Sed, quia de utili jam ſuprà in deliberativo genere diximus; reliquum eſt, ut in præſentia de jucundo diſſeramus. Eas verò definitiones huic præceptioni ſatisfacere debemus exiſtimare, quæ de ſingulis rebus prolatæ, neque obſcuræ, neque exquiſitæ fuerint.

CAPUT XI.

De voluptate, & de jucundo.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Definitur voluptas.*
2 *Quænam ſint, quæ jucunda ſunt, oſtenditur.*

α´. * ὙΠοκείσθω δ' ἡμῖν εἶναι τὴν ἡδονὴν, κίνησίν τινα τῆς ψυχῆς, καὶ κατάστασιν ἀθρόαν

1 * PONAMUS igitur, voluptatem motum animi quendam eſſe, & ſubitam, 183

ſub

ſub ſenſumque cadentem
inſtaurationẽ ad explendã
naturam. Huic autem con-
184 traria eſt moleſtia. * Quòd
ſi voluptas eſt hujuſmodi,
perſpicuum eſt, id eſſe ju-
cundum, quod ejus affe-
ctionis efficiens eſt: quod
autem eam affectionem in-
terimit, aut quod illi con-
trarium ſtatum inducit,
moleſtum eſt.

85 2 * Neceſſe eſt igitur eſ-
ſe jucundum plerunque,
cum quis ad id accedit,
quod ipſi eſt ex natura.
186 * Et præcipuè, cum ea,
quæ fiunt à natura, ſuam
ipſorum naturam recupe-
rarint. Et conſuetudo ju-
cunda eſt: id enim, cui
quis aſſuevit, jam illi tan-
quam innatum, inſitum-
que eſt: nam ipſa conſue-
tudo quandam cum natu-
ra ſimilitudinem habet.
Quod enim crebrò fit, non
multum abeſt ab eo, quod
ſemper fit. Quæ verò ſem-
per fiunt, à natura prove-
niunt, quæ crebrò à con-
187 ſuetudine. * Et quod non
eſt violentum, eſt jucun-
dum; vis enim contra natu-
ram eſt. Ideo neceſſitas o-
mnis eſt moleſta, rectèque
dictum eſt à poeta quodã,

καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν. λύπην δὲ, τοὐναντίον. * Εἰ δή ἐστιν ἡ ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως· τὸ δὲ φθαρτικὸν, ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν, λυπηρόν.

β'. * Ἀνάγκη οὖν ἡδὺ εἶναι· τό, τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπιτοπολύ. * Καὶ μάλιστα, ὅταν ἀπειληφότα ᾖ τὴν ἑαυτῶν φύσιν τὰ κατ' αὐτὴν γιγνόμενα, καὶ τὰ ἔθη· καὶ γὰρ τὸ εἰθισμένον, ὥσπερ πεφυκὸς ἤδη γίγνεται· ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει· ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ αἰεί. ἔστι δ', ἡ μὲν φύσις, τοῦ αἰεί· τὸ δὲ ἔθος, τοῦ πολλάκις. * Καὶ τὸ μὴ βίαιον δέ· παρὰ φύσιν γὰρ ἡ βία. Διὸ αἱ ἀνάγκαι λυπηρὸν, καὶ ὀρθῶς εἴρηται.

Πᾶν

Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

τὰς δ' ἐπιμελείας, καὶ τὰς σπουδάς, καὶ τὰς συντονίας, λυπηράς· ἀναγκαῖα γὰρ καὶ βίαια ταῦτα, ἐὰν μὴ ἐθισθῶσιν· οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ· τὰ δ' ἐναντία, ἡδέα· διὸ αἱ ῥαθυμίαι, καὶ αἱ ἀπονίαι, καὶ αἱ ἀμέλειαι, καὶ αἱ παιδιαί, καὶ αἱ ἀναπαύσεις, καὶ ὁ ὕπνος τῶν ἡδέων· οὐδὲν γὰρ πρὸς ἀνάγκην τούτων. * Καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ, ἅπαν ἡδύ· ἡ γὰρ ἐπιθυμία, τοῦ ἡδέος ἐστὶν ὄρεξις. τῶν δ' ἐπιθυμιῶν, αἱ μὲν, ἄλογοί εἰσιν· αἱ δὲ, μετὰ λόγου. λέγω δὲ, ἀλόγους μὲν, ὅσας μὴ ἐκ τοῦ ὑπολαμβάνειν τι ἐπιθυμοῦσιν· εἰσὶ δὲ τοιαῦται, ὅσαι λέγονται εἶναι φύσει, ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι· οἷον, ἡ τροφῆς δίψα, καὶ πεῖνα, καὶ καθ' ἕκαστον εἶδος τροφῆς, ἐπιθυμία·

Inſuave eſt ſemper fieri
quodcunque neceſſe eſt.

Et ſedulitates, ſtudia, contentionesque animi moleſta ſunt: hæc enim omnia neceſſaria, ac violenta ſunt; niſi fortaſſe quis in eis diu verſatus fuerit; tunc enim conſuetudo jucunditatem parit. Contraria verò ſunt jucunda: ideo ceſſationes, otia, relaxationes, ludi, quietes, ſomnus in jucundis ponuntur; nihil enim horum eſt neceſſarium. * Id etiam om- 188
ne, cujus cupiditate tenemur, eſt jucundum: cupiditas enim, rei jucundæ appetitus eſt. Cupiditatum autem aliæ ratione carent, aliæ ſunt cum ratione conjunctæ. Ratione carentes eas voco, quas non judicio, cogitationeque noſtra ſuſcipimus. Sunt autem ejuſmodi, quæ natura nobis ineſſe dicuntur, quæ propter uſum corporis nobis hærent; ut alimenti gratia ſitis, & fames, & cujuſque nutrimenti appetitio:

&

& quæ guſtatu percipiuntur: & quæ in venereis rebus: & omninò, quæ tactu delectant: & odorum ſuavium qui naribus ſentiuntur, & audiendi, videndique cupiditates. Cum ratione conjunctæ ſunt cupiditates illæ, quas alicujus oratione perſuaſi homines concipiunt: multa enim & videre, & acquirere cupiunt; cum ab aliis ea laudari audiunt, & eorum verbis fidem
189 habent. * Et quoniam jucunditas in quadam affectione ſentienda poſita eſt; phantaſia verò ſenſus quidam eſt, ſed infirmus; & ei, qui recordatur, aut ſperat, phantaſia comitatur ejus rei, quam recordatur, aut ſperat: perſpicuum eſt, hoc ita poſito, voluptates etiam ex acriori recordatione, & ſpe concitari; fit enim aliquo modo ſenſus. Itaque neceſſe eſt omnia jucunda aut propter ſenſum eſſe præſentia, aut propter recordationem præterita, aut propter ſpem futura.

καὶ αἱ περὶ τὰ γευστά, καὶ περὶ τὰ ἀφροδίσια, καὶ ὅλως τὰ ἁπτά, καὶ περὶ ὀσμὴν εὐωδίας, καὶ ἀκοήν, καὶ ὄψιν· μετὰ λόγου δέ, ὅσα ἐκ τοῦ πεισθῆναι ἐπιθυμοῦσι· πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν, ἀκούσαντες καὶ πεισθέντες. * Ἐπεὶ δ᾽ ἐστὶ τὸ ἥδεσθαι ἐν τῷ αἰσθάνεσθαί τινος πάθους, ἡ δὲ φαντασία, ἐστὶν αἴσθησίς τις ἀσθενής, κἂν τῷ μεμνημένῳ καὶ τῷ ἐλπίζοντι ἀκολουθοίη φαντασία τις οὗ μέμνηται, ἢ ἐλπίζει· εἰ δὲ τοῦτο, δῆλον, ὅτι καὶ ἡδοναὶ μάλα μεμνημένοις, καὶ ἐλπίζουσιν, ἐπείπερ καὶ αἴσθησις. ὥστ᾽ ἀνάγκη πάντα τὰ ἡδέα, ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα, ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα, ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα.

αἰσθάνονται μὲν γὰρ τὰ παρόντα, μέμνηνται δὲ τὰ γεγενημένα, ἐλπίζουσι δὲ τὰ μέλλοντα. τὰ μὲν οὖν μνημονευτὰ, ἡδέα ἐστὶν, οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ἂν ᾖ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο. ὅθεν καὶ τοῦτ' εἴρηται,

Ἀλλ' ἡδύ τε σωθέντας μεμνῆσθαι πόνων·

καὶ,

— μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ
Μνήμενος, ὅστις πολλὰ πάθοι καὶ πολλὰ ἔοργοι·

τούτου δ' αἴτιον, ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν κακόν. τὰ δ' ἐν ἐλπίδι, ὅσα παρόντα, ἢ εὐφραίνειν, ἢ ὠφελεῖν φαίνεται μεγάλα, ἢ ἄνευ λύπης ὠφελεῖν. ὅλως δ', ὅσα παρόντα εὐφραίνει καὶ ἐλπίζοντας καὶ μεμνημένους, ὡς ἐπιτοπολύ.

Sentiunt enim homines res præſentes, recordantur præteritas, ſperant futuras. Neque tantùm ea jucunda ſunt ex recordatione, quæ, cum adeſſent, erant jucunda; ſed quædam etiam, quæ moleſta fuerunt, ſi poſteà quippiam honeſtum, atque utile conſequatur. Quo fit, ut illud rectè dictum ſit:

Suavis eſt laborum præteritorum memoria.

& illud;

Nam juvat, inſanos hominem meminiſſe dolores,
Quot tulit, infeſtis fortuna caſibus actus.

Hujus autem rei cauſa eſt; quoniam eſt etiam jucundum, nihil habere mali. In ſpe ſunt ea jucunda, quæ, cum præſentia ſunt, vel oblectare, vel prodeſſe multum videntur: vel quæ ſine ulla moleſtia proſunt. Et in ſumma, quæcunque nobis lætitiam adferunt, cum præſentia ſunt, eadem & ſperantes, & recordantes plerunque delectant.

* Ita-

190 * Itaque etiam iraſci jucundum eſt; nemo enim illi iraſcitur, quem ſe nullo modo putat ulciſci poſſe, neque illis, qui valdè ipſum opibus, potentiaque ſuperant, aut, ſi iraſcitur, leviùs, remiſſiùsque iraſcitur: quemadmodum etiam Homerus de ira cecinit:

Dulcior effuſo quæ melle in pectore gliſcit.

διὸ καὶ τὸ ὀργίζεσθαι ἡδύ. οὐδεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας τυχεῖν. οὐδὲ τοῖς πολὺ ὑπὲρ αὐτοὺς τῇ δυνάμει, ἢ οὐκ ὀργίζονται, ἢ ἧττον. ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ,

Ὥστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο.

191 * Quin maximam cupiditatum partem voluptas quædam conſequitur: nam aut dum recordantur ſe cupiditatem ſuam expleviſſe, aut dum expleturos ſe ſperant, quodam genere voluptatis afficiuntur: ut, qui febre laborant, cum ſiti premuntur, & recordati fuerint, ſe aliquando bibiſſe, ſperantque futurum, ut bibant, gaudio afficiuntur: & qui amant, cum de amoribus ſuis aut loquuntur, aut ſcribunt, aut canunt, ſemper lætantur: nam in his omnibus, cum apud illos deliciarum ſuarum memoria vigeat, quaſi ſentire ſe eas exiſtimant.

* Καὶ ἐν ταῖς πλείσταις ἐπιθυμίαις, ἀκολουθεῖ τις ἡδονή· ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον, ἢ ἐλπίζοντες ὡς τεύξονται, χαίρουσί τινα ἡδονήν· οἷον, οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις, καὶ μεμνημένοι ὡς ἔπιον, καὶ ἐλπίζοντες πιεῖσθαι, χαίρουσι· καὶ οἱ ἐρῶντες, καὶ διαλεγόμενοι, καὶ γράφοντες, καὶ ποιοῦντες, ἀεί τι περὶ τοῦ ἐρωμένου χαίρουσιν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι, οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου.

καὶ

καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος γίγνεται αὕτη πᾶσιν, ὅταν μὴ μόνον παρόντος χαίρωσιν, ἀλλὰ καὶ ἀπόντος μεμνημένοι ἐρῶσι. διὸ καὶ ὅταν λυπηρὸς γένηται, τῷ μὴ παρεῖναι. καὶ ἐν τοῖς πένθεσι καὶ θρήνοις ἐγγίνεταί τις ἡδονή. ἡ μὲν γὰρ λύπη, ἐπὶ τῷ μὴ ὑπάρχειν. ἡδονὴ δὲ, ἐν τὸ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον, καὶ ἃ ἔπραττε, καὶ οἷος ἦν. διὸ καὶ τοῦτ' εἴρηται,

Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἐφίμερον ὦρσε γόοιο.

* Καὶ τὸ τιμωρεῖσθαι, ἡδύ· οὗ γὰρ τὸ μὴ τυγχάνειν λυπηρὸν, τὸ τυγχάνειν ἡδύ· οἱ δ' ὀργιζόμενοι, λυποῦνται ἀνυπερβλήτως μὴ τιμωρούμενοι· ἐλπίζοντες δὲ, χαίρουσι. * Καὶ τὸ νικᾶν ἡδὺ, οὐ μόνον τοῖς φιλονίκοις.

Et hoc omnibus amoris initium eſt cum non tantùm præſenti ſpecie gaudent; ſed etiam abſentem revocantes in memoriam, diligunt. Itaque tunc amare incipiunt, cum id, quod cupiunt, abeſſe dolent. Quin etiam in luctibus, & lamentationibus quædam voluptas innaſcitur: dolor enim exiſtit ex ejus deſiderio, qui mortuus eſt: voluptas autem ex recordatione, & quaſi conſpectu ejuſdem: dum ſibi illum penè cernere videntur, & quæ dum vixit, egit, & quibus moribus erat præditus, apud ſe repetunt. Itaque illud etiam ab Homero dictum eſt:

Sic ait, & cunctis flendi eſt exorta cupido.

* Ulciſci etiam inimicum, 192
ſuave eſt; nam quod moleſtum eſt, niſi aſſequamur, id jucundum eſt, cum aſſequimur: irati enim majorem in modum dolent, niſi ſuas injurias ulciſcantur. Quòd ſi ſperent ulciſci, gaudent. * Vince- 193
re etiam ſuave eſt non ſolùm victoriæ ſtudioſis,

ſed

ſed etiam aliis omnibus: nam in victoria quædam eſt excellentiæ opinio, cujus deſiderio tenentur omnes aut remiſſiùs, aut vehementiùs. Et quoniam vincere ſuave eſt; neceſſe eſt etiam, ut omnes ludi concertatorii, & in quibus pugnæ ſimulachra ſunt, & in quibus fiſtula, cantuque contenditur, & in quibus diſputatur, ſuaves ſint; quoniam in eis vincere ſæpè contingit, & talorum ludus, & pilæ, & aleæ, & teſſerarum. Eodem modo in gravibus, honeſtisque ludis ſæpè jucunditas exiſtit; nam hi tunc jucundi ſunt, cum quis aſſueverit: illi verò ſtatim ſunt jucundi, ut venatio, & omnis ars, qua feræ captantur: ubi enim contentio eſt, ibi eſt etiam victoria. Itaque judicialis etiam labor, & controverſæ diſputationes iis jucundæ ſunt, qui jam aſſueverint, & eas tra-
194 ctare poſſunt. * Honor prætereà, bonaque exiſtimatio inter res ſuaviſſimas numerantur:

ἀλλὰ καὶ πᾶσι· φαντασία γὰρ ὑπεροχῆς γίγνεται, οὗ πάντες ἔχουσιν ἐπιθυμίαν, ἢ ἠρέμα, ἢ μᾶλλον. ἐπεὶ δὲ τὸ νικᾶν ἡδὺ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι τὰς μαχητικὰς, καὶ τὰς αὐλητικὰς, καὶ ἐριστικάς· πολλάκις γὰρ ἐν αὐταῖς γίγνεται τὸ νικᾶν. καὶ ἀστραγαλίσεις, καὶ σφαιρίσεις, καὶ κυβείας, καὶ πεττείας, καὶ περὶ τὰς σπουδασμένας δὲ παιδιὰς ὁμοίως· αἱ μὲν γὰρ ἡδεῖαι γίγνονται, ἄν τις ᾖ συνήθης· αἱ δ' εὐθὺς ἡδεῖαι, οἷον κυνηγία, καὶ πᾶσα θηρευτική· ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστί. διὸ καὶ ἡ δικανικὴ, καὶ ἡ ἐριστικὴ, ἡδεῖα τοῖς εἰθισμένοις καὶ δυναμένοις. * Καὶ τιμὴ καὶ εὐδοξία, τῶν ἡδίστων,

διὰ

διὰ τὸ γίνεσθαι φαντασίαν ἑκάστῳ, ὅτι τοιοῦτος ἐστὶ σπουδαῖος, καὶ μᾶλλον ὅταν φῶσιν, οὓς οἴονται ἀληθεύειν. τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω· καὶ οἱ συνήθεις καὶ οἱ γνώριμοι, καὶ οἱ πολῖται, τῶν ἄπωθεν καὶ οἱ ὄντες, τῶν μελλόντων· καὶ οἱ φρόνιμοι, ἀφρόνων, καὶ πολλοὶ ὀλίγων· μᾶλλον γὰρ εἰκὸς ἀληθεύειν τοὺς εἰρημένους, τῶν ἐναντίων· ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τούτων τιμῆς ἢ τῆς δόξης, αὐτῆς γε τῆς δόξης χάριν· ἀλλ' εἴπερ δι' ἄλλο τι. * Καὶ ὁ φίλος τῶν ἡδέων· τό, τε γὰρ φιλεῖν ἡδύ· οὐδεὶς γὰρ φίλοινος, ὃ μὴ χαίρων οἴνῳ, καὶ τὸ φιλεῖσθαι, ἡδύ· φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν αὐτῷ τὸ ἀγαθὸν εἶναι, οὗ πάντες ἐπιθυμοῦσιν οἱ αἰσθανόμενοι·

propterea quòd unicuique naſcitur hujuſmodi de ſe opinio, quòd talis ſit, & quòd virtutis ſit ſtudioſus, & multò magis, cum hæc audiverit ab eis, quos verè ſentire exiſtimat. Tales autem ſunt vicini potiùs, quàm qui intervallo locorum disjuncti ſunt, & familiares, & noti, & cives potiùs, quàm externi, & qui nunc vivunt potiùs, quàm poſteri, & prudentes magis, quàm imprudentes, & multi magis, quàm pauci; veriſimilius enim eſt eos, quos dixi, vera ſentire, quàm qui ſunt eis contrarii: nam, quos aliquis valdè contemnit, ut pueros, & belluas, ab eis non curat ſibi honorem, aut gloriam attribui: intelligo aut ipſius gloriæ cauſa; nam, ſi curat, propter aliud aliquid curat. *Et 195
amicus res eſt jucunda: nã amare jucundum eſt: neque enim quiſquam vini amator eſt, qui non vino gaudeat. Contrà verò, ſuave eſt etiam amari: nam, qui amatur, cogitat, ſe virũ eſſe probum: quòd ejus probitatem expetant omnes, qui eam cognoſcunt.

Ama-

Amari autem eſt, ipſum propter ſe carum eſſe, atque diligi. 196 * Admiratione quoq; affici jucundum eſt; quia qui quempiam admiratur, eum etiam honorat. 197 * Adulari præterea res eſt jucunda, atque etiam aſſentator ipſe, ſiquidem admirantis, & diligentis ſpeciem habet aſſentator. 198 * Eadem etiam ſæpe facere jucundum eſt; quod enim familiare eſt, etiam jucundum. 199 * Et commutatio res eſt jucunda; nam commutari naturæ accommodatum eſt: quod enim ſemper idem eſt, in exuperantiam tranſit, & præſentem habitum corrumpit: unde benè dictum eſt: *Omnium rerum viciſſitudo eſt jucunda*. Hac de cauſa, quæ fiunt, interpoſito temporis ſpatio, jucunda ſunt. Et homines, & res poſt longum tempus delectant, quoniam præſentem ſtatum commutant. Huc accedit etiam, quia id, quod interpoſito tempore fit, rarum eſt. 200 * Diſcere quoque jucundum eſt, & admiratione duci plerunque eſt ſuave:

τὸ δὲ φιλεῖσθαι, ἀγαπᾶσθαί ἐστιν αὐτὸν δι' αὐτόν. * Καὶ τὸ θαυμάζεσθαι ἡδὺ, δι' αὐτὸ τὸ τιμᾶσθαι. * Καὶ τὸ κολακεύεσθαι, καὶ ὁ κόλαξ, ἡδύ· φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστί. * Καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ· τὸ γὰρ συνηθὲς, ἡδὺ ἦν. * Καὶ τὸ μεταβάλλειν, ἡδύ· εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν· τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως· ὅθεν εἴρηται,

Μεταβολὴ πάντων γλυκύ·

Διὰ τοῦτο γὰρ καὶ τὰ διὰ χρόνου ἡδέα ἐστὶ, καὶ ἄνθρωποι, καὶ πράγματα· μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστίν· ἅμα δὲ καὶ σπάνιον, τὸ διὰ χρόνου. * Καὶ τὸ μανθάνειν, καὶ τὸ θαυμάζειν, ἡδὺ, ὡς ἐπιτοπολύ.

ἐν

ἐν μὲν γὰρ τῷ θαυμάζειν, τὸ ἐπιθυμεῖν μαθεῖν ἐστιν. ὥστε τὸ θαυμαστὸν, ἐπιθυμητόν· ἐν δὲ τῷ μανθάνειν, εἰς τὸ κατὰ φύσιν καθίστασθαι. * Καὶ τὸ εὖ ποιεῖν, καὶ τὸ εὖ πάσχειν, τῶν ἡδέων· τὸ μὲν γὰρ εὖ πάσχειν, τυγχάνειν ἐστὶν ὧν ἐπιθυμοῦσι· τὸ δὲ εὖ ποιεῖν, ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται. Διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὖ ποιητικὸν, καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς ἀνθρώποις ἐστὶ τοὺς πλησίον, καὶ τὰ ἐλλιπῆ ἐπιτελεῖν. * Ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ, καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιαῦτα, ἀνάγκη ἡδέα εἶναι, τό,τε μεμιμημένον, ὥσπερ γραφικὴ, καὶ ἀνδριαντοποιΐα, καὶ ποιητική. καὶ πᾶν ὃ ἂν εὖ μεμιμημένον ᾖ, κἂν μὴ ᾖ ἡδὺ ᾖ τὸ μίμημα.

nam cum admiramur, diſcere cupimus, & quod eſt admirabile, deſiderium excitat, atque in diſcendo proficiſcimur in eum ſtatum, qui nobis naturalis eſt. * Præterea beneficia in 201 alios conferre, & ab aliis accipere, jucundum eſt. Nam accipere beneficium, eſt id aſſequi, quod quis cupit: conferre autem, eſt habere, & præſtare aliis, ac excellere, cujus utriuſque rei homines cupidi ſunt. Quoniam autem jucundum eſt dare beneficium; ideò propinquos etiam corrigere, & emendare jucundum eſt: & abſolvere, quæ ab aliis inchoata, atque imperfecta relicta ſunt. * Et quia 202 diſcere, & admirari jucundum eſt, illa quoque omnia, cæteraque ejuſmodi jucunda eſſe neceſſe eſt, quæ per imitationem facta ſunt: ut pictura, & ars ſtatuaria, & poetica, & denique quicquid imitatione benè expreſſum fuerit; etiam ſi illud, minimè jucundum fuerit, quod exprimit imitatio:

neque enim quiſquam ex
hoc voluptatem capit; ſed
quia colligit hoc illud
eſſe; quo fit, ut aliquid
diſcere videatur. Et ſubi-
tæ rerum mutationes, ut
in tragœdiis, jucundæ
ſunt: & è periculis eva-
dere, quibus aliquis penè
oppreſſus fuerit: hæc e-
nim omnia concitant ad-
203 mirationem. * Et quo-
niam quod eſt ex natura,
jucundum eſt, &, quæ
ſunt ejuſdem generis, ſunt
ex natura; fit ideò, ut quæ
ſunt ejuſdem generis ac
ſimilia, plerunque jucun-
da ſint; ut homo homi-
ni, equus equo, juvenis
juveni. Undè fluxerunt
illa proverbia; *Æqualis
æqualem delectat*; & *Si-
mile ſemper ſimili gau-
det*: & *Fera feram agno-
ſcit*: & *Semper graculus
cum graculo*, & reliqua
204 hujus generis. * Quo-
niam autem, quod ſi-
mile eſt, cognatumque,
jucundum ſibi ipſi omne
eſt, & unicuique erga
ſe ipſum maximè hoc
accidit; neceſſe eſt,
omnes homines ſui i-
pſorum amatores eſſe,
aut magis, aut minus:

οὐ γὰρ ἐπὶ τούτῳ χαίρει, ἀλλὰ συλλογισμός ἐστιν, ὅτι τοῦτο ἐκεῖνο· ὥστε μανθάνειν τι συμβαίνει. καὶ αἱ περιπέτειαι, καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων· πάντα γὰρ θαυμαστὰ ταῦτα. * Καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, ἅπαντα τὰ συγγενῆ καὶ ὅμοια, ἡδέα, ὡς ἐπιτοπολύ· οἷον, ἄνθρωπος ἀνθρώπῳ, καὶ ἵππος ἵππῳ, καὶ νέος νέῳ. ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς Ἧλιξ ἥλικα τέρπει· καὶ, Αἰεὶ τὸν ὅμοιον· καὶ, Ἔγνωκε δὲ θὴρ θῆρα· καὶ, Αἰεὶ κολοιὸς παρὰ κολοιὸν, καὶ ὅσα ἄλλα τοιαῦτα. * Ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν, μάλιστα δ' αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο πέπονθεν, ἀνάγκη πάντας φιλαύτους εἶναι, ἢ μᾶλλον, ἢ ἧττον.

πάν-

πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα. ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν· οἷον, ἔργα, λόγους· διὸ φιλοκόλακες, ὡς ἐπιτοπολὺ, καὶ φιλερασταὶ, καὶ φιλότιμοι, καὶ φιλότεκνοι. αὑτῶν γὰρ ἔργα τὰ τέκνα. καὶ τὰ ἐλλειπῆ ἐπιτελεῖν, ἡδύ. αὑτῶν γὰρ ἔργον ἤδη γίγνεται. * Καὶ ἐπεὶ τὸ ἄρχειν ἥδιστον· καὶ τὸ σοφὸν δοκεῖν εἶναι, ἡδύ· ἀρχικὸν γὰρ τὸ φρονεῖν· ἔστι δὲ ἡ σοφία, πολλῶν καὶ θαυμαστῶν ἐπιστήμη· * Ἔτι, ἐπεὶ φιλότιμοι, ὡς ἐπιτοπολὺ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾷν τοῖς πέλας, ἡδὺ εἶναι. * Καὶ τὸ ἐν ᾧ βέλτιστος δοκεῖ εἶναι αὐτὸς αὑτοῦ, ἐνταῦθα διατρίβειν· ὥσπερ καὶ Εὐριπίδης φησί.

univerſa enim hujuſcemodi maximè ſunt erga ſe ipſum. Et cùm omnes ſe ipſos ament; neceſſe eſt, ut etiam ſua cuique jucunda ſint, ut opera, & orationes. Ideò plerique ſolent adulatores amare, & eos, à quibus amantur, redamare, & honoris appetentes eſſe, & filios ſuos diligere; ſunt enim filii, tanquam parentum ipſorum opera. Et inchoata perficere, jucundum eſt: nam eorum, qui perficiunt, jam illud opus eſſe videtur. * Et quoniam 205
regnare ſuaviſſima res eſt, etiam ſapientem videri, eſt ſuave: præditum enim eſſe ſapientia, regium eſt: eſt enim ſapientia, multarum, & admirabilium, rerum ſcientia. * Et quia ple- 206
rique homines ſunt honoris avidi; neceſſe eſt, ut alios reprehendere, & coarguere, jucundum ſit. * Et quo in ſtudio ſe 207
quiſque putat excellere, in eo aſſiduè verſari jucundum eſt, quemadmodum Euripides ait:

Nam quiſque ad id frequens adeſt,
Magnamque in illo temporis partem terit,
In quo ipſe ſe praſtantiorem exiſtimat.

--- κἀπὶ τοῦτ' ἐπείγεται,
Νέμων ἑκάστης ἡμέρας πλεῖστον μέρος.
Ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ βέλτιστος ὤν.

Eodem modo, quia ludus, & omnis animi relaxatio, & riſus in rebus jucundis, eſt; neceſſe eſt, ut omnia ridicula jucunda ſint: ſive ſint homines, ſive dicta, ſive facta. Sed quæ ad jocos, ridiculaque pertinent, in libris de arte Poetica ſeparatim à nobis explicata ſunt. Hæc igitur de jucundis dicta ſufficiant: nam quæ moleſta ſunt, ex contrariis intelligi facilè poſſunt. Et hactenus quidem oſtenſum eſt, quarum rerum gratia homines injuria cæteros afficiant.

ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων, καὶ πᾶσα ἄνεσις, καὶ ὁ γέλως τῶν ἡδέων. ἀνάγκη δὲ καὶ τὰ γελοῖα ἡδέα εἶναι, καὶ ἀνθρώπους, καὶ λόγους, καὶ ἔργα. διώρισται δὲ περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ ποιητικῆς. περὶ μὲν οὖν ἡδέων εἰρήσθω ταῦτα· τὰ δὲ λυπηρὰ, ἐκ τῶν ἐναντίων τούτοις φανερά· ὧν μὲν οὖν ἕνεκα ἀδικοῦσι, ταῦτ' ἐστί.

CAPUT

CAPUT XII.

Quinam, & quomodo affecti, & quibus injuriam faciant.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Quinam & quomodo affecti injuriam faciant.*
2 *Quos injuria afficiant.*
3 *Quibus in rebus injuria afficiantur.*

ά. * ΠΩ͂Σ δὲ ἔχοντες, καὶ τίνας, λέγωμεν νῦν. αὐτοὶ μὲν οὖν ὅταν οἴονται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι, καὶ ἑαυτοῖς δυνατόν· εἴτε ἂν λαθεῖν πράξαντες· ἢ μὴ λαθόντες, μὴ δοῦναι δίκην, ἢ δοῦναι μὲν, ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους αὐτοῖς, ἢ ὧν κήδονται. ποῖα μὲν οὖν δυνατὰ φαίνεται, καὶ ποῖα ἀδύνατα, ἐν τοῖς ὕστερον ῥηθήσεται· κοινὰ γὰρ τῶν μερῶν τῆς Ῥητορικῆς ταῦτα πάντων.

1 * DEINCEPS autem, quomodo ipſi affecti ſint, qui injuriam faciunt, & cujus generis homines offendant, explicemus. Atque illi quidem ad injuriam faciendam aggrediuntur, qui ſperant rem effici poſſe, & à ſe effici, & præſertim cum facinus ſuum putant fore clàm; aut ſi fortè res patefacta fuerit, impunè ſe abituros: aut ſi judicii pœna lenior, quàm facti premium: ſive ipſis res ea fructum allatura eſt, ſive illis, quos caros habent. Quę verò ſint ea, quæ fieri poſſe videantur, & quę non poſſe fieri, poſteà declarabimus: ſunt enim partium omnium artis Rhetoricę communia. 208

209 * Atque illi potiſſimùm maleficiorum impunitatem ſperant, qui dicendi facultate præſtant, & qui in rebus gerendis multum valent, & qui judicialium controverſiarum benè periti ſunt: & ſi amicorum, divitiarumque copiam habuerint. Maximè verò, qui his præſidiis fulti ſunt, elabi ſe poſſe confidunt: ſin minùs; etiam tum confidunt, cum amicos hujuſmodi, vel adminiſtros, vel ſocios habuerint; propter hæc enim & injuriam facere, & latere, & non da-
210 re pœnam poſſunt. * Et ſi amici eis fuerint, quibus injuriam fecerunt, aut ipſis judicibus: nam amici non præcaventes ad injuriam ſunt expoſiti: deinde antea placantur, quàm res in judicium veniat: judices autem illis gratificantur, quibus amici ſunt; & aut penitùs abſolvunt, aut parva pœna multant.
211 * Latere ſolent illi, quibus crimina non conveniunt: ut, ſi quis infimo corpore dicatur, alium uſque ad necem verberaſſe:

* Αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι μάλιστα ἀζήμιοι ἀδικεῖν, οἱ εἰπεῖν δυνάμενοι, καὶ οἱ πρακτικοὶ, καὶ οἱ ἔμπειροι πολλῶν ἀγώνων. καὶ ἐὰν πολύφιλοι ὦσι, καὶ ἐὰν πλούσιοι, καὶ μάλιστα μὲν ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι. εἰ δὲ μὴ, κἂν ὑπάρχωσι τοιοῦτοι αὐτοῖς φίλοι, ἢ ὑπηρέται, ἢ κοινωνοί· διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν, καὶ λανθάνειν, καὶ μὴ δοῦναι δίκην. * Καὶ ἐὰν φίλοι ὦσι τοῖς ἀδικουμένοις, ἢ τοῖς κριταῖς· οἱ μὲν γὰρ φίλοι, ἀφύλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι, καὶ προσκαταλλάττονται, πρὶν ἐπεξελθεῖν· οἱ δὲ κριταὶ χαρίζονται, οἷς ἂν φίλοι ὦσι· καὶ ἢ ὅλως ἀφιᾶσιν, ἢ μικροῖς ζημιοῦσι. * Λαθητικοὶ δέ εἰσιν, οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν· οἷον, ἀσθενὴς περὶ αἰκίας,

καὶ

καὶ ὁ πένης, καὶ ὁ αἰσχρὸς περὶ μοιχείας. * Καὶ τὰ λίαν ἐν φανερῷ καὶ ἐν ὀφθαλμοῖς· ἀφύλακτα γὰρ, διὰ τὸ ὅλως μηδένα ἂν οἴεσθαι. καὶ τὰ τηλικαῦτα, καὶ τὰ τοιαῦτα, ἃ μηδὲ εἷς· ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντες γὰρ τὰ εἰωθότα, ὥσπερ ἀῤῥωστήματα, φυλάττονται, καὶ τὰ ἀδικήματα· ὃ δὲ μηδείς πω ἠῤῥώστησεν, οὐδεὶς εὐλαβεῖται. * Καὶ οἷς μηδεὶς ἐχθρὸς, ἢ πολλοί· οἱ μὲν γὰρ, οἴονται λήσειν, διὰ τὸ μὴ φυλάττεσθαι· οἱ δὲ, λανθάνουσί τε, διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι φυλαττομένοις· καὶ διὰ τὸ ἀπολογίαν ἔχειν, ὅτι οὐκ ἂν ἐνεχείρησαν. * Καὶ οἷς ὑπάρχει κρύψις, ἢ τρόπος, ἢ τόπος, ἢ διάθεσις εὔπορος.

& ſi pauper, & deformis homo de adulterio accuſetur.
*Et quæ valdè illuſtri 212
loco, atque ante oculos poſita ſunt, in eis latet injuria: quoniam ea nemo cuſtodit; etenim exiſtimant, nullum in eis peccaturum. Et quæ tàm magna ſunt, ac talia, ut ea nullus unquam admiſerit; nam hæc quoque nemo præcavet, aut cuſtodit: omnes enim, ut ſolitos corporis morbos, ita etiam ſolitas injurias diligenter obſervant: quo verò morbo nemo unquam oppreſſus eſt, eum nemo reformidat. 213
*Eos etiam invadunt, qui aut nullum inimicum, aut multos habent: illi enim ſe latere poſſe exiſtimant, quia nulla eſt cuſtodia: hi verò latent. ideo, quia nemo putaret, eos in quenquam impetum facturos, qui ſui corporis circa ſe cuſtodes habeat: & quia paratam defenſionem habent, ſe talem hominem nunquam fuiſſe auſos aggredi. *Illi quoque 214
faciunt injuriam, qui vel modum, vel locum, vel diſpoſitam occultandi rationem facilem habent:

215 * Et qui etiam ſi facinus celare non poſſint; tamen vel judicii periculum à ſe removere, vel in longinquum tempus differre, vel judices ipſos corrumpere poſſunt. Et, qui licet multati pecunia fuerint: tamen pœnam, multamque poſſunt à ſe depellere, aut in longum tempus differre ſolutionem: vel propter egeſtatem nihil habent; quod amittere
216 poſſint. * Et quibus certa ſunt lucra, vel magna, vel propinqua, pœnæ verò vel parvæ, vel incertæ, vel longinquæ: & in ea re, in qua nulla pœna par, atque æqualis utilitati reperitur, quod in ſe dominatus regius habere videtur, & quibus injuriæ quæſtum adferunt, pœnæ verò tantùm ignominiam, & quibus contra accidit, ut, ſi quem læſerint, ex ea re laudem adipiſcantur, ut, ſi una contingat patris, & matris injurias ulciſci, quod Zenoni accidit, pœnæ verò ſint aut pecuniarum, aut exilii, aut alicujus hujuſmodi rei:

* Καὶ ὅσοις μὴ λαθεῖν ἐστι δίωσις δίκης, ἢ ἀναβολὴ χρόνιος, ἢ διαφθοραὶ κριτῶν. καὶ οἷς, ἐὰν γένηται ζημία, ἔστι δίωσις τῆς ἐκτίσεως, ἢ ἀναβολὴ χρόνιος, ἢ δι᾽ ἀπορίαν μηδὲν ἕξει, ὅ,τι ἀπολέσει. * Καὶ οἷς, τὰ μὲν κέρδη φανερὰ, ἢ μεγάλα, ἢ ἐγγύς· αἱ δὲ ζημίαι, ἢ μικραὶ, ἢ ἀφανεῖς, ἢ πόρρω, καὶ ᾧ μή ἐστι τιμωρία ἴση τῇ ὠφελείᾳ, οἷον δοκεῖ ἔχειν ἡ τυραννίς. Καὶ ὅσοις, τὰ μὲν ἀδικήματα, λήμματα· αἱ δὲ ζημίαι, ὀνείδη μόνον· καὶ οἷς τοὐναντίον, τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα, οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς, ἢ μητρὸς, ὥσπερ Ζήνωνι· αἱ δὲ ζημίαι, εἰς χρήματα, ἢ φυγὴν, ἢ τοιοῦτόν τι·

ἀμφό-

ἀμφότεροι γὰρ ἀδικοῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλὴν οὐχ οἱ αὐτοὶ, ἀλλ' οἱ ἐναντίοι τοῖς ἤθεσι. * Καὶ οἱ πολλάκις ἢ λεληθότες, ἢ μὴ ἐζημιωμένοι. καὶ οἱ πολλάκις ἀποτετυχηκότες· εἰσὶ γάρ τινες καὶ ἐν τοῖς τοιούτοις, ὥσπερ ἐν τοῖς πολεμικοῖς· οἷον, ἀναμάχεσθαι. *Καὶ οἷς ἂν παραχρῆμα ᾖ τὸ ἡδὺ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον· οἱ γὰρ ἀκρατεῖς, τοιοῦτοι. ἔστι δ' ἀκρασία περὶ πάντα ὅσων ὀρέγονται. καὶ οἷς ἂν τοὐναντίον, τὸ μὲν λυπηρὸν, ἤδη ᾖ, ἢ ἡ ζημία· τὸ δὲ ἡδὺ, καὶ ὠφέλιμον, ὕστερα καὶ χρονιώτερα. οἱ γὰρ ἐγκρατεῖς καὶ φρονιμώτεροι, τὰ τοιαῦτα διώκουσι. * Καὶ οἷς ἂν ἐνδέχηται διὰ τύχην δόξαι πρᾶξαι, ἢ δι' ἀνάγκην, ἢ διὰ φύσιν, ἢ δι' ἔθος·

utrique enim, aut utroque modo ſe habentes injurioſi ſunt, non tamen iidem, ſed vita, & moribus inter ſe contrarii.
* Et qui flagitia ſua ſæ- 217
piùs occultarunt, aut deprehenſi pœnas non dederunt: &, qui ſæpè ſua ſpe dejecti ſunt, & infelicem exitum habuerunt. Quidam enim in his etiam rebus, ſicut in bello reperiuntur, qui rurſus belli fortunam tentare voluerunt. * Et quibus volu- 218
ptas ſtatim ex facto propoſita eſt, moleſtia verò poſtea, vel lucrum eſt præſens, pœna verò ſera. Tales ſunt incontinentes homines, nam incontinentia verſatur in eis rebus omnibus, quas vehementer appetunt: & quibus contrà jam moleſtia, aut pœna præſens eſt; voluptas autem, & utilitas poſterior, & diuturnior conſequetur: nam continentes, & prudentiores homines talia conſectantur. * Et 219
qui videri poſſunt aut caſu feciſſe, aut neceſſitate impoſita, aut natura impulſi, aut conſuetudine.

aut denique, qui ſperant, ſe probare poſſe per imprudentiam peccaſſe, non autē ſcientes, volenteſque læſiſſe: & qui ſperant fore, ut non ſummo jure, ſed ex æquo, & bono ſecum aga-
220 tur. * Et quicunque ſunt indigentes, duobus autem modis indigentes dicuntur, vel rerum neceſſariarum, quales ſunt mendici, aut pauperes, vel exuperātium rerum, quales ſunt
221 divites. * Et ii, de quibus omnes benè exiſtimant, & ii, de quibus peſſima eſt opinio: nam illi ſe latere poſſe ſperant, quòd nemo de eis malè exiſtimat: hi verò, quòd nullam amplius exiſtimationis jacturam facere poſſunt. Atque his quidem de cauſis ad injuriam faciēdam aggrediuntur homines. Quos autem, & quales lædant, jam videamus.
222 2 *Eos igitur lædunt, qui ea poſſident, quorum ipſi ſunt indigentes, vel ad uſus vitæ neceſſarios, vel ad exuperantiam, vel ad fruēdas voluptates, & eos, qui longinqui, & eos, qui propinqui ſunt; nā hi facilè celeriterq; poſſūt expilari.

καὶ ὅλως ἁμαρτεῖν, ἀλλὰ μὴ ἀδικεῖν. καὶ οἷς ἂν ᾖ τοῦ ἐπιεικοῦς τυχεῖν. * Καὶ ὅσοι ἂν ἐνδεεῖς ὦσι. διχῶς δέ εἰσιν ἐνδεεῖς· ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ πένητες· ἢ ὡς ὑπερβολῆς, ὥσπερ οἱ πλούσιοι. * Καὶ οἱ σφόδρα εὐδοκιμοῦντες, καὶ οἱ σφόδρα ἀδοξοῦντες· οἱ μὲν, ὡς οὐ δόξοντες, οἱ δὲ ὡς οὐδὲν μᾶλλον ἀδοξοῦντες. αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες ἐπιχειροῦσιν.

β΄. * Ἀδικοῦσι δὲ τοὺς τοιούτους, καὶ τὰ τοιαῦτα τοὺς ἔχοντας ὧν αὐτοὶ ἐνδεεῖς, ἢ εἰς τὰ ἀναγκαῖα, ἢ εἰς ὑπεροχὴν, ἢ εἰς ἀπόλαυσιν, καὶ τοὺς πόῤῥω, καὶ τοὺς ἐγγύς· τῶν μὲν γὰρ, ἡ λῆψις ταχεῖα,

τῶν

τῶν δὲ, ἡ τιμωρία βραδεῖα· οἷον, οἱ συλῶντες, τοὺς Καρχηδονίους. * Καὶ τοὺς μὴ εὐλαβεῖς, μηδὲ φυλακτικούς, ἀλλὰ πιστευτικούς. ῥᾴδιον γὰρ πάντας λαθεῖν, καὶ τοὺς ῥαθυμοῦντας· ἐπιμελοῦς γὰρ τὸ ἐπεξελθεῖν, καὶ τοὺς αἰσχυντηλούς· οὐ γὰρ μαχητικοὶ περὶ κέρδους. * Καὶ τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας, καὶ μὴ ἐπεξελθόντας, ὡς ὄντας, κατὰ τὴν παροιμίαν, τούτους, Μυσῶν λείαν, καὶ οὓς μηδεπώποτε, καὶ οὓς πολλάκις· ἀμφότεροι γὰρ ἀφύλακτοι· οἱ μὲν, ὡς οὐδέποτε, οἱ δὲ, ὡς οὐκ ἂν ἔτι. * Καὶ τοὺς διαβεβλημένους, ἢ εὐδιαβόλους· οἱ τοιοῦτοι γὰρ, οὔτε προαιροῦνται, φοβούμενοι τοὺς κριτὰς, οὔτε δύνανται πείθειν, ὧν οἱ μισούμενοι καὶ φθονούμενοί εἰσι.

Ab illis verò venit tarda ultio; ut, qui Carthaginenſes depopulantur. *Et 223
qui ſunt incauti, ſeque, ac ſua non cuſtodiunt, ſed creduli ſunt: tales enim homines facile eſt occultè lædere: &, qui ſunt inertes, ac deſides; neque enim ab eis in judicium vocari reformidant. Et qui verecundi ſunt, hujuſmodi enim homines propter pecuniam digladiari nolunt. * Et qui 224
jam à multis injuria ſunt affecti, neque tamen unquam quenquam in judicium vocarunt: ſunt enim hi, (quod proverbio fertur) *Myſorum præda*, & quos nunquam, & quos ſæpiùs læſerunt; nam utrique ſunt incauti, illi, quia ſuſpicione carent; hi verò, quia non amplius timent. * Et qui ſunt 225
infames, aut qui facilè poſſunt accuſari; tales enim judicio experiri non audent; quia judices reformidant, neque ſi experiantur, fidem facere poſſunt, quo in numero ſunt etiam ii, qui multis odio ſunt: & qui invidiam habent.

226 * Et contra quos anſam arripere poſſunt, quod aut majoribus ſuis, aut ſibi, aut amicis, aut eis quorum ſalutem caram habent, vel malefecerint, vel facere ſtuduerint, nam (ut eſt in proverbio) *ſola occa-*
227 *ſio malitiæ ſufficit*. * Eos etiam lædunt, qui vel amici, vel inimici ſunt, nam amicos lædere facile eſt, inimicos autem ſuave: & qui vacui ſunt ab amicis, & dicendi facultatem non habent, nec in rebus gerendis ſtrenui ſunt; hi namque vel judicio non experiuntur, vel antea placantur, vel rem ad exitum non deducunt: &, quibus non utile eſt tempus terere, dum aut judicium fiat, aut multa diſſolvatur, quales ſunt peregrini, & agricolæ, & opifices; nam hi parva accepta pecunia, remittunt inju-
228 rias, & facilè deſiſtunt. * Et qui in alios ſæpè injurioſi fuerunt, & qui tales injurias intulerunt, quales patiuntur; nam ferè nihil injuriæ videtur is feciſſe, qui quempiam lædit in ea re, qua ſolitus eſt ille ſæpè alios lædere;

* Καὶ πρὸς οὓς ἔχουσι πρόφασιν, ἢ προγόνων, ἢ αὐτῶν, ἢ φίλων, ἢ ποιησάντων κακῶς, ἢ μελλησάντων, ἢ αὐτοὺς, ἢ προγόνους, ἢ ὧν κήδονται· ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως δεῖται μόνον ἡ πονηρία. * Καὶ τοὺς ἐχθροὺς, καὶ τοὺς φίλους, τοὺς μὲν γὰρ, ῥᾴδιον, τοὺς δ' ἡδύ. καὶ τοὺς ἀφίλους, καὶ τοὺς μὴ δεινοὺς εἰπεῖν, ἢ πρᾶξαι· ἢ γὰρ οὐκ ἐγχειροῦσιν ἐπεξιέναι, ἢ καταλλάττονται, ἢ οὐδὲν περαίνουσι. καὶ οἷς μὴ λυσιτελεῖ διατρίβειν ἐπιτηροῦσιν ἢ δίκην, ἢ ἔκτισιν, οἷον, οἱ ξένοι καὶ αὐτουργοί· ἐπὶ μικρῷ τε γὰρ διαλύονται, καὶ ῥᾳδίως οἱ τοιοῦτοι καταπαύονται. *Καὶ τοὺς πολλὰ ἠδικηκότας, ἢ τοιαῦτα οἷα ἀδικοῦνται· ἐγγὺς γάρ τι δοκεῖ τοῦ μὴ ἀδικεῖν εἶναι, ὅταν τι τοιοῦτον ἀδικηθῇ τις, οἷον εἰώθει καὶ αὐτὸς ἀδικεῖν·

λέγω

λέγω δ' οἷον εἴ τις τὸν εἰωθότα ὑβρίζειν αἰκίσαιτο, καὶ τοὺς ἢ πεποιηκότας κακῶς, ἢ βουληθέντας, ἢ βουλομένους, ἢ ποιήσοντας· ἔχει γὰρ καὶ τὸ ἡδὺ καὶ τὸ καλὸν, καὶ ἐγγὺς τοῦτο τοῦ μὴ ἀδικεῖν φαίνεται. *Καὶ οἷς χαριοῦνται, ἢ φίλοις, ἢ θαυμαζομένοις, ἢ ἐρωμένοις, ἢ κυρίοις, ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί.] καὶ πρὸς οὓς ἔστιν ἐπιεικείας τυχεῖν· καὶ οἷς ἂν ἐγκεκληκότες ὦσι, καὶ προδιακεχωρηκότες· καὶ γὰρ τὰ τοιαῦτα, ἐγγὺς τοῦ μὴ ἀδικεῖν φαίνεται. οἷον, Κάλλιππος ἐποίει τὰ περὶ Δίωνα. * Καὶ τοὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτοί, ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι. ὥσπερ λέγεται Αἰνεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμένῳ, ὅτι ἔφθασεν, ὡς καὶ αὐτὸς μέλλων.

ut, exempli gratia, ſi quis eum pulſaret, qui multos ſolitus ſit contumeliis vexare: & qui præterito tempore malè ipſis fecerunt, aut facere voluerunt, aut in præſentia volunt, aut poſteà facturi ſunt; habet enim hoc in ſe jucunditatem, & honeſtatem, & tale eſt, ut omni ferè injuria carere videatur. * Et 229
quos ſi lædunt, aut amicis gratificantur, aut eis, quos ſuſpiciunt: aut amoribus ſuis, aut dominis, aut eis, à quibus omninò pendent, aut à quibus aliquid commodi ſperant, & quibus crimina jam intulerint, & quibuſcum amicitiam diremerint; hęc enim ferè videntur nullam in ſe injuriam continere: quemadmodum ſe Callippus contra Dionem geſſit. * Et quos vident 230
ab aliis læſum iri, niſi ipſi præoccupaverint, tunc enim ſibi non amplius deliberandum cenſent, quemadmodum dicitur, Æneſidemus Geloni quædam munera miſiſſe, quòd eos in ſervitutem redigiſſet, quos ipſe invadere ſtatuerat, niſi is pręoccupaſſet.

231 * Et quos ſi læſerint, multas deinde res juſtas facere poterunt, quibus culpam eam facilè deleant, quemadmodum Jaſon Theſſalus dicere ſolebat, oportere quædam injuſtè facere, ut facultas acquiratur, qua multa deinde juſta fiant.

232 3 * Ea verò peccata committunt homines, quæ vel omnes alii, vel multi committere ſolent: quoniam ſe facilè veniam con-
233 ſecuturos exiſtimant. * Et quæ ſe non difficulter occultare poſſe ſperant. Talia verò ſunt, quæ citò abſumuntur: ut cibaria: vel quæ variari facilè poſſunt cummutata forma, vel colore, vel temperamento: vel quæ multis in locis facile eſt ita abdere, ut non appareant: qualia ſunt ea, quæ facilè huc, & illuc tranſportantur: & quæ parvis in locis occultantur: & prætereà, cum auctor injuriæ poſſidet aliqua, quę vel ejuſdem generis ſint, vel eis ſimilia quę
234 furatus eſt. * Eas etiam injurias inferunt, quas qui patiuntur, pudet proferre: ut, quæ uxoribus fiunt,

* Καὶ οὓς ἀδικήσαντες δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως ἰασόμενοι· ὥσπερ ἔφη Ἰάσων ὁ Θετταλὸς, δεῖν ἀδικεῖν ἔνια, ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν.

γ΄. * Καὶ ἃ πάντες ἢ πολλοὶ ἀδικεῖν εἰώθασι· συγγνώμης γὰρ οἴονται τεύξεσθαι. * Καὶ τὰ ῥᾴδια κρύψαι· τοιαῦτα δ', ὅσα ἢ ταχὺ ἀναλίσκεται, οἷον τὰ ἐδώδιμα· ἢ τὰ εὐμετάβλητα, ἢ σχήμασιν, ἢ χρώμασιν κράσεσιν. ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπορον· τοιαῦτα δὲ τὰ εὐβάστακτα καὶ ἐν μικροῖς τόποις ἀφανιζόμενα. καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋπῆρχε τῷ ἀδικοῦντι. * Καὶ ὅσα αἰσχύνονται λέγειν οἱ ἀδικηθέντες· οἷον γυναικῶν οἰκείων ὕβρεις, ἢ εἰς

ἢ εἰς αὐτοὺς, ἢ εἰς υἱεῖς. * Καὶ ὅσα φιλοδικεῖν δόξειεν ἂν ὁ ἐπεξιών· τοιαῦτα δὲ τά τε μικρὰ, καὶ ἐφ' οἷς συγγνώμη. ὡς μὲν οὖν ἔχοντες ἀδικοῦσι, καὶ ποῖα, καὶ ποίους, καὶ διὰ τί, σχεδὸν ταῦτά ἐστι.

aut ipſis, aut filiis. *Et, 235
quas ſi quis judicio perſequi velit, nimis appetens litium eſſe videatur. Tales ſunt leves, parvæque injuriæ, quibus vulgo ſolent homines ignoſcere. Quemadmodum igitur affecti homines injurias faciant, & quas, & quibus hominibus, & quibus de cauſis, ex his intelligi ferè poteſt.

CAPUT XIII.

De juſtis, & injuſtis, eorumque differentiis, de æquo & bono.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Ex duabus legibus juſta, & injuſta cognoſci.*

2 *Quænam ſint æqua & bona.*

α. * ΤΑ' δ' ἀδικήματα πάντα καὶ τὰ δικαιώματα διέλωμεν, ἀρξάμενοι πρῶτον ἐντεῦθεν. ὥρισται δὴ τὰ δίκαια καὶ τὰ ἄδικα, πρός τε νόμους δύο, καὶ πρὸς οὕς ἐστι, διχῶς. λέγω δὲ νόμον, τὸν μὲν, ἴδιον, τὸν δὲ, κοινόν.

1 * NUNC verò quę 236
ſint injuſtæ actiones, & quæ juſtę diſtinguamus, atque hinc initium ſumamus. Quę juſta ſunt, atque injuſta duplici lege definita ſunt, & duplici perſonarum genere. * Legem 237
autem duplicem voco, quòd aliqua propria ſit, aliqua communis, pro-

propria eſt illa, quæ ad ſingulas tantùm civitates, aut nationes pertinet; quæ vel non ſcripta eſt, vel ſcripta. Communis verò lex ea dicitur, quæ inſita eſt à natura: eſt enim quoddam juſtum, atque injuſtum, natura commune, quod omnium mentes occupavit; quamvis conſenſio nulla hominum interceſſerit, neque ita inter ſe pepigerint: quemadmodum Antigona Sophoclis dicere videtur, juſtum eſſe Polynicem ſepelire, quamvis interdictum eſſet, tanquam id natura juſtum ſit:

Hoc nanque non hodie, aut
heri, at ſemper fuit.
Nec quiſquam homo ſcit,
ejus ortus unde ſit,

& quemadmodum Empedocles ait de non interficiendis animantibus; hoc enim non aliquibus quidem juſtum eſt, aliquibus autem non juſtum,

Sed lex ſumma hæc eſt,
extenſa per æthera magnum.
Aeraque immenſum, cunctis mortalibus alma.

ἴδιον μὲν, τὸν ἑκάστοις ὡρισμένον πρὸς αὐτούς· καὶ τοῦτον, τὸν μὲν, ἄγραφον, τὸν δὲ, γεγραμμένον, κοινὸν δὲ, τὸν κατὰ φύσιν. ἔστι γὰρ, ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ, μηδὲ συνθήκη· οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον ἀπειρημένον, θάψαι τὸν Πολυνείκην, ὡς φύσει ὂν τοῦτο δίκαιον,

Οὐ γάρ τι νῦν τε κἀχθές, ἀλλ' ἀεί ποτε
Ζῇ τοῦτο. κοὐδεὶς οἶδεν
ἐξ ὅτου φάνη.

καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ, οὐ τισὶ μὲν δίκαιον, τισὶ δ' οὐ δίκαιον.

Ἀλλὰ τὸ μὲν πάντων νόμιμον, διά τ' εὐρυμέδοντος.
Αἰθέρος ἠνεκέως τέταται, διά τ' ἀπλέτου αὐγῆς.

καὶ

καὶ ὡς λέγει ἐν τῷ Μεσσηνιακῷ Ἀλκιδάμας· * Πρὸς οὓς δὲ διώρισται, διχῶς διώρισται, ἢ γὰρ πρὸς τὸ κοινὸν, ἢ γὰρ πρὸς ἕνα τῶν κοινωνούντων, ἃ δεῖ πράττειν, καὶ μὴ πράττειν. διὸ καὶ τὰ ἀδικήματα καὶ τὰ δικαιώματα διχῶς ἐστιν ἀδικεῖν καὶ δικαιοπραγεῖν· ἢ γὰρ πρὸς ἕνα ὡρισμένον, ἢ πρὸς τὸ κοινόν· ὁ γὰρ μοιχεύων καὶ τύπτων, ἀδικεῖ τινα τῶν ὡρισμένων· ὁ δὲ μὴ στρατευόμενος, τὸ κοινόν. * Ἁπάντων δὴ τῶν ἀδικημάτων διῃρημένων, καὶ τῶν μὲν ὄντων πρὸς τὸ κοινὸν, τῶν δὲ πρὸς ἄλλον καὶ πρὸς ἄλλους, ἀναλαβόντες τί ἐστι τὸ ἀδικεῖσθαι, λέγωμεν τὰ λοιπά. ἔστι δὴ τὸ ἀδικεῖσθαι τὸ ὑπὸ ἑκόντων τὰ ἄδικα πάσχειν· τὸ γὰρ ἀδικεῖν, ὥρισται πρότερον ἑκούσιον εἶναι.

& quemadmodum ait Alcidamas in oratione Meſ-
ſeniaca. * Quod autem 238
ad perſonas attinet, duobus modis diſtincta ſunt ea, quæ facere, aut non facere oportet, vel enim ad totam civitatem, vel ad unum aliquem eorum, qui in civitate ſunt, referuntur. Itaque duobus modis juſtè, & duobus modis injuſtè nos gerere poſſumus; vel enim erga unum certum ac definitum civem, vel erga totam Remp. nam qui adulterium committit, aut verberat, unum certum hominem injuria afficit: qui verò militiam detrectat, totam offendit
Rempublicam. * Cùm i- 239
gitur jam diſtincti ſint injuriarum modi, & cum aliæ in Rempublicam, aliæ vel in unum privatum, vel in plures fiant injuriæ: deinceps, ſi prius explicuerimus, quid ſi injuriam pati; reliqua perſequemur. Eſt autem injuriam pati, contra juſtitiam offendi ab iis, qui ſpontè offendunt; nam injuriam facere, jam ſuprà docuimus eſſe voluntarium.

* Quia

240 * Quia verò neceſſe eſt, eum, qui injuriam patitur, detrimento affici, & invitum illud accipere; ſatis ex eis, quæ ſupra dicta ſunt, intelligi poteſt, quæ ſint detrimentorum genera. Nam bona & mala priùs diſtincta ſunt per ſe: &, quæ ſint, ea quæ ſponte faciunt homines, nempe, quæ intelligentes faciunt. Itaque neceſſe eſt omnia crimina vel contra totam civitatem, vel contra privatos committi, vel ignorante illo, & invito, qui injuriam facit, vel volente, & intelligente. Quas autem injurias ſponte, & intelligens quiſpiam facit, eas vel conſultò, & cogitatò: vel perturbatione aliqua animi facit. Ac de ira quidem tunc dicemus, cum animi perturbationes explicabimus. Quæ verò de induſtria faciunt homines, & quomodo affecti, jam ſuprà dictum
241 eſt. * Et quoniam ſæpè rei ſe feciſſe confitentur, & tamen facti nomen non concedunt; aut id, quod nomine illo appellatur,

* Ἐπεὶ δ' ἀνάγκη τὸν ἀδικούμενον βλάπτεσθαι, καὶ ἀκουσίως βλάπτεσθαι, αἱ μὲν βλάβαι, ἐκ τῶν πρότερον φανεραί εἰσι. τὰ γὰρ ἀγαθὰ καὶ τὰ κακὰ διῄρηται καθ' αὐτὰ πρότερον, καὶ τὰ ἑκούσια, ὅτι ἐστιν ὅσα εἰδότες· ὥστ' ἀνάγκη πάντα τὰ ἐγκλήματα, ἢ πρὸς τὸ κοινὸν, ἢ πρὸς τὸ ἴδιον εἶναι· ἢ καὶ ἀγνοοῦντος, ἢ ἄκοντος, ἢ ἑκόντος καὶ εἰδότος· καὶ τούτων, τὰ μὲν, προελομένου· τὰ δὲ, διὰ πάθος. περὶ μὲν οὖν θυμοῦ ῥηθήσεται ἐν τοῖς περὶ τὰ πάθη. ποῖα δὲ προαιροῦνται. καὶ πῶς ἔχοντες, εἴρηται πρότερον. * Ἐπεὶ δ' ὁμολογοῦντες πολλάκις πεπραχέναι, ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν, ἢ περὶ ὃ τὸ ἐπίγραμμα;

οἷον

οἷον λαβεῖν μὲν, ἀλλ' οὐ κλέψαι. καὶ πατάξαι πρότερον, ἀλλ' οὐχ ὑβρίσαι· καὶ συγγενέσθαι μὲν, ἀλλ' οὐ μοιχεῦσαι· ἢ κλέψαι, ἀλλ' οὐχ ἱεροσυλῆσαι· οὐ γὰρ θεοῦ τι· ἢ ἐπεργάσασθαι μὲν, ἀλλ' οὐ δημοσίαν· ἢ διειλέχθαι μὲν τοῖς πολεμίοις, ἀλλ' οὐ προδιδόναι· διὸ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διορίσασθαι, τί κλοπὴ, τί ὕβρις, τί μοιχεία· ὅπως ἐάν τε ὑπάρχειν, ἐάν τε μὴ ὑπάρχειν βουλόμεθα δεικνύναι, ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον. *Ἔστι δὲ πάντα τὰ τοιαῦτα, περὶ τοῦ ἄδικον εἶναι καὶ φαῦλον, ἢ μὴ ἄδικον, περὶ οὗ ἡ ἀμφισβήτησις. ἐν γὰρ τῇ προαιρέσει ἐστὶν ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν· τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσημαίνει τὴν προαίρεσιν· οἷον ὕβρις καὶ κλοπή. *Οὐ γὰρ εἰ ἐπάταξε, πάντως ὕβρισεν· ἀλλ' εἰ ἕνεκά του·

ut ſuſtuliſſe quidem, ſed non furtum feciſſe, & priorem percuſſiſſe, verum contumelia non affeciſſe, & rem habuiſſe, non adulterium commiſiſſe, & furtum feciſſe, non autem ſacrilegium, quòd ea res dei non eſſet, & coluiſſe quidem agrum, ſed non publicum, & cum hoſtibus collocutum eſſe, ſed non prodidiſſe: ideò hæc omnia definire, atque explicare opus erit, quid ſit furtum, quid contumelia, quid adulterium, ut ſi crimen illud reo vel hærere, vel non hærere oſtendere voluerimus, aperiendi quid æquum ſit facultatem habeamus.

* In omnibus enim his 242
quæſtionibus controverſia eſt, utrum quod factum dicitur, injuſtum, improbumque ſit, an non injuſtum: nam in deliberatione, conſilioque peccatum eſt, & omnis injuſtitia. His autem nominibus animi ſenſus, & conſilium indicatur, ut contumelia, furtum.

* Neque enim, qui 243
percuſſit, omninò contumeliam, impoſuit, niſi alicujus gratia id fecerit,

ut,

ut, ſi voluit eum ignominia afficere, aut ipſe voluptatem capere, neque omninò qui clàm aliquid ſuſtulit, furtum commiſit, niſi id fecit, ut alteri damnum afferret, & id quod ſuſtulit, ipſe haberet. Eadem ratio eſt etiam reliquorum omnium, quam horum
244 eſſe diximus. * Quia verò juſtorum, & injuſtorum duo eſſe genera docuimus, & aliqua quidem ſcripta eſſe, aliqua verò non ſcripta; de iis, quæ ſcripta ſunt, & legibus conſtituta, jam dictum eſt; quæ verò non ſcripta ſunt, ea rurſus bipertitò diſtribuuntur. Nam alia ſunt, quæ & virtutis, & vitii quandam exuperantiam in ſe continent: in quibus ſunt vituperationes, & laudes, ignominiæ, & honores, & præmia, ut ei, qui beneficium dedit, gratiam habere, & ei beneficium reddere, à quo acceperis, & promptum eſſe ad amicos auxilio ſublevandos, & cætera, quæ ſunt ejus generis. Alia verò ſunt propriæ legis,

οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον, ἢ αὐτὸς ἡσθῆναι. οὐδὲ πάντως, εἰ λάθρα ἔλαβεν, ἔκλεψεν, ἀλλ᾽ εἰ ἐπὶ βλάβῃ ἔκλεψε, καὶ σφετερισμῷ ἑαυτοῦ· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων. * Ἐπεὶ δὲ τῶν δικαίων καὶ τῶν ἀδίκων ἦν δύο εἴδη, τὰ μὲν γὰρ γεγραμμένα, τὰ δὲ ἄγραφα· περὶ ὧν μὲν οἱ νόμοι ἀγορεύουσιν, εἴρηται· τῶν δὲ ἀγράφων, δύο ἐστὶν εἴδη· ταῦτα δ᾽ ἐστὶ, τὰ μὲν, καθ᾽ ὑπερβολὴν ἀρετῆς καὶ κακίας, ἐφ᾽ οἷς ὀνείδη καὶ ἔπαινοι, ἀτιμίαι καὶ τιμαὶ, καὶ δωρεαί· οἷον, τὸ χάριν ἔχειν τῷ ποιήσαντι εὖ, καὶ ἀντευποιεῖν τὸν εὖ ποιήσαντα, καὶ βοηθητικὸν εἶναι τοῖς φίλοις, καὶ ὅσα ἄλλα τοιαῦτα. τὰ δὲ τοῦ ἰδίου νόμου,

καὶ γεγραμμένου ἔλλειμμα. τὸ γὰρ ἐπιεικὲς, δοκεῖ δίκαιον εἶναι. * Ἔστι δὲ ἐπιεικὲς, τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον εἶναι. συμβαίνει δὲ τοῦτο, τὰ μὲν ἀκόντων, τὰ δὲ, ἑκόντων τῶν νομοθετῶν· ἀκόντων μὲν, ὅταν λάθῃ· ἑκόντων δὲ, ὅταν μὴ δύνωνται διορίσαι· ἀλλ' ἀναγκαῖον μὲν ᾖ καθόλου εἰπεῖν, μὴ ᾖ δὲ, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. * Καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν· οἷον, τὸ τρῶσαι σιδήρῳ, ἢ πηλίκῳ, καὶ ποίῳ τινί· ὑπολείποι γὰρ δὴ ὁ αἰὼν διαριθμοῦντα. * Ἂν οὖν ᾖ ἀδιόριστον, δέοι δὲ νομοθετῆσαι, ἀνάγκη ἁπλῶς εἰπεῖν, ὥστε κἂν δακτύλιον ἔχων, ἐπάρηται τὴν χεῖρα, ἢ πατάξῃ, κατὰ μὲν τὸν γεγραμμένον νόμον, ἔνοχός ἐστι καὶ ἀδικεῖ.

& ſcriptæ quaſi ſupplementa quædam, nam quod æquum, & bonum eſt, id etiam juſtum eſſe videtur. * Eſt autem æquum, & bonum id, quod 245
præter ſcriptam legem juſtum eſt. Quod quidem accidit partim invitis, partim intelligentibus legum latoribus. Atque invitis quidem, cum aliquid eos latet, intelligentibus verò cum omnia definitè nequeunt explicare; ſed neceſſe habent generatim ſcribere, quamvis non ita ſemper ſe habeant, ſed plerunque. *Et cum pro- 246
pter infinitatem non facilè poſſunt omnia perſequi, ut vulnerare ferro, & quanto, & quali deficeret enim priùs vita hominem, quàm omnia dinumerare poſſet. * Nam 247
ſi quid adhuc indefinitum ſit, de quo legem ferre oporteat, de eo neceſſe eſt ſimpliciter, & universè ſtatuere. Quare, ſi quis annulum ferreum habens elata manu quempiam percuſſerit, ex verbis legis ille reus eſt, & injuſtè facit, reve-

revera autem non facit injuſtè. Et hoc eſt, quod æquum, & bonũ appellatur.

248 2 * Cum igitur æquum, & bonum ſit ejuſmodi, perſpicuum eſt, quænam æqua, & bona ſint, & quæ contraria, & qui ſint æqui, & boni homines, & qui contra: nam illa ſunt æqua, & bona, in quibus quamvis lapſi ſint homines, tamen eis veniam dare oportet.

249 * Æquum etiam eſt, non pari pœna dignos ſtatuere errores, & injurias, neque errores, & infortunia. Sunt autem illa infortunia, quæ præter cogitationem eveniunt, & à nullo animi vitio: errores verò, qui non quidem præter cogitationem accidunt, ſed tamen malitia carent. Injuriæ ſunt illæ, quæ & à cogitatione, & ab animi vitio proficiſcuntur, nam etiam, quæ impellente cupidate fiunt, à malitia proveniunt.

250 * Humanæ etiam naturæ, imbecillitatique ignoſcere, æquum ac bonum eſt, & non ad legem ipſam, ſed ad legislatorem animum referre:

κατὰ δὲ τὸ ἀληθὲς, οἷον ἀδικεῖ· καὶ τὸ ἐπιεικὲς τοῦτό ἐστιν.

β΄. * Εἰ δ' ἐστὶ τὸ εἰρημένον ἐπιεικὲς, φανερὸν ποῖά ἐστι τὰ ἐπιεικῆ καὶ οὐκ ἐπιεικῆ, καὶ ποῖοι οὐκ ἐπιεικεῖς ἄνθρωποι· ἐφ' οἷς τε γὰρ δεῖ συγγνώμην ἔχειν, ἐπιεικῆ ταῦτα. * Καὶ τὸ τὰ ἁμαρτήματα καὶ τὰ ἀδικήματα μὴ τοῦ ἴσου ἀξιοῦν. μηδὲ τὰ ἁμαρτήματα καὶ τὰ ἀτυχήματα· ἔστι δὲ, ἀτυχήματα μὲν, ὅσα παράλογα, καὶ μὴ ἀπὸ μοχθηρίας· ἁμαρτήματα δὲ, ὅσα μὴ παράλογα, καὶ μὴ ἀπὸ πονηρίας· ἀδικήματα δὲ, ὅσα μήτε παράλογα, ἀπὸ πονηρίας τέ ἐστι· τὰ γὰρ δι' ἐπιθυμίαν ἀπὸ πονηρίας. * Καὶ τὸ τοῖς ἀνθρωπίνοις συγγινώσκειν, ἐπιεικές. καὶ τὸ μὴ πρὸς τὸν νόμον, ἀλλὰ πρὸς τὸν νομοθέτην σκοπεῖν.

καὶ

καὶ τὸ μὴ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου σκοπεῖν. * Καὶ μὴ πρὸς τὴν πρᾶξιν, ἀλλὰ πρὸς τὴν προαίρεσιν· καὶ μὴ πρὸς τὸ μέρος, ἀλλὰ πρὸς τὸ ὅλον. μηδὲ ποῖός τις νῦν, ἀλλὰ ποῖός τις ἦν ἀεὶ, ἢ ὡς ἐπιτοπολύ. * Καὶ τὸ μνημονεύειν μᾶλλον ὧν ἔπαθεν ἀγαθῶν, ἢ κακῶν· καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον, ἢ ἐποίησε. καὶ τὸ ἀνέχεσθαι ἀδικούμενον. καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν κρίνεσθαι, ἢ ἔργῳ· καὶ τὸ εἰς δίαιταν μᾶλλον, ἢ εἰς δίκην βούλεσθαι ἰέναι· ὁ γὰρ διαιτητὴς τὸ ἐπιεικὲς ὁρᾷ· ὁ δὲ δικαστὴς τὸν νόμον· καὶ τούτου ἕνεκα διαιτητὴς εὑρέθη, ὅπως τὸ ἐπιεικὲς ἰσχύῃ. περὶ μὲν οὖν τῶν ἐπιεικῶν διωρίσθω τὸν τρόπον τοῦτον.

& non verba legis, ſed legiſlatoris ſententiam ſpectare. * Neque factum 251
ipſum, ſed ejus, qui fecit, animum conſiderare, neque partem tantùm ſed rem univerſam perpendere: &, qui reus eſt, non qualis nunc ſit, ſed qualis anteacto tempore fuerit, & majori ex parte. * Et potiùs bo- 252
norum, quę quis acceperit, quàm malorum recordari: & accepta potiùs beneficia meminiſſe, quàm collata: & acceptam injuriam æquo animo tolerare: & verbis magis, quàm factis, de re decerni velle: & ad arbitrum potiùs quàm ad judicem, rem deferri velle: arbiter enim æquum, & bonum ſibi proponit, judex autem ipſam legem. Neque ulla alia de cauſa repertus eſt arbiter, niſi ut æquum, & bonum valeat. Ac ea quidem, quæ de æquis, & bonis dicenda erant, hoc modo declarata ſint.

CAPUT XIV.

De majori ac minori injuria.

DIVISIO CAPITIS IN PARTEM UNICAM.

1 *E quinque rebus cognoſci, quænam ſit major, aut minor injuria.*

253 1 * INJURIÆ verò majores illæ ſunt, quæ à majore injuſtitia proveniunt. Itaque minimæ quæque injuriæ maximæ ſunt, ut Calliſtratus Melanopum accuſat, quòd tribus dimidiatis obolis Deo dicatis, templi ædificatores fraudaſſet: ſed in rebus juſtis, juſtitiaque contra accidit. Hæc autem talia ſunt eo, quòd majore quadam vi ſuperant, ut qui tres dimidiatos obolos furatur, etiam quidvis aliud facilè committeret. Interdum igitur, quod majus eſt hoc modo judicatur, interdum etiam ex damni ma-
254 gnitudine. * Illa etiam major eſt injuria, cui par pœna nulla inveniri poteſt, ſed omnes ſunt inferiores, & cui nulla medicina poteſt adhiberi; difficile eſt enim & omni potentia majus,

α. * Ἀδικήματα δὲ μείζονα, ὅσα ἂν ἀπὸ μείζονος ᾖ ἀδικίας· διὸ καὶ τὰ ἐλάχιστα, μέγιστα· οἷον ὁ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμιωβόλια ἱερὰ τοὺς ναοποιούς· ἐπὶ δικαιοσύνης δὲ, τοὐναντίον. ἔστι δὲ ταῦτα ἐκ τοῦ ὑπερέχειν τῇ δυνάμει· ὁ γὰρ τρία ἱερὰ ἡμιωβόλια κλέψας, κἂν ὁτιοῦν ἀδικήσειεν. * Ὁτὲ μὲν δὴ οὕτω τὸ μεῖζον, ὁτὲ δὲ ἐκ τοῦ βλάβους κρίνεται. καὶ οὗ μή ἐστιν ἴση τιμωρία, ἀλλὰ πᾶσα ἐλάττων. καὶ οὗ μή ἐστιν ἴασις· χαλεπὸν γὰρ καὶ ἀδύνατον.

καὶ

καὶ οὗ μὴ ἔστι δίκην λαβεῖν τὸν παθόντα· ἀνίατον γάρ· ἡ γὰρ δίκη καὶ κόλασις, ἴασις. καὶ εἰ ὁ παθὼν, καὶ ὁ ἀδικηθεὶς αὐτὸς αὑτὸν μεγάλως ἐκόλασεν· ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι· οἷον, Σοφοκλῆς ὑπὲρ ΕΥ'κτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσφαξεν ἑαυτὸν ὑβρισθεὶς, οὐ τιμήσειν ἔφη ἐλάττονος, ἢ οὗ ὁ παθὼν ἐτίμησεν ἑαυτόν. *Καὶ ὃ μόνος, ἢ πρῶτος, ἢ μετ' ὀλίγων πεποίηκε. καὶ τὸ πολλάκις τὸ αὐτὸ ἁμαρτάνειν, μέγα. καὶ δι' ὃ ἂν ζητηθῇ καὶ εὑρεθῇ τὰ κωλύοντα καὶ ζημιοῦντα· οἷον, ἐν Ἄργει ζημιοῦσι, δι' ὃν ἂν νόμος τεθῇ, καὶ δι' οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη. καὶ τὸ θηριωδέστερον ἀδίκημα, μεῖζον. καὶ τὸ ἐκ προνοίας, μᾶλλον·

& in qua, qui paſſus eſt malum, pœnas judicio ſumere non poteſt; id enim inſanabile eſt, ſiquidem pœna eſt caſtigatio, & medicina quædam, & ſi qui læſus eſt, & injuriam accepit, in ſe ipſum graviter animadvertit; nam multò majori pœna dignus eſt, qui injuriam intulit, ut Sophocles pro Euctemone, qui, cum injuriam accepiſſet; ſe ipſum jugularat, dixit ſe non minorem reo pœnam irrogaturum ea, qua qui contumeliam paſſus fuerat, ſe ipſum multaverat. *Et, quam 255
ſolus, aut primus, aut cum paucis fecit. Sæpiùs etiam in idem peccatum incidere, grave eſt. Illud quoque majus eſt, propter quod remedium, ac pœnæ quæſitæ ſunt, & inventæ; ut Argis eos puniunt,' qui ſunt in cauſa, ut nova lex conſtituatur; aut carcer ædificetur. Et, quod magis belluinos mores imitatur, peccatum gravius eſt, &, quod conſultò, & cogitatò committitur,

&, quod in animis eo-
rum, qui audiunt, po-
tiùs metum, quàm mi-
256 ſericordiam excitat. * Et
hæc quidem propria rhe-
torum ſunt; ut uno fa-
cto, multa jura ſuſtuliſ-
ſe, aut violaſſe dicant;
ut jusjurandum, dextras,
fidem datam, jus conju-
gii; ſic enim multarum
injuriarum exuperantia
demonſtratur. Et in
eo loco, ubi ſontes pu-
niuntur: quod falſi teſtes
faciunt; quem enim lo-
cum à ſcelere vacuum re-
linquent, qui etiam in
ipſo judicio ſcelus admit-
tere non dubitant? &
ea, in quibus homines e-
rubeſcere maximè conſue-
verunt, & ſi eum læſit,
à quo beneficium accepe-
rat, multis enim modis in-
juſtus eſt, & quòd dam-
num inferat, & quòd benè
merenti non gratiam refe-
257 rat. * Majus etiam oſten-
ditur, quod contra jus non
ſcriptum commiſſum eſt,
nã viri melioris indicium
eſt, nulla coactum neceſſi-
tate juſtum eſſe, quæ enim
ſcripta ſunt, ea neceſſariò
ſervantur, quæ verò non
ſcripta, non neceſſariò.

καὶ ὃ οἱ ἀκούοντες φοβοῦνται μᾶλλον ἢ ἐλεοῦσι. * Καὶ τὰ μὲν ῥητορικά ἐστι τοιαῦτα, ὅτι πολλὰ ἀνῄρηκε δίκαια, ἢ ὑπερβέβηκεν· οἷον, ὅρκους, δεξιὰς, πίστεις, ἐπιγαμίας· πολλῶν γὰρ ἀδικημάτων ὑπεροχή. καὶ τὸ ἐνταῦθα, οὗ κολάζονται οἱ ἀδικοῦντες· ὅπερ ποιοῦσιν οἱ ψευδομάρτυρες· ποῦ γὰρ οὐκ ἂν ἀδικήσειεν, εἴ γε καὶ ἐν τῷ δικαστηρίῳ. καὶ ἐφ' οἷς αἰσχύνη μάλιστα· καὶ εἰ τοῦτον ὑφ' οὗ εὖ πέπονθε· πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ, καὶ ὅτι οὐκ εὖ. * Καὶ ὃ παρὰ τὰ ἄγραφα δίκαια· ἀμείνονος γὰρ, μὴ δι' ἀνάγκην δίκαιον εἶναι· τὰ μὲν οὖν γεγραμμένα, ἐξ ἀνάγκης, τὰ δὲ ἄγραφα, οὐ·

ἄλλον

ἄλλον δὲ τρόπον, εἰ παρὰ τὰ γεγραμμένα· ὁ γὰρ τὰ φοβερὰ ἀδικῶν, καὶ τὰ ἐπιζήμια, καὶ τὰ μὴ ἐπιζήμια, ἀδικήσειεν ἄν. περὶ μὲν οὖν ἀδικήματος μείζονος, καὶ ἐλάττονος, εἴρηται.

Contra etiam magis peccare videtur, qui contra jura ſcripta quippiam committit, nam, qui ſcelera, quæ terribilia ſunt, committit, nec pœnas reformidat, quantò magis in eis injuſtus erit, unde nullum ſibi damnum impendere videat? Ac de injuria quidem majore, & minore dictũ eſt.

CAPUT XV.

De Perſuaſionibus inartificialibus.

DIVISIO CAPITIS IN PARTES SEX.

1 *Quinque eſſe genera probationum inartificialium.*
2 *Quid ſit faciendum, cum leges rei noſtræ favent, aut adverſantur.*
3 *Quid, cum teſtes,*
4 *Quid, cum pacta.*
5 *Quid, cum quæſtiones, ſeù tortura.*
6 *Quid, cum juſjurandum.*

α΄ * ΠΕΡΙ δὲ τῶν ἀτέχνων καλουμένων πίστεων, ἐχόμενόν ἐστι τῶν εἰρημένων ἐπιδραμεῖν· ἴδιαι γὰρ αὗται τῶν δικανικῶν. * Εἰσὶ δὲ πέντε τὸν ἀριθμὸν, νόμοι, μάρτυρες, συνθῆκαι,

1 * DEINCEPS 258
à nobis ea percurrenda ſunt, quæ ad probationes artis expertes, pertinere videantur, nam hæ judicialium controverſiarum proprię ſunt. * Sunt autem 259
numero quinque, leges, teſtimonia, tabulæ,

quæſtiones, jusjurandum. Ac primò quidem de legibus dicamus, & quomodo eis in ſuadendo, ac diſſuadendo, in accuſando, & defendendo utendum ſit.

260 2 * Planum eſt enim, ſi quis ſcriptam legem cauſæ ſuæ contrariam habeat, ad communem legem ei confugiendum eſſe, & æquo ac bono, tanquam juſtiore nitendum: & dicendum; hoc eſſe æquiſſima ſententia judicare, ſiquis non omninò ſcriptis legibus adhærere velit: & æquum, & bonum ſemper idem manere, nec unquam immutari, ſicuti neque communis lex; inſitum eſt enim in ipſa natura. Scriptæ verò leges ſæpè variantur. Unde illud in Antigona Sophoclis dictum eſt, ubi tuetur illa factum ſuum; quod licet contra Creontis legem fecerit, non tamen contra legem non ſcriptam.

Hoc nanque non hodie aut heri, at ſemper fuit.
Ideo ego non timeo viri ullius minas.

βάσανοι, ὅρκος. πρῶτον μὲν οὖν εἴπωμεν περὶ νόμων, πῶς χρηστέον καὶ προτρέποντι καὶ ἀποτρέποντι, καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον.

β΄. * Φανερὸν γὰρ, ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος τῷ πράγματι, τῷ κοινῷ νόμῳ χρηστέον, καὶ τοῖς ἐπιεικέσιν, ὡς δικαιοτέροις. καὶ ὅτι τῇ γνώμῃ τῇ ἀρίστῃ τοῦτ' ἐστι, τὸ μὴ πάντως χρῆσθαι τοῖς γεγραμμένοις. καὶ ὅτι, τὸ μὲν ἐπιεικὲς ἀεὶ μένει, καὶ οὐδέποτε μεταβάλλει, οὐδ' ὁ κοινός· κατὰ φύσιν γάρ ἐστιν· οἱ δὲ γεγραμμένοι, πολλάκις· ὅθεν εἴρηται ἐν τῇ τοῦ Σοφοκλέους Ἀντιγόνῃ· ἀπολογεῖται γὰρ, ὅτι ἔπραξε παρὰ τὸν τοῦ Κρέοντος νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον.

Οὐ γάρ τι νῦν γε κἀχθὲς, ἀλλ' ἀεί ποτε.
Τούτων ἐγὼ οὐκ ἔμελον ἀνδρὸς οὐδενός.

καὶ

καὶ ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τι καὶ συμφέρον, ἀλλ' οὐ τὸ δοκοῦν· ὥστ' οὐ νόμος, ὁ γεγραμμένος· οὐ γὰρ ποιεῖ τὸ ἔργον τὸ τοῦ νόμου. καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ κριτής ἐστιν, ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον, καὶ τὸ ἀληθές· καὶ ὅτι βελτίονος ἀνδρὸς τὸ τοῖς ἀγράφοις, ἢ τοῖς γεγραμμένοις χρῆσθαι, καὶ ἐμμένειν. * Καὶ εἴ που ἐναντίος νόμῳ εὐδοκιμοῦντι, ἢ καὶ αὐτὸς αὑτῷ· οἷον, ἐνίοτε, ὁ μὲν, κελεύει κύρια (εἶναι, ἅττ' ἂν συνθῶνται). ὁ δ', ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον. καὶ εἰ ἀμφίβολος, ὥστε στρέφειν καὶ ὁρᾶν ἐφ' ὁποτέραν τὴν ἀγωγὴν, ἢ τὸ δίκαιον ἐφαρμόσει, ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι. καὶ εἰ τὰ μὲν πράγματα ἐφ' οἷς ἐτέθη ὁ νόμος, μηκέτι μένει, ὁ δὲ νόμος· πειρατέον τοῦτο δηλοῦν,

& juſtum id eſſe, quod eſt verum, atque utile, non autem, quod ſpeciem tantùm habet. Itaque ſcripta lex non eſt juſta; neque enim legis officium exequitur: & rebus judicandis præpoſitum eſſe judicem, tanquam argentarium, qui id juſtum, quod ſimulatum, & adulterinum eſt, ab eo, quod eſt verè juſtum, diſcernat. * Et 261
ſi lex, qua premimur, aliquo modo contraria eſt jam probatæ legi, aut ſi ſecum ipſa pugnat: ut interdum altera lex jubet rata eſſe, quæcunque inter ſe homines pepigerunt, altera verò vetat, pactiones fieri contra leges, & ſi ſit ambigua lex, ut quis eam torquere poſſit; tunc videre oportet, in quam partem juſtum, atque utile conveniat, deinde illo uti: & ſi res illæ propter quas lata lex fuit, non amplius manent, lex tamen adhuc ſervatur; tunc laborandum eſt, ut id notum fiat,

& hac ratione contra le-
262 gem pugnandum. * Quòd
ſi ſcripta lex pro nobis
facit: tunc dicendum eſt,
æquiſſima ſententia judi-
care, non eſſe ideo judi-
cibus conceſſum, ut con-
tra legem aliquid ſta-
tuant, ſed, ne fortaſſe
pejerent, ſi vim, ac ſen-
tentiam legis non benè
perceperint, & neminem
eſſe, qui, quod abſolutè
bonum eſt, quærat, ſed
quod ſibi ipſi: & nihil
differre, non latas le-
ges, & in nullo eſſe
uſu: & in aliis arti-
bus non utile eſſe di-
ſcedere à præceptis, &
callidè aliquid excogi-
tare, ut contra medi-
cum; neque enim tan-
tum detrimenti adfert
erratum medici, quan-
tum mala conſuetudo
non illi parendi, qui im-
perium habet: & hoc eſ-
ſe, quod in probatis
legibus prohibetur, ne
quis ipſis legibus quæ-
rat, aut velit eſſe
ſapientior. Et de le-
gibus quidem hæc dicta
263 ſint. * Teſtium verò duo
ſunt genera: nam alii
ſunt antiqui, alii novi.

καὶ μάχεσθαι ταύτῃ πρὸς αὐτόν. * Ἐὰν δὲ ὁ γεγραμμένος ᾖ πρὸς τὸ πρᾶγμα, τότε γνώμῃ τῇ ἀρίστῃ λεκτέον ἐστίν· ὅτι οὐ τοῦ παρὰ τὸν νόμον ἕνεκα δικάζειν ἐστίν, ἀλλ' ἵνα, ἐὰν ἀγνοήσῃ ὅ,τι λέγει ὁ νόμος, μὴ ἐπιορκῇ. καὶ ὅτι οὐ τὸ ἁπλῶς ἀγαθὸν αἱρεῖται οὐδεὶς, ἀλλὰ τὸ αὑτῷ. καὶ ὅτι οὐδὲν διαφέρει, ἢ μὴ κεῖσθαι, ἢ μὴ χρῆσθαι. καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις, οὐ λυσιτελεῖ παρασοφίζεσθαι παρὰ τὸν ἰατρόν. οὐ γὰρ τοσοῦτον βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ, ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι. καὶ ὅτι τὸ, τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ' ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις ἀπαγορεύεται. καὶ περὶ μὲν τῶν νόμων, οὕτω διωρίσθω. * Περὶ δὲ μαρτύρων, μάρτυρές εἰσι διπλοῖ, οἱ μὲν, παλαιοὶ, οἱ δὲ, πρόσφατοι.

καὶ

καὶ τούτων, οἱ μὲν, μετέχοντες τοῦ κινδύνου, οἱ δ', ἐκτός. * Λέγω δὲ, παλαιοὺς μὲν, τούς τε ποιητὰς, καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶ κρίσεις φανεραί· οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος· καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγιεῖς. καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων, ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων,

> Εἰπεῖν μοι Κριτίᾳ πυῤῥότριχι πατρὸς ἀκούειν.

περὶ μὲν οὖν τῶν γενομένων, οἱ τοιοῦτοι μάρτυρες. περὶ δὲ τῶν ἐσομένων, καὶ οἱ χρησμολόγοι· οἷον, Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον λέγων τεῖχος. ἔτι καὶ αἱ παροιμίαι, ὥσπερ εἴρηται, μαρτύριά ἐστιν.

Novorum autem partim periculi participes ſunt, partim extra periculum poſiti · * Antiquos te- 264
ſtes voco poetas, & claros auctores, viroſque illuſtres, quorum ſunt aperta judicia, ut Athenienſes Homeri teſtimonio de Salamine uſi ſunt, nuper etiam Tenedii contra Sigienſes Periandri teſtimonio ſunt adjuti. Et Cleophon contra Critiam Solonis elegis uſus eſt, dicens ejus familiam jampridem fuiſſe petulantem: neque enim aliter Solon unquam ita ceciniſſet:

> *Dic flavo Critiæ, ut ſtudeat parere parenti.*

& rerum quidem præteritarum teſtes ſunt hujuſmodi, futurarum autem etiam vates, & augures, ut Themiſtocles, cum navali prælio confligendum eſſe probare vellet, oraculum interpretatus eſt: quod jubebat, ut ſe ligneo muro defenderent. Quin etiam proverbia ſunt ex eo genere, quod dictum eſt, teſtimonia,

ut ſi quis cuipiam ſuadeat, ne ſibi ſenem amicum facere ſtudeat, hoc utatur proverbio, *in ſenem nequod beneficium contuleris*. Et, ſi quis hortetur quempiam, ut eos filios tollat, quorum patres jam necarit, illud proferat:

Stultus, qui natos, occiſo patre, reliquit.

Novi autem teſtes ſunt, qui, cum noti, illuſtreſque ſint, jam de aliqua re judicium fecerunt.
265 * Nam horum judicia ſunt eis utilia, qui de iiſdem rebus ambigunt, ut Eubulus in judiciis contra Charetem uſus eſt eo, quod adverſus Archibium Plato dixerat, rem hanc increbeſcere, pluresque eſſe in civitate, qui ſe improbos eſſe fateantur. Novi etiam teſtes ſunt, qui periculi participes fiunt, ſi mentiri viſi fuerint. Atque hujuſmodi teſtes tantùm illud teſtantur, factum fuerit nec ne, ſit, an non ſit. De qualitate verò nihil dicunt, ut, ſi juſtum, an injuſtum ſit,

οἷον, εἴ τις συμβουλεύοι μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία, Μήποτ' εὖ ἔρδειν γέροντα. καὶ τὸ τοὺς υἱοὺς ἀναιρεῖν, ὧν καὶ τοὺς πατέρας,

Νήπιος, ὃς πατέρα κτείνας, παῖδας καταλείποι.

πρόσφατοι δ', ὅσοι γνώριμοι κεκρίκασί τι. * Χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν· οἷον, Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος, ὃ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι. καὶ οἱ μετέχοντες τοῦ κινδύνου, ἂν δόξωσι ψεύδεσθαι. οἱ μὲν οὖν τοιοῦτοι τῶν τοιούτων μόνον μάρτυρές εἰσι· γέγονεν, ἢ μή· ἔστιν, ἢ μή. περὶ δὲ τοῦ ποῖον, οὐ μάρτυρες· οἷον, εἰ δίκαιον ἢ ἄδικον, ἢ συμ-

ἢ συμφέρον ἢ ἀσύμφορον. οἱ δ', ἄποθεν, καὶ περὶ τούτων πιστότατοι. πιστότατοι δ', οἱ παλαιοί· ἀδιάφθοροι γάρ, πιστώματα δὲ περὶ μαρτυριῶν.

γ'.* Μάρτυρας μὲν μὴ ἔχοντι, ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν· καὶ τοῦτ' ἐστι τὸ, γνώμῃ τῇ ἀρίστῃ. καὶ ὅτι οὐκ ἔστιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ. καὶ ὅτι οὐχ ἁλίσκεται ψευδομαρτυριῶν τὰ εἰκότα. * Ἔχοντι δὲ πρὸς μὴ ἔχοντα, ὅτι οὐχ ὑπόδικα τὰ εἰκότα, καὶ ὅτι οὐδὲν ἂν ἔδει μαρτυριῶν, εἰ ἐκ τῶν λόγων ἱκανὸν ἦν θεωρῆσαι. εἰσὶ δὲ αἱ μαρτυρίαι, αἱ μὲν, περὶ αὐτοῦ· αἱ δὲ, περὶ τοῦ ἀμφισβητοῦντος. καὶ αἱ μὲν, περὶ τοῦ πράγματος, αἱ δὲ, περὶ τοῦ ἤθους. * Ὥστε φανερὸν, ὅτι οὐδέποτε ἔστιν ἀπορῆσαι μαρτυρίας χρησίμης· εἰ μὴ γὰρ κατὰ τοῦ πράγματος,

utile, an inutile. Qui
autem remoti ſunt etiam
de his maximè ſunt i-
donei teſtes, ſed om-
nium maximè fide di-
gni ſunt antiqui, quia
corrrumpi non poſſunt,
& probationes ab eo-
rum teſtimoniis ducun-
tur.

3 * Quòd, ſi quis te- 266
ſtes non habeat pote-
rit dicere, judicium ex
argumentis fieri debere,
& hoc eſſe æquiſſima ſen-
tentia judicare; neque
enim argumenta pecuniis
depravari poſſunt, neque
coargui ſolent, quòd
mentiantur, ac fallant.
* Qui teſtes habet, con- 267
tra eum, qui non habet,
dicet, argumenta nequa-
quam pœnæ ſubjecta eſ-
ſe, nihilque opus fore
teſtimoniis, ſi ad proban-
dum verba ſufficerent.
Sunt autem teſtimonia,
vel de ſe ipſo, vel de
adverſario, vel de fa-
cto, vel de vita, ac
moribus. * Itaque per- 268
ſpicuum eſt, nunquam,
fore, ut teſtimonio uti-
li careamus: nam,
ſi de facto teſtimonium
habere non poſſumus,

quod aut cauſam noſtram
confirmet, aut adver-
ſarii refellat, certè de
moribus non deerit te-
ſtimonium, quod vel
æquitatem noſtram o-
ſtendat, vel improbi-
269 tatem adverſarii. * Re-
liqua verò, quæ de
teſte quæri ſolent, a-
micus ne ſit, an inimi-
cus, an neutrum,
& ſpectatæ fidei, an
infamis, an medius, &
quæcunque ſunt ejus ge-
neris differentiæ, ex eiſ-
dem locis ſumuntur, un-
de etiam enthymemata
ducuntur.

270 4 * Quod ad tabulas
attinet, quibus pacta,
& conventa continen-
tur; nulla alia oratio-
ne opus eſt, niſi ut eas
orator augeat, aut de-
primat; fidem eis ad-
dat, aut adimat. Nam,
ſi pro ſe faciunt, il-
lis fidem addere, ra-
tasque facere, ſi pro
adverſario fidem adime-
re contendat. Quod au-
tem ad fidem eis ad-
dendam, aut adimen-
dam ſpectat, nihil differt
à teſtium tractatione:

ἢ αὐτῷ ὁμολογουμένης, ἢ τῷ ἀμφισβητοῦντι ἐναντίας, ἀλλὰ περὶ τοῦ ἤθους, ἢ αὐτοῦ εἰς ἐπιείκειαν, ἢ τοῦ ἀμφισβητοῦντος εἰς φαυλότητα. * Τὰ δ' ἄλλα περὶ μάρτυρος, ἢ φίλου, ἢ ἐχθροῦ, ἢ μεταξὺ, ἢ εὐδοκιμοῦντος, ἢ ἀδοξοῦντος, ἢ μεταξὺ, καὶ ὅσαι ἄλλαι τοιαῦται διαφοραὶ, ἐκ τῶν αὐτῶν τόπων λεκτέον, ἐξ οἵωνπερ καὶ τὰ ἐνθυμήματα λέγομεν.

δ'. * Περὶ δὲ τῶν συνθηκῶν, τοσαύτη τοῦ λόγου χρῆσίς ἐστιν, ὅσον αὔξειν, ἢ καθαιρεῖν, ἢ πιστὰς ποιεῖν, ἢ ἀπίστους· ἂν μὲν αὐτῷ ὑπάρχωσι, πιστὰς καὶ κυρίας· ἐπὶ δὲ τοῦ ἀμφισβητοῦντος, τοὐναντίον. πρὸς μὲν οὖν τὸ πιστὰς ἢ ἀπίστους κατασκευάζειν, οὐδὲν διαφέρει τῆς περὶ τοὺς μάρτυρας πραγματείας·

ὁποῖοι

ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι, ἢ φυλάττοντες, τούτοις αἱ συνθῆκαι πισταί εἰσιν. * Ὁμολογουμένης δ' εἶναι τῆς συνθήκης, οἰκείας μὲν οὔσης, αὐξητέον· ἡ γὰρ συνθήκη, νόμος ἐστὶν ἴδιος, καὶ κατὰ μέρος. καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον· οἱ δὲ νόμοι, τὰς κατὰ τὸν νόμον συνθήκας. καὶ ὅλως αὐτὸς ὁ νόμος, συνθήκη τίς ἐστιν· ὥστε ὅστις ἀπιστεῖ, ἢ ἀναιρεῖ συνθήκην, τοὺς νόμους ἀναιρεῖ. ἔτι δὲ, πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων, καὶ τὰ ἑκούσια κατὰ συνθήκας· ὥστε ἀκύρων γιγνομένων, ἀναιρεῖται ἡ πρὸς ἀλλήλους χρεία τῶν ἀνθρώπων. καὶ τἄλλα δὲ ὅσα ἁρμόττει, ἐπιπολῆς ἰδεῖν ἐστιν. * Ἂν δ' ἐναντία ᾖ, καὶ μετὰ τῶν ἀμφισβητούντων, πρῶτον μὲν,

quales enim ii fuerint, qui tabulas ſcripſerint, aut aſſervarint, talem etiam fidem habebunt ipſæ tabulæ. * Cum au- 271
tem certum eſt, tabulas eſſe confectas; ſi pro ſe faciunt, debet eas orator augere, dicens, eas propriæ, ac privatæ legis vim habere. Et tabulæ quidem ratam legem non faciunt; leges autem eas tabulas, quæ legitimæ ſunt, corroborant. Et omninò lex pactum quoddam, & conventum eſt; itaque, ſi quis pacti, & conventi tabulas aufert, leges etiam ipſas tollit. Præterea major pars eorum, quæ homines inter ſe contrahunt, & ſponte faciunt tabulis continetur. Itaque, ſi quis eas irritas faciat, omne commercium hominum inter ſe tolletur. Et alia, quæ huic diſputationi conveniunt ſatis patent, in promptuque ſunt. * Quòd ſi 272
tabulæ nobis contrariæ fuerint, & pro adverſariis faciant; primò,

quæ ſuprà diximus de contraria lege, convenient ad hanc rationem omnia: nam perabſurdum eſſet, cum malè poſitis legibus, quibus nos legiſlatores decipiunt, parendum eſſe non putemus, ſi tabulis parere neceſſarium eſſe dicamus. Deinde judicem ipſum eſſe juſtitiæ diſpenſatorem certum eſt: non igitur tabulas ſpectare, ſed id, quod juſtius debet. Et juſtum quidem nemo detorquere poteſt neque fraude, neque neceſſitate ulla; quia natura tale eſt., tabulæ verò & deceptis, & coactis hominibus ſæpè fiunt. Ad hæc ſpectare oportet, an alicui legi vel earum, quæ ſcriptæ ſunt, vel quæ communes, an rebus juſtis, & honeſtis tabulæ contrariæ ſint. Videndum etiam eſt, an tabulæ, quæ proferuntur, aliis tabulis vel poſterioribus, vel prioribus contrariæ ſint: vel enim poſteriores erunt ratæ, vel priores irritæ, vel, ſi priores rectæ ſint, in poſterioribus erit fraus:

ἄπερ ἄν τις πρὸς νόμον ἐναντίον μαχήσαιτο, ταῦθ' ἁρμόττει· ἄτοπον γάρ, εἰ τοῖς μὲν νόμοις ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν, ἀλλ' ἐξαπατῶσιν οἱ τιθέμενοι, οὐκ οἰόμεθα δεῖν πείθεσθαι· ταῖς δὲ συνθήκαις, ἀναγκαῖον. ἔπειτα ὅτι τοῦ δικαίου βραβευτής ἐστιν ὁ δικαστής· οὔκουν τοῦτο σκεπτέον, ἀλλ' ὡς δικαιότερον. καὶ τὸ μὲν δίκαιον, οὐκ ἔστι μεταστρέψαι, οὔτ' ἀπάτῃ, οὔτ' ἀνάγκῃ· πεφυκὸς γάρ ἐστι. συνθῆκαι δὲ γίγνονται καὶ ἐξαπατηθέντων, καὶ ἀναγκασθέντων. πρὸς δὲ τούτοις σκοπεῖν, εἰ ἐναντία τινί ἐστιν, ἢ τῶν γεγραμμένων νόμων, ἢ τῶν κοινῶν, καὶ τοῖς δικαίοις ἢ καλοῖς. ἔπειτε, εἰ ἄλλαις συνθήκαις ὑστέραις, ἢ προτέραις· ἢ γὰρ αἱ ὕστεραι κύριαι, ἄκυροι δ' αἱ πρότεραι· ἢ αἱ πρότεραι ὀρθαί, αἱ δ' ὕστεραι ἠπατήκασιν,

ἐπο-

ὁποτέρως ἂν ᾖ χρήσιμον. ἔτι δὲ, τὸ συμφέρον ὁρᾶν, εἴ πῃ ἐναντιοῦται τοῖς κριταῖς, καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ γὰρ ταῦτα εὐθεώρητα ὁμοίως.

ε΄. * ΑΙ δὲ βάσανοι, μαρτυρίαι τινές εἰσιν· ἔχειν δὲ δοκοῦσι τὸ πιστὸν, ὅτι ἀνάγκη τις πρόσεστιν. οὔκουν χαλεπὸν οὐδὲ περὶ τούτων ἰδεῖν, καὶ τὰ ἐνδεχόμενα εἰπεῖν. ἐξ ὧν ἄν τε ὑπάρχωσιν οἰκεῖαι, αὔξειν ἐστὶν, ὅτι ἀληθεῖς μόναι τῶν μαρτυριῶν εἰσιν αὗται· ἐάν τε ὑπεναντίαι ὦσι, καὶ μετὰ τοῦ ἀμφισβητοῦντος, διαλύοι ἄν τις τἀληθῆ, λέγων καθόλου τοῦ γένους τῶν βασάνων· οὐδὲν γὰρ ἧττον ἀναγκαζόμενοι τὰ ψευδῆ λέγουσιν, ἢ τἀληθῆ· καὶ διακαρτεροῦντες μὴ λέγειν τἀληθῆ, καὶ ῥᾳδίως καταψευδόμενοι, ὡς παυσόμενοι θᾶττον·

id autem arripiemus, quod cauſæ noſtræ utile fuerit, conſideranda eſt etiam utilitas, & ſi qua in re tabulæ judicibus adverſentur, & cætera ejus generis, quæ facilè videri, atque intelligi poſſunt.

5 * Quæſtiones verò 273 teſtimonia quædam ſunt, quæ videntur ea de cauſa fidem facere, quia naceſſitas quædam eis ineſt. Itaque non difficile eſt earum vim intelligere, & quæ de ipſis dici poſſunt excogitare: nam, ſi pro nobis faciant, eas augere poterimus, ac dicere, ſolas ex omni genere teſtimoniorum eſſe veras. Quòd ſi nobis contrariæ fuerint & pro adverſario faciant; veritatem earum evertere licebit, de genere toto quæſtionum diſputando: quibus enim neceſſitas adhibetur, ii non minus falſa, quàm vera dicere ſolent: nam vel dolorem tolerantes, verum occultant, vel facilè mentiuntur, ut citiùs à cruciatu liberentur.

Ad

Ad hæc proderit exempla proferre, quæ aliàs acciderunt, & ipſis judicibus cognita ſunt. a [* Oportet autem dicere, quod veridicæ nequaquam ſunt quæſtiones, multi enim benè robuſti, & ſaxea propè pelle præditi, animo verò valdè confirmato intrepidè ſuſtinent tormenta; timidi verò, & imbecilles animo antequam ipſa ſupplicia aſpiciant deficiunt, de ſua ſalute deſperantes, quare nulla eſt in quæſtionibus fides.]

274

275 6 * Juris verò jurandi ratio quadripertita eſt, aut enim adverſario dat, & ipſe etiam capit jusjurandum, aut neutrum facit. At alterum facit, alterum nequaquam, vel enim jusjurandum dat, neque tamen capit, vel capit ipſe, neque tamen adverſario dat. Prætereà videndum eſt etiam, an jusjurandum jam conceptum fuerit, ſive ipſe juraverit, ſive ejus adverſarius,

δεῖ δὲ ἔχειν ἐπαναφέρειν ἐπὶ τοιαῦτα γεγενημένα, παραδείγματα, ἃ ἴσασιν οἱ κρίνοντες. a [* Δεῖ δὲ λέγειν, ὅτι οὐκ εἰσὶν ἀληθεῖς οἱ βάσανοι. πολλοὶ γὰρ στερροὶ, καὶ λιθόδερμοι, καὶ ταῖς ψυχαῖς ὄντες δυνατοὶ, γενναίως ἐγκαρτεροῦσι τῆς ἀνάγκαις. οἱ δὲ δειλοὶ, καὶ εὐλαβεῖς πρὸ τοῦ τὰς ἀνάγκας ἰδεῖν αὐτῶν καταθαρρῶσιν, ὥστε οὐδέν ἐστι πιστὸν ἐν βασάνοις.]

ϛ'. * Περὶ δὲ ὅρκων, τετραχῶς ἐστι διελεῖν. ἢ γὰρ δίδωσι καὶ λαμβάνει, ἢ οὐδέτερον· ἢ τὸ μὲν, τὸ δ' οὔ· καὶ τούτων, ἢ δίδωσι μὲν, οὐ λαμβάνει δέ· ἢ λαμβάνει μὲν, οὐ δίδωσι δέ. ἔτι ἄλλως παρὰ ταῦτα, εἰ ὀμώμοσαι οὗτος, ἢ ὑπ' αὐτοῦ, ἢ ὑπ' ἐκείνου.

*ΟΥ

a Contextus hic aditur, quoniam à nonnullis Ariſtotelis præclaris Interpretibus tanquam legitimus, & germanus cognoſcitur.

* ΟΥ' δίδωσι μὲν οὖν, ὅτι ῥᾳδίως ἐπιορκοῦσι. καὶ διότι, ὁ μὲν; ὀμόσας οὐκ ἀποδίδωσι· τοὺς δὲ, μὴ ὀμόσαντος οἴεται καταδικάζειν. καὶ ὡς οὗτος ὁ κίνδυνος κρείττων, ὁ ἐν τοῖς δικασταῖς· τοῖς μὲν γὰρ, πιστεύει, τῷ δ', οὔ. *ΟΥ' λαμβάνει δ', ὅτι ἀντὶ χρημάτων ὅρκος. καὶ ὅτι εἰ ἦν φαῦλος, κατωμόσατο ἄν· κρεῖττον γὰρ ἕνεκα τοῦ φαῦλον εἶναι, ἢ μηδενός. ὀμόσας μὲν γὰρ, ἕξει· μὴ ὀμόσας δ', οὔ. οὕτω δὲ δι' ἀρετὴν ἂν εἴη, ἀλλ' οὐ δι' ἐπιορκίαν τὸ μή. καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει, ὅτι οὐκ ἴση πρόκλησις αὕτη, ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία· καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι, ἢ πληγῆναι προκαλέσαιτο.

* Qui jusjurandum defer- 276
re non vult, is dicet, adverſarios facilè pejerare; ut, poſteaquam juraverint, nihil reddant; ſe verò confidere, fore, ut judices non juratos adverſarios condemnent, &, ſe malle juratorum judicum periculum facere, quod melius eſt; quia judicibus ipſis credat, adverſariis autem non credat. * Qui 277
non capit oblatum jusjurandum, dicet, ſe pecuniarum cauſa jurare nolle, quòd ſi improbus eſſet, facilè juraret, melius enim eſſe, alicujus utilitatis gratia, quàm nullius improbum eſſe; juratus enim pecuniam haberet, non juratus autem minimè haberet, ſic enim propter bonitatem, ac virtutem; non autem propter pejerandi timorem jurare nolle videbitur. Cui loco Xenophanis illud dictum benè congruit; non eſſe, æquam provocationem, impii adverſus pium hominem; ſed conſimilem eſſe, ac ſi quis robuſtus imbecillum, vel ad verberandum, vel ad vapulandum provocaret.

Quòd,

278 * Quòd ſi jusjurandum oblatum recipit; dicet, ſe ſibi ipſi credere, non autem adverſario, atque illud Xenophanis dictum ita convertet, ut dicat, parem eſſe provocationem, cum impius jusjurandum defert, pius autem jurat: præterea indignum eſſe nolle ſe jurare in ea re, de qua petit, ut jurati judices ſententiam ferant. * Si verò defert aliis jusjurandum; dicet pium eſſe deis ipſis rem totam committere, neque opus eſſe adverſario, ut alios judices roget; cum ipſi de tota re judicandi poteſtas detur, & rem abſurdam eum facere, qui jurare nolit in ea re, de qua poſtulat, ut jurati judicent. * Quia verò planum jam factum eſt, quid ſigillatim dicendum ſit; patet etiam, ſi copulare duos modos opus fuerit, quid ſit adferendum; ut, ſi ipſe quidem capere velit, non autem dare, aut, ſi dare quidem non abnuat, ſed minimè velit oblatum accipere;

* Εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὐτῷ, ἐκείνῳ δ' οὔ. καὶ τοῦ Ξενοφάνους μεταστρέψαντα, φατέον οὕτως, ἴσον εἶναι, ἐὰν μὲν ὁ ἀσεβὴς διδῷ, ὁ εὐσεβὴς δ' ὀμνύῃ· δεινόν τε τὸ μὴ θέλειν αὐτὸν, ὑπὲρ ὧν ἐκείνους ἀξιοῖ ὀμόσαντας δικάζειν. * Εἰ δὲ δίδωσιν, ὅτι εὐσεβὲς τὸ θέλειν τοῖς θεοῖς ἐπιτρέπειν. καὶ ὅτι οὐδὲν δεῖ αὐτὸν ἄλλων κριτῶν δεῖσθαι· αὐτῷ γὰρ δίδωσι κρίνειν. καὶ ὅτι ἄτοπον τὸ μὴ θέλειν ὀμνύναι, περὶ ὧν ἄλλους ἀξιοῖ ὀμνύναι. * Ἐπεὶ δὲ καθ' ἕκαστον δῆλον πῶς λεκτέον, καὶ συνδυαζόμενον πῶς λεκτέον, δῆλον. οἷον, εἰ αὐτὸς μὲν θέλει λαμβάνειν, διδόναι δὲ μή· καὶ εἰ δίδωσι μὲν, λαμβάνειν δὲ μὴ θέλει.

καὶ εἰ λαμβάνειν καὶ διδόναι ἐθέλει, εἴτε μηδέτερον· ἐκ γὰρ τῶν εἰρημένων ἀνάγκη συγκεῖσθαι· ὥστε καὶ τοὺς λόγους ἀνάγκη συγκεῖσθαι ἐκ τῶν εἰρημένων. * Ἐὰν δὲ ᾖ γεγενημένος ὑφ' αὐτοῦ καὶ ἐναντίος, ὅτι οὐκ ἐπιορκία· ἑκούσιον γὰρ τὸ ἀδικεῖν ἐστι· τὸ δὲ ἐπιορκεῖν, ἀδικεῖν ἐστι· τὰ δὲ βίᾳ καὶ ἀπάτῃ, ἀκούσια. ἐνταῦθα οὖν συνακτέον καὶ τὸ ἐπιορκεῖν, ὅτι ἐστὶ τὸ τῇ διανοίᾳ, ἀλλ' οὐ τῷ στόματι. ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὀμωμοσμένος, ὅτι πάντα ἀναιρεῖ ὁ μὴ ἐμμένων οἷς ὤμοσε· διὰ γὰρ τοῦτο καὶ τοῖς νόμοις χρῶνται ὀμόσαντες· καὶ ὑμᾶς μὲν ἀξιοῦμεν ἐμμένειν, οἷς ἂν ὀμόσαντες δικάζητε· αὐτοὶ δ' οὐκ ἐμμενοῦμεν.

aut ſi ſimul & dare, & accipere ſit paratus, aut neutrum facere velit; nam ex eis, quæ dicta ſunt, hæc copulantur; itaque rationes etiam ex eiiſdem copulari neceſſe eſt. * Quòd 281
ſi jam ab ipſo conceptum jusjurandum fuerit, quod huic præſenti contrarium ſit; dicet non eſſe perjurium, nam qui facit injuriam, ille ſponte facit; ſed pejerare eſt injuriam facere. Quæ verò fiunt vel vi, vel dolo, nequaquam ſponte fiunt. Huc igitur referre perjurium oportet, ac dicere, id in mente, non autem in lingua eſſe. Quòd ſi adverſarius aliàs juraverit, dicendum eſt, eum omnia ſubvertere, qui non ſtat eis, quæ juratus affirmavit; hac enim de cauſa ſecundum leges non niſi jurati judices ſententiam ferunt. Nos igitur, inquiet ille, poſtulamus, ut vos judices eis maneatis, quæ jurati judicaviſtis, & ipſi non manebimus.

Cæ-

καὶ ὅσα ἄλλα ἂν αὔξων τις εἴπειε. περὶ μὲν οὖν τῶν ἀτέχνων πίστεων, εἰρήσθω τοσαῦτα.

Cætera etiam hujus generis quærenda ſunt, quæ ad amplificandum pertineant. Ac de probationibus quidem artis expertibus, hæc dicta ſufficiens.

IN

ARISTOTELIS

LIBRUM SECUNDUM

RHETORICORUM

ARGUMENTUM.

VNIVERSUS *liber Secundus, qui de affectibus inſcribitur, duabus partibus abſolvitur, in prima, quæ uſque ad Caput* XVII. *protenditur agendum eſſe de affectibus probat: tria, quæ benevolentiam conciliant, aſſignat, affectuum definitionem tradit, tria in ſingulis conſideranda proponit, ea, quæ variè homines afficiunt, ſcilicèt iram, lenitatem, amorem, odium, metum, confidentiam, verecundiam, miſericordiam, indignationem, invidiam, æmulationem, contemptum, ſingillatim ſuis capitibus diſtinguit, & Juvenum, Senum, Mediæ ætatis Hominum, Nobilium, Divitum, Potentum, & Fortunatorum mores, quò commodius ex iis juxtà hominum genera eliciantur affectus, oſtendit.*

In

In Secunda parte aſſignat loca quędam communia, ex quibus argumenta, ſeù probationes tribus dicendi generibus accommodatæ diſſumi poſſint.

PROOEMIUM.

In oratione debere ineſſe affectus, proindeque agendum eſſe de affectibus, & moribus.

DIVISIO PROOEMII IN PARTES TRES.

1 *Satis conſtare ex primo libro, ex quibus locis propoſitiones in unoquoque dicendi genere eliciantur.*
2 *Oratoris eſſe non ſolùm probare, ſed etiam movere, ideoque neceſſariam eſſe affectuum, & morum cognitionem.*
3 *Tria eſſe, quæ Oratori in dicendo fidem conciliant, prudentiam, virtutem, & benevolentiam.*

Tex. 1 1 * HACTENUS ea ſunt à nobis demonſtrata, quæ ad ſuadendum, & diſſuadendum, vituperandum, & laudandum, accuſandum, & defendendum neceſſaria ſunt: nec non quæ opiniones, quæque propoſitiones eis rebus accommodatæ ſunt.

α. * ἘΚ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν, καὶ ψέγειν, καὶ ἐπαινεῖν, καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι, καὶ ποῖαι δόξαι καὶ προτάσεις χρήσιμοι πρὸς τὰς τούτων πίστεις, ταῦτ᾽ ἐστι·

περὶ

περὶ γὰρ τούτων καὶ ἐκ τούτων τὰ ἐνθυμήματα λέγεται, ὡς περὶ ἕκαστον εἰπεῖν ἰδίᾳ τὸ γένος τῶν λόγων.

β΄. * Ἐπεὶ δὲ ἕνεκα κρίσεώς ἐστιν ἡ ῥητορική· καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι, καὶ ἡ δίκη κρίσις ἐστίν· ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται καὶ πιστὸς, ἀλλὰ καὶ αὐτὸν ποιόν τινα καὶ τὸν κριτὴν κατασκευάζειν· πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα μὲν ἐν ταῖς συμβουλαῖς. εἶτα δὲ καὶ ἐν ταῖς δίκαις, τό, τε ποιόν τινα φαίνεσθαι τὸν λέγοντα, καὶ τὸ πρὸς αὐτοὺς ὑπολαμβάνειν ἔχειν πως αὐτόν· πρὸς δὲ τούτοις, ἐὰν καὶ αὐτοὶ διακείμενοί πως τυγχάνωσι· τὸ μὲν οὖν ποιόν τινα φαίνεσθαι τὸν λέγοντα, χρησιμώτερον εἰς τὰς συμβουλάς ἐστι· τὸ δὲ διακεῖσθαί πως τὸν ἀκροατὴν, εἰς τὰς δίκας·

ex eis enim ſumuntur, & ex eis fiunt argumenta, quibus in unoquoque dicendi genere utamur.

2 * Sed, quoniam Rhetorica finem ſibi proponit ipſum judicium; (nam etiam in delibetionibus judicant; & judiciale genus nihil aliud eſt, quàm judicium) neceſſarium eſt non tantùm ad ipſam orationem advertere, ut probandi vim habeat, & fidem facere poſſit; ſed etiam ſe ipſum afficere, & judicem, qualem eſſe oportet, præparare; permagni enim intereſt ad faciendam fidem primùm in deliberationibus, deinde etiam in judiciis, ut orator vir bonus eſſe videatur, atque erga eos, qui diſceptant, benè animatus. Præterea refert etiam, quomodo illi ipſi ſint affecti. Et oratorem quidem bonum videri, utilius eſt in deliberationibus; auditorem verò benè affectum eſſe multum in judiciis prodeſt, ne-

neque enim eadem ſentiunt, qui amant, & qui oderunt, qui ſunt irato animo, & qui placato, ſed vel omninò diverſi ſentiunt, vel ſaltem magnitudine diverſa: qui enim amat eum, de quo judicium facturus eſt, vel nihil iniquè feciſſe, vel parum peccaſſe cenſet: qui autem odit, contrarium ſentit. Quod ſi quis concupiſcit, & benè ſperat, cum jucundum eſt id, quod fore putatur, ſibi id eventurum, & bono futurum arbitratur. At Si nulla cupiditate trahitur, & ægrè fieri poſſe putat, contrarium exiſtimat.

3 * Quòd autem ora-
3 tores ipſi fide digni videantur, tria ſunt in cauſa, tot enim etiam ea ſunt, quibus ad credendum inducimur, præter argumenta. Illa verò ſunt prudentia, virtus, & benevolentia. Decipiuntur enim homines in iis, de quibus verba faciunt, aut conſultant, vel propter hæc tria omnia, vel propter horum aliquid; nam vel propter imprudentiam,

οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ' ὀργιζομένοις καὶ πράως ἔχουσιν· ἀλλ' ἢ τὸ παράπαν ἕτερα, ἢ κατὰ τὸ μέγεθος ἕτερα· τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν, ἢ μικρὰ δοκεῖ ἀδικεῖν· τῷ δὲ μισοῦντι, τοὐναντίον· καὶ τῷ μὲν ἐπιθυμοῦντι καὶ εὐέλπιδι ὄντι, ἐὰν ᾖ τὸ ἐσόμενον ἡδὺ, καὶ ἔσεσθαι, καὶ ἀγαθὸν ἔσεσθαι, φαίνεται· τῷ δ' ἀπαθεῖ καὶ δυσχεραίνοντι, τοὐναντίον.

γʹ. * Τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας, τρία ἐστὶ τὰ αἴτια. τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν, ἔξω τῶν ἀποδείξεων. ἔστι δὲ ταῦτα, φρόνησις καὶ ἀρετὴ, καὶ εὔνοια· διαψεύδονται γὰρ περὶ ὧν λέγουσιν, ἢ συμβουλεύουσιν, ἢ διὰ πάντα ταῦτα, ἢ διὰ τούτων τι· ἢ γὰρ δι' ἀφροσύνην

οὐκ

οὐκ ὀρθῶς τοῦτο δοξά-
ζουσιν· ἢ δοξάζοντες ὀρ-
θῶς, διὰ μοχθηρίαν
οὐ τὰ δοκοῦντα λέγου-
σιν· ἢ φρόνιμοι μὲν καὶ
ἐπιεικεῖς εἰσιν, ἀλλ' οὐκ
εὖνοι· διόπερ ἐνδέχεται
μὴ τὰ βέλτιστα συμ-
βουλεύειν γιγνώσκοντας.
καὶ παρὰ ταῦτα οὐδέν.
ἀνάγκη ἄρα τὸν ἅπαν-
τα δοκοῦντα ταῦτ' ἔ-
χειν εἶναι τοῖς ἀκροω-
μένοις πιστόν. ὅθεν μὲν
τοίνυν φρόνιμοι καὶ σπου-
δαῖοι φανεῖεν ἄν, ἐκ
τῶν περὶ τὰς ἀρετὰς
διῃρημένων ληπτέον·
ἐκ τῶν αὐτῶν γάρ, κἂν
ἕτερόν τις, κἂν ἑαυτὸν
κατασκευάσειε τοιοῦ-
τον. περὶ δὲ εὐνοίας καὶ
φιλίας, ἐν τοῖς περὶ
τὰ πάθη λεκτέον νῦν.

non rectè ſentiunt, vel ſi rectè ſentiant, propter improbitatem ſententiam ſuam non aperiunt, vel denique prudentes quidem, ac boni viri ſunt, ſed non tamen amici. Quò fit, ut aliqui ſcientes intelligenteſque non optima conſulant. Præter hæc autem nihil eſt. Neceſſe eſt igitur, ut is, qui hæc tria habere viſus fuerit, apud auditores fidem inveniat. Sed quomodo prudentes, & boni viri videantur, ex eis, quæ ſunt à nobis alibi de virtutibus explicata, ſumendum eſt; ex eiſdem enim locis poterit orator & alium ornare, & ſe ipſum talem oſtendere. De benevolentia verò, atque amicitia, nunc, cum de permotionibus animi verba facere aggrediamur, pariter dicamus.

neque enim eadem ſentiunt, qui amant, & qui oderunt, qui ſunt irato animo, & qui placato, ſed vel omninò diverſi ſentiunt, vel ſaltem magnitudine diverſa: qui enim amat eum, de quo judicium facturus eſt, vel nihil iniquè feciſſe, vel parum peccaſſe cenſet: qui autem odit, contrarium ſentit. Quod ſi quis concupiſcit, & benè ſperat, cum jucundum eſt id, quod fore putatur, ſibi id eventurum, & bono futurum arbitratur. At Si nulla cupiditate trahitur, & ægrè fieri poſſe putat, contrarium exiſtimat.

3 3 * Quòd autem oratores ipſi fide digni videantur, tria ſunt in cauſa, tot enim etiam ea ſunt, quibus ad credendum inducimur, præter argumenta. Illa verò ſunt prudentia, virtus, & benevolentia. Decipiuntur enim homines in iis, de quibus verba faciunt, aut conſultant, vel propter hæc tria omnia, vel propter horum aliquid; nam vel propter imprudentiam

οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ᾽ ὀργιζομένοις καὶ πράως ἔχουσιν· ἀλλ᾽ ἢ τὸ παράπαν ἕτερα, ἢ κατὰ τὸ μέγεθος ἕτερα· τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ ἀδικεῖν, ἢ μικρὰ δοκεῖ ἀδικεῖν· τῷ δὲ μισοῦντι, τοὐναντίον· καὶ τῷ μὲν ἐπιθυμοῦντι καὶ εὐέλπιδι ὄντι. ἐὰν ᾖ τὸ ἐσόμενον ἡδύ, καὶ ἔσεσθαι, καὶ ἀγαθὸν ἔσεσθαι, φαίνεται· τῷ δ᾽ ἀπαθεῖ καὶ δυσχεραίνοντι, τοὐναντίον.

γ´. * Τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας, τρία ἐστὶ τὰ αἴτια. τοσαῦτα γάρ ἐστι δι᾽ ἃ πιστεύομεν, ἔξω τῶν ἀποδείξεων. ἔστι δὲ ταῦτα, φρόνησις καὶ ἀρετή, καὶ εὔνοια· διαψεύδονται γὰρ περὶ ὧν λέγουσιν, ἢ συμβουλεύουσιν, ἢ διὰ πάντα ταῦτα, ἢ διὰ τούτων τι· ἢ γὰρ δι᾽ ἀφροσύνην

οὐκ ὀρθῶς τοῦτο δοξάζουσιν· ἢ δοξάζοντες ὀρθῶς, διὰ μοχθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν· ἢ φρόνιμοι μὲν καὶ ἐπιεικεῖς εἰσιν, ἀλλ' οὐκ εὖνοι· διόπερ ἐνδέχεται μὴ τὰ βέλτιστα συμβουλεύειν γιγνώσκοντας. καὶ παρὰ ταῦτα οὐδέν. ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' ἔχειν εἶναι τοῖς ἀκροωμένοις πιστόν. ὅθεν μὲν οὖν φρόνιμοι καὶ σπουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρημένων ληπτέον· ἐκ τῶν αὐτῶν γάρ, κἂν ἕτερόν τις, κἂν ἑαυτὸν κατασκευάσειε τοιοῦτον. περὶ δ' εὐνοίας καὶ φιλίας, ἐν τοῖς περὶ τὰ πάθη λεκτέον νῦν.

non rectè ſentiunt, vel ſi rectè ſentiant, propter improbitatem ſententiam ſuam non aperiunt, vel denique prudentes quidem, ac boni viri ſunt, ſed non tamen amici. Quò fit, ut aliqui ſcientes intelligenteſque non optima conſulant. Præter hæc autem nihil eſt. Neceſſe eſt igitur, ut is, qui hæc tria habere viſus fuerit, apud auditores fidem inveniat. Sed quomodo prudentes, & boni viri videantur, ex eis, quæ ſunt à nobis alibi de virtutibus explicata, ſumendum eſt; ex eiſdem enim locis poterit orator & alium ornare, & ſe ipſum talem oſtendere. De benevolentia verò, atque amicitia nunc, cum de permotionibus animi verba facere aggrediamur, pariter dicamus.

CAPUT I.

De Affectibus.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Definiuntur affectus ſcilicet per quos &c.*

2 *Tria in ſingulis affectibus conſideranda ſunt v. g. de ira. Primò quomodo affecti facilè iraſcantur. Secundò quibus iraſcantur. Tertiò quas ob res.*

4 1 * SUNT autem illæ permotiones, quę efficiunt, ut homines immutati, non eodem modo de iiſdem rebus ſentiant, quas ægritudo, voluptasque conſequitur. Cujus generis ſunt ira, miſericordia, metus, cæteraque hujuſmodi, & , quæ ſunt iis contraria.

5 2 * Sed quæ in ſingulis fiunt, tres in partes diſtribuere oportet, ut de ira, exempli gratia, quomodo affecti facilè iraſcantur, & quibus iraſci ſoleant, & quas ob res, nam ſi unum, aut alterum tantùm horum habeamus, & non omnia teneamus; nullo modo fieri poterit, ut animos audientium ad iram commoveamus,

α. * ἜΣΤΙ δὲ τὰ πάθη, δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη καὶ ἡδονή· οἷον, ὀργή, ἔλεος, φόβος, καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία.

β. * Δεῖ δὲ διαιρεῖν τὰ περὶ ἕκαστον εἰς τρία· λέγω δ', οἷον περὶ ὀργῆς, πῶς τε διακείμενοι ὀργίλοι εἰσὶ, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐπὶ ποίοις· εἰ γὰρ, τὸ μὲν ἓν, ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντα δὲ μὴ, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν,

ὁμοίως

ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ὥσπερ οὖν καὶ ἐπὶ τῶν προειρημένων διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ ἐπὶ τούτων ποιήσωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον.

idem etiam de reliquis permotionibus ſentiendum. Quemadmodnm igitur in rebus traditis; propoſitiones deſcripſimus ita etiam in his faciamus, & eodem modo ſingula diſtinguamus.

CAPUT II.

De Ira, ac de arte Iram excitandi.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Definitur ira, ſcilicet appetitus cum dolore &c.*
2 *Quas ob cauſas homines iraſcantur.*
3 *Quomodo affecti facilè iraſcantur.*
4 *Quibus hominibus iraſcantur.*

ά. * ΕΣΤΩ δὴ ἡ ὀργὴ, ὄρεξις μετὰ λύπης τιμωρίας φαινομένης, διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν, ἢ εἰς αὐτοῦ τινὰ μὴ προσηκόντως. εἰ δὴ τοῦτ' ἐστιν ἡ ὀργὴ, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ' ἕκαστόν τινι· οἷον, Κλέωνι, ἀλλ' οὐκ ἀνθρώπῳ· καὶ ὅτι αὐτὸν, ἢ τῶν αὐτοῦ τι πεποίηκεν,

1 * SIT igitur ira, libido cum dolore ſperatæ punitionis propter apparentem negligentiam vel in ſe, vel in ſuorum quempiam, contra id, quod oportebat. Quòd, ſi ira eſt hujuſcemodi, neceſſe eſt, eum, qui iraſcitur; ſingulis ſemper hominibus iraſci, ut Cleoni, non autem homini: & quia aut ipſum, aut quempiam ſuorum vel contempſit, 6

vel id facere cogitavit.

7 * Quin etiam omni iræ voluptatem quandam comitari neceſſe eſt, quæ à puniendi ſpe proficiſcitur, jucundum eſt enim arbitrari ſe conſecuturum ea, quæ quis vehementer optat, nemo autem illa concupiſcit, quę nullo modo ſe conſequi poſſe arbitratur: ſed qui alicui iratus eſt, ea cupit, quæ à ſe fieri poſſunt: itaque de ira benè illud dictum eſt:

Dulcior effuſo quæ melle in pectore gliſcit.

nam, cùm propter hoc voluptas quædam conſequitur, tùm etiam quia tota mente, quomodo poſſint inimicum ulciſci, cogitant: illa igitur vehemens cogitatio voluptatem parit non aliter, atque inſomnis accidit.

2 * Et, quoniam negligentia eſt opinionis actio in ea re, quæ nullius eſſe momenti videatur; mala enim, & bona ſtudio digna eſſe putamus, & ea præterea, quæ ad hæc referuntur:

ἢ ἔμελλε. * Καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι· ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται· οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται αὐτῷ, ὁ δ' ὀργιζόμενος ἐφίεται αὐτῷ δυνατῶν· διὸ καλῶς εἴρηται περὶ θυμοῦ,

Ὥστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο,
Ἀνδρῶν ἐν στήθεσιν ἀέξεται·

ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο, καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ. ἡ οὖν τότε ἐγγινομένη φαντασία, ἡδονὴν ποιεῖ, ὥσπερ ἡ τῶν ἐνυπνίων.

β'. * Ἐπεὶ δ' ἡ ὀλιγωρία ἐστὶν ἐνέργεια δόξης περὶ τὸ μηδενὸς ἄξιον φαινόμενον· καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς ταῦτα.

ὅσα

ὅσα δὲ μηδὲν, ἢ πάνυ μικρὰ οὐδενὸς ἄξια ὑπολαμβάνομεν. * Τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε καὶ ἐπηρεασμὸς καὶ ὕβρις. ὅ,τε γὰρ καταφρονῶν ὀλιγωρεῖ· ἃ γὰρ οἴονται μηδενὸς ἄξια εἶναι, τούτων καταφρονοῦσι· τῶν δὲ μηδενὸς ἀξίων, ὀλιγωροῦσι· καὶ ὁ ἐπηρεάζων, φαίνεται καταφρονεῖν· ἔστι γὰρ ὁ ἐπηρεασμὸς, ἐμποδισμὸς τῶν βουλήσεων, οὐχ ἵνα τι αὐτῷ, ἀλλ' ἵνα μὴ ἐκείνῳ. ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι, ὀλιγωρεῖ· δῆλον γὰρ, ὅτι οὔτε βλάψειν ὑπολαμβάνει· ἐφοβεῖτο γὰρ, καὶ οὐκ ὠλιγώρει· οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου· ἐφρόντισε γὰρ ἂν ὥστε φίλος εἶναι. καὶ ὁ ὑβρίζων δὲ, ὀλιγωρεῖ. ἔστι γὰρ ὕβρις, τὸ βλάπτειν καὶ λυπεῖν, ἐφ' οἷς αἰσχύνη ἐστὶ τῷ πάσχοντι,

quæ verò vel nihil ſunt, vel valdè exigua, nullo in pretio habemus : * Tria ſunt negligentiæ 9 genera; contemptio, violentia, contumelia. Nam & qui contemnit, is negligit: quæ enim nullius momenti eſſe cenſent, ea contemnunt, atque eadem, quæ nullius ſunt momenti, negligunt: &, qui violentus eſt negligere videtur. Eſt autem violentia ſtudium impediendi voluntates alienas: non, ut ipſe aliquid acquirat, ſed ne alii, quod volunt, aſſequantur. Quatenus igitur nihil ſibi acquirit, negligit: perſpicuum eſt enim eum credere ſibi nihil illud nocere poſſe; nam timeret, non autem negligeret: neque in aliqua re alicujus ponderis prodeſſe poſſe: nam ſtudium adhiberet, ut illi amicus eſſet. Et qui contumeliam infert, negligit. Eſt autem contumelia, cùm quis lædit, ac dolore afficit aliquem in ea re, unde illi, qui patitur, ignominia naſcitur:

non, ut qui contumeliam infert, aliquid plus habeat, quàm ante haberet; ſed tantùm, ut voluptatem capiat: nam qui talionem reddunt, non contumeliam inferunt, ſed ulciſcuntur. Cauſa voluptatis eorum, qui contumelioſi ſunt, ea eſt, quòd exiſtimant iis, quibus malè fecerint, ea ratione ſe magis præſtare: quo fit, ut juvenes, & divites contumelioſi ſint; quoniam in contumelia inferenda ſe antecellere cæteris exiſtimant. Ex contumelia verò naſcitur ignominia, & qui ignominia quempiam afficit, illum negligit. Quod autem nullius pretii eſt, id nullam habet æſtimationem neque boni, neque mali. Quamobrem iratus Achilles ita inquit:

Affecit me ignominia;
quoniam abſtulit ipſum
Quod Danai dederant
munus mihi.

& alibi:

Me, tanquam infamem,
tempſit, profugumque
rebellem.

μὴ ἵνα τι γένηται αὐτῷ ἄλλο, ἢ ὅ,τι ἐγένετο, ἀλλ᾽ ὅπως ἡσθῇ· οἱ γὰρ ἀντιποιοῦντες, οὐχ ὑβρίζουσιν, ἀλλὰ τιμωροῦνται. αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. διὸ καὶ οἱ νέοι καὶ οἱ πλούσιοι, ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες. ὕβρεως γὰρ δὲ ἀτιμία· ὁ δ᾽ ἀτιμάζων, ὀλιγωρεῖ. τὸ γὰρ μηδενὸς ἄξιον, οὐδεμίαν ἔχει τιμὴν, οὔτε κακοῦ, οὔτε ἀγαθοῦ· διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεὺς,

Ἠτίμησεν· ἑλὼν γὰρ
ἔχει γέρας αὐτὸς
ἀπούρας. καὶ,
— ὡσεί τιν᾽ ἀτίμητον
μετανάστην.

ὡς

ὡς διὰ ταῦτα ὀργιζόμενος. * Προσήκειν δ' οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετὴν, καὶ ὅλως ἐν ᾧ ἂν ταὐτῷ ὑπερέχῃ πολύ· οἷον, ἐν χρήμασιν ὁ πλούσιος, πένητος· καὶ ἐν τῷ λέγειν ῥητορικὸς, ἀδυνάτου εἰπεῖν· καὶ ἄρχων, ἀρχομένου· καὶ ἄρχειν ἄξιος οἰόμενος, τοῦ ἄρχεσθαι ἀξίου· διὸ εἴρηται,

Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων·
καὶ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσει.

ἀγανακτοῦσι γὰρ διὰ τὴν ὑπεροχήν. ἔτι, ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν· οὗτοι δέ εἰσιν, οὓς εὖ πεποίηκεν, ἢ ποιεῖ, ἢ αὐτὸς, ἢ τῶν αὐτοῦ τις, ἢ δι' αὐτοῦ, ἢ βούλεται, ἢ ἐβουλήθη.

cum propter hæc indignaretur: * Dignum autem 10
cenſent, ſe ab illis obſervari, qui genere, opibus, virtute ſunt inferiores: & denique in quacunque re quiſpiam plurimum excellit, in ea vult obſervari, ut dives in pecuniis à paupere, diſertus in dicendi facultate ab indiſerto, & infante: & qui imperat, ab eo, qui ſubjectus eſt imperio, & qui imperare dignus eſt, ab eo, qui parere debet, unde dictum eſt:

Ab Jove natorum certè ira eſt maxima regum.

& alibi:

Quinetiam deinceps iram ſub pectore ſervat.

indignantur enim propter excellentiam ſuam. Ab illis etiam obſervari vult, à quibus aliquis exiſtimat, ſe beneficiis affici oportere. Ii verò ſunt, de quibus aliàs benemeritus eſt, vel quibus in præſentia benefacit aut ipſe, aut propinquus ejus aliquis, aut alius quiſpiam ipſius gratia: vel etiam ſi velit, aut aliàs voluerit conſequi.

11 3 * Ex his jam perſpicuum eſſe poteſt, quomodo affecti homines iraſcantur, & quibus, & quas ob res. Iraſcuntur enim cum animo dolent: nam qui dolet animo ſemper alicujus rei deſiderio tenetur. Itaque, ſive quis ei directò reſtiterit, ut ſitienti, ne bibat, ſive non directò; tamen idem facere videtur: &, ſi quis illi adversè; & ſi, cum poſſit, non adjuvet, ſive quocunque alio modo ſic animo affectum perturbarit: omnibus enim iraſcitur. Quare, qui morbo laborant, qui paupertate premuntur, qui amant, qui ſitiunt, & denique qui aliquid deſiderant, & id aſſequi non poſſunt, iracundi ſunt, & nullo negotio concitantur, præcipuè verò illis iraſcuntur, qui eos in præſenti ſtatu negligunt, ut ægrotans ei, qui morbum ſuum negligit: pauper ei, qui paupertatem: miles ei, qui bellum: amans ei, qui amorem:

γ΄. * Φανερὸν οὖν ἐκ τούτων ἤδη, πῶς τ' ἔχοντες ὀργίζονται αὐτοί, καὶ τίσι, καὶ διὰ ποῖα· αὐτοὶ μὲν γάρ, ὅταν λυπῶνται· ἐφίεται γάρ τινος ὁ λυπούμενος. ἐάν τε κατ' εὐθυωρίαν οὖν ἀντικρούῃ τις· οἷον, τῷ διψῶντι πρὸς τὸ πιεῖν· ἐάν τε μή, ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν· καὶ ἄν τε ἀντιπράττῃ τις, ἄν τε μὴ συμπράττῃ, ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, τοῖς πᾶσιν ὀργίζεται. διὸ κάμνοντες, πενόμενοι, ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντες, καὶ μὴ κατορθοῦντες, ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι· μάλιστα μέν, πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας· οἷον, κάμνων μέν, τοῖς πρὸς τὴν νόσον. πενόμενος δέ, τοῖς πρὸς τὴν πενίαν. πολεμῶν δέ, τοῖς πρὸς τὸν πόλεμον· ἐρῶν δέ, τοῖς πρὸς τὸν ἔρωτα·

ὁμοίως

ὁμοίως δὲ καὶ τοῖς ἄλλοις· προοδοποιεῖται γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους. ἔτι δὲ, ἐὰν τἀναντία τύχῃ προσδεχόμενος· λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται. διὸ καὶ ὧραι, καὶ χρόνοι, καὶ διαθέσεις, καὶ ἡλικίαι, ἐκ τούτων φανεραὶ, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν, καὶ πότε, καὶ ποῦ. καὶ ὅτι ὅτε μᾶλλον ἐν τούτοις εἰσὶ, μᾶλλον καὶ εὐκίνητοι. αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες, εὐκίνητοι πρὸς ὀργήν.

δʹ. * Ὀργίζονται δὲ τοῖς τε καταγελῶσι, καὶ χλευάζουσι, καὶ σκώπτουσιν· ὑβρίζουσι γάρ. καὶ τοῖς τὰ τοιαῦτα βλάπτουσιν, ὅσα ὕβρεως σημεῖα.

atque eodem modo in reliquis: ducitur enim unusquisque ab animi perturbatione, in qua priùs erat, ad iram, quæ in ſingulis rebus excitatur. Ad hæc iraſcitur, ſi contrà accidit, quàm expectabat: majorem enim dolorem adfert magnum, & inſperatum incommodum, quemadmodum etiam magnum, & inſperatum bonum magis delectat, cum ex animi ſententia ſuccedit. Itaque ex his intelligi poteſt, quæ horæ, quæ tempora, quæ affectiones, quæ ætates facilè ad iram commoveant; & quando, quoque in loco magis concitentur. Illud etiam planum eſt, omnes magis ad iram pronos eſſe, cum magis his rebus tenentur. Atque hactenus quomodo affecti homines proni ſint ad iram, dictum ſit. * Eis autem 12
iraſcuntur, qui vel derident, vel ludibrio habent, vel dictis laceſſunt; nam hæc facere, contumelia eſt, & iis, qui lædunt in rebus, quæ ſpeciem habent contumeliæ.

Neceſſe eſt autem, ut talia ſint ea, quæ faciunt, neque ut talionem reddant, neque ut aliquam utilitatem habeant; jam enim per contumeliam facere videntur; & iis, qui ipſos vituperant, & contemnunt in eis rebus, quibus ipſi maximè ſtudent: ut, ſi quis in philoſophia maledixerit eis, & ſpreverit, qui ſe multùm in ea profeciſſe gloriantur: & qui formæ ſtudent, ſi quis eos in ea re vituperet, atque ita in reliquis: & multò magis iraſcuntur, quando ſuſpicantur ea ſibi non adeſſe, quibus ſtudent: vel omninò ſe expertes eſſe, vel non firmiter tenere; vel etiam ſi teneant, non exiſtimari, nam, cum exiſtimant ea ſibi firmiter adeſſe, nihil curant eos, qui ſe in ea parte vituperant. Et magis amicis iraſcuntur, quàm iis, qui ſunt inimici, putant enim convenire magis ab eis ſe benè tractari, quàm contra. Illis etiam iraſcuntur, qui vel ipſos honorare,

ἀνάγκη δὲ τοιαῦτα εἶναι, ἃ μήτε ἀντί τινος, μήτ' ὠφέλιμα τοῖς ποιοῦσιν· ἤδη γὰρ δοκεῖ δι' ὕβριν, καὶ τοῖς κακῶς λέγουσι, καὶ καταφρονοῦσι, περὶ ἃ αὐτοὶ μάλιστα σπουδάζουσιν· οἷον, οἱ ἐπὶ φιλοσοφίᾳ φιλοτιμούμενοι, ἐάν τις εἰς τὴν φιλοσοφίαν· οἱ δ' ἐπὶ τῇ ἰδέᾳ, ἐάν τις εἰς τὴν ἰδέαν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύωσι μὴ ὑπάρχειν αὐτοῖς, ἢ ὅλως, ἢ μὴ ἰσχυρῶς, ἢ μὴ δοκεῖν. ἐπειδὰν δὲ σφόδρα οἴονται ὑπάρχειν ἐν τούτοις, ἐν οἷς σκώπτονται, οὐ φροντίζουσι. καὶ τοῖς φίλοις μᾶλλον, ἢ τοῖς μὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον ὑπ' αὐτῶν εὖ πάσχειν, ἢ μή. καὶ τοῖς εἰθισμένοις τιμᾶν,

ἢ

ἢ φροντίζειν, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσι· καὶ γὰρ ὑπὸ τούτων οἴονται καταφρονεῖσθαι· ταὐτὰ γὰρ ἂν ποιεῖν. καὶ τοῖς μὴ ἀντιποιοῦσιν εὖ, μηδὲ τὴν ἴσην ἀνταποδιδοῦσι. καὶ τοῖς τἀναντία ποιοῦσιν αὐτοῖς, ἐὰν ἥττους ὦσι· καταφρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται· καὶ οἱ μὲν, ὡς ἡττόνων· οἱ δ᾽, ὡς παρ᾽ ἡττόνων. καὶ τοῖς ἐν μηδενὶ λόγῳ οὖσιν, ἄν τι ὀλιγωρῶσι μᾶλλον· ὑπόκειται γὰρ ἡ ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας· προσήκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν. τοῖς δὲ φίλοις, ἐάν τε μὴ εὖ λέγωσιν, ἢ ποιῶσι· καὶ ἔτι μᾶλλον, ἐὰν τἀναντία, καὶ ἐὰν μὴ αἰσθάνωνται δεομένων. ὥσπερ ὁ Ἀντιφῶντος Πλήξιππος τῷ Μελεάγρῳ.

vel de ipſis curam ſuſcipere conſueverant, ſi poſtea, non idem efficiunt; nam ab eis ſe tunc contemni putant: niſi enim hoc eſſet, idem eos eſſe facturos: & iis, qui accepta beneficia non reddunt, aut non æqualem gratiam referunt: & iis, qui conatibus ſuis reſiſtunt, ſi inferiores fuerint: omnes enim iſti contemnere videntur: & hi quidem, tanquam ſe inferiores, negligunt: illi verò, tanquam ab inferioribus beneficia acceperint. Et iis, qui in nulla ſunt exiſtimatione, ſi negligere videantur, magis iraſcuntur: diximus enim iram eſſe propter negligentiam adverſus eos, quos non convenit, convenit autem inferioribus non negligere præſtantiores. Et amicis iraſcuntur, niſi vel benè dixerint, vel benè fecerint, & multò magis, ſi contraria fecerint, & ſi non adverterint, quibus rebus indigeant, ſicut apud Antiphontem, Plexippus Meleagro iraſcitur;

hoc enim negligentiæ ſignum eſt, non advertere: nam quæ curamus, ea nos latere non ſolent. Et iis, qui infortuniis, quæ ipſis accidunt, lætantur, & omninò, qui in adverſa ipſorum fortuna ſecuro ſunt animo: hoc enim vel inimici, vel negligentis indicium eſt: & iis, qui non curant, etiam ſi dolorem adferunt. Unde etiam mala nunciantibus iraſcuntur, & æquo animo audientibus ea, quæ exiſtimationem ipſorum lædunt, æquoque animo res malas intuentibus: nam, qui hoc faciunt, vel negligentibus, vel inimicis ſimiles ſunt, amici enim anguntur, nec quiſquam eſt, cum propria mala videt, quin doleat. Præterea illis iraſcuntur, qui ſe negligunt apud quinque hominum genera: apud eos, quibuscum de honore contendunt, apud eos, quos admirantur: apud eos, quibus eſſe admirationi ſtudent: apud eos, quos verecundantur: denique apud eos, quibus ipſi ſunt venerationi,

ὀλιγωρίας γὰρ τὸ μὴ αἰσθάνεσθαι σημεῖον· ὧν γὰρ φροντίζομεν, οὐ λανθάνει. καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις· καὶ ὅλως ἀθυμοῦσιν ἐν ταῖς ἑαυτῶν ἀτυχίαις. ἢ γὰρ ἐχθροῦ, ἢ ὀλιγωροῦντος σημεῖον. καὶ τοῖς μὴ φροντίζουσιν, ἐὰν λυπήσωσι· διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται, καὶ τοῖς ἢ ἀκούουσι περὶ αὐτῶν, ἢ θεωμένοις τὰ αὐτῶν φαῦλα· ὅμοιοι γάρ εἰσιν ἢ ὀλιγωροῦσιν, ἢ ἐχθροῖς· οἱ γὰρ φίλοι, συναλγοῦσι· θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες, ἀλγοῦσιν, ἔτι τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς φιλοτιμοῦνται, πρὸς οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται θαυμάζεσθαι, πρὸς οὓς αἰσχύνονται, ἢ ἐν τοῖς αἰσχυνομένοις αὐτούς.

ἐν

ἐν τούτοις ἐάν τις ὀλιγωρῇ, ὀργίζονται μᾶλλον. καὶ τοῖς εἰς τὰ τοιαῦτα ὀλιγωροῦσιν, ὑπὲρ ὧν αὐτοῖς αἰσχρὸν μὴ βοηθεῖν· οἷον γονεῖς, τέκνα, γυναῖκας, ἀρχομένους, καὶ τοῖς χάριν μὴ ἀποδιδοῦσι· παρὰ τὸ προσῆκον γὰρ ἡ ὀλιγωρία. καὶ τοῖς εἰρωνευομένοις, πρὸς σπουδάζοντας· καταφρονητικὸν γὰρ ἡ εἰρωνεία. καὶ τοῖς τῶν ἄλλων εὖ ποιητικοῖς, ἂν μὴ καὶ αὐτῶν. καὶ γὰρ τοῦτο καταφρονητικόν, τὸ μὴ ἀξιοῦν ὧν πάντας καὶ αὐτόν. ποιητικὸν δ' ὀργῆς καὶ ἡ λήθη, οἷον καὶ τῶν ὀνομάτων ὄντα παρὰ μικρόν. ὀλιγωρίας γὰρ δοκεῖ καὶ ἡ λήθη σημεῖον εἶναι· δι' ἀμέλειαν μὲν γὰρ ἡ λήθη γίγνεται· ἡ δ' ἀμέλεια ὀλιγωρία ἐστίν. οἷς μὲν οὖν ὀργίζονται, καὶ ὡς ἔχοντες, καὶ διὰ ποῖα, ἅμα εἴρηται.

apud hæc hominum genera ſi quis ipſos neglexerit, maximè iraſcuntur, & iis, qui negligunt ea, quibus opem non ferre turpe eſſet: ut parentes, filios, uxores, imperio ſubditos: &, qui beneficiorum acceptorum gratiam non deferunt; eſt enim hæc negligentia præter id, quod convenit, & iis, qui diſſimulatione utuntur, cum ipſi ſerio agant, ſignum enim contemptionis eſt diſſimulatio. Et iis, qui ſunt in alios benefici, ac liberales, niſi etiam ipſis benefaciant: contemptionis enim ſignum eſt non iiſdem rebus aliquem dignum judicare, quibus omnes alios judicant. Oblivio quoque iram commovet; ut ſi quis nomen alicujus penè oblitus fuerit, nam etiam oblivio negligentiæ ſignum eſſe videtur, ſiquidem ab incuria naſcitur oblivio,: incuria verò negligentia eſt. Quibus igitur hominibus iraſcantur, & quomodo affecti, & quas ob res ſimul explicatum eſt.

Planum autem eſt, oratorem oportere judices oratione ſua tales efficere, quales ii ſunt, qui in iram proclives ſunt, atque adverſarios eis culpis affines eſſe oſtendere, quæ juſtam iram commovent, & tales eſſe, quibus iraſci meritò debeant.

δῆλον δ' ὡς δέοι ἂν αὐτὸν κατασκευάζειν τῷ λόγῳ τοιούτοις οἷοι ὄντες ὀργίλως ἔχουσι, καὶ τοὺς ἐναντίους τούτοις ἐνόχους ὄντας, ἐφ' οἷς ὀργίζονται, καὶ τοιούτους οἵοις ὀργίζονται.

CAPUT III.

De lenitate, ac de arte placandi iram.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Definitur lenitas, ſcilicet ſedatio, &c.*
2 *Quibus hominibus lenes ſint.*
3 *Quomodo affecti facilè lenes ſint.*
4 *Quibus de cauſis lenes ſint.*

13 1 * QUONIAM autem iraſci, & leniri contraria ſunt, & ira lenitati; videndum eſt, quomodo affecti homines lenes ſint, & erga quos ſe leniter gerant, & quibus de cauſis
14 leniantur. * Eſt autem lenitudo, ſedatio animi, atque ab ira ceſſatio.

ά.* ΕΠΕΙ' δὲ τὸ ὀργίζεσθαι ἐναντίον τῷ πραΰνεσθαι, καὶ ὀργὴ πραότητι, ληπτέον πῶς ἔχοντες πρᾶοί εἰσι, καὶ πρὸς τίνας πράως ἔχουσι, καὶ διὰ τίνων πραΰνονται. * Ἔστω δὴ πράϋνσις, κατάστασις καὶ ἠρέμησις ὀργῆς.

15 2 Cum igitur homines iraſcantur negligentibus, negligentia verò voluntaria ſit,

β΄.* ΕΙ' οὖν ὀργίζονται τοῖς ὀλιγωροῦσιν, ὀλιγωρία δέ ἐστιν ἑκούσιον,

φανε-

φανερὸν ὅτι καὶ τοῖς μηδὲν τούτων ποιοῦσιν, ἢ ἀκουσίως ποιοῦσιν, ἢ φαινομένοις τοιούτοις, πρᾶοί εἰσι. * Καὶ τοῖς τἀναντία ὧν ἐποίησαν βουλομένοις. καὶ ὅσοι καὶ αὐτοὶ εἰς αὑτοὺς τοιοῦτοι· οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ δοκεῖ ὀλιγωρεῖν. καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις· ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις, παύονται τῆς ὀργῆς· σημεῖον δὲ ἐπὶ τῆς τῶν οἰκετῶν κολάσεως· τοὺς μὲν γὰρ ἀρνουμένους καὶ ἀντιλέγοντας μᾶλλον κολάζομεν· πρὸς δὲ τοὺς ὁμολογοῦντας δικαίως κολάζεσθαι, παυόμεθα θυμούμενοι· αἴτιον δ', ὅτι ἀναισχυντία τὸ τὰ φανερὰ ἀρνεῖσθαι· ἡ δ' ἀναισχυντία, ὀλιγωρία καὶ καταφρόνησις. ὧν γοῦν πολὺ καταφρονοῦμεν, οὐκ αἰσχυνόμεθα. καὶ τοῖς ταπεινουμένοις πρὸς αὐτοὺς

perſpicuum eſt, eſſe lenes adverſus eos, qui aut nihil horum faciunt, aut invicti faciunt, aut ſaltem facere videntur. * Et 16
erga illos, qui aliquid fecerunt contra quàm voluerant: & adverſus eos, qui in ſe ipſos eadem committunt. Nemo enim videtur ſeipſum negligere: & adverſus eos, qui fatentur quidem, ſed feciſſe pœnitet; ceſſant enim ab ira non aliter, ac ſi illi, quos pœnitet ejus rei, qua dolent, pœnas jam dederint, hoc autem ex punitione ſervorum intelligi poteſt, nam eos, qui pernegant, & contradicunt, attrociùs punimus, in eos verò, qui fatentur, ſe juſtè puniri, mitiores ſumus, & ab ira ceſſamus. Id autem in cauſa eſt, quòd aperta negare impudentia eſt, & impudentia eſt negligentia, & contemptio quædam; quos enim valdè contemnimus, eos non veremur. In eos etiam lenes ſumus, qui ſe humiliter, demiſsèque gerunt;

neque contradicunt, videntur enim, ſe inferiores confiteri: & qui ſunt inferiores, timent: nemo autem timentibus iraſcitur. Quòd autem ira ſtatim ceſſet in eos, qui ſe humiliter, & demiſsè gerunt, declarant etiam canes, qui poſtratos non mordent. Iis etiam lenes ſumus, qui ſeriò nobiſcum agunt, cum nos etiam ipſi ſerio agimus. Videntur enim noſtri eſſe ſtudioſi, non autem nos contemnere, & iis, qui pluribus in rebus, quàm petieramus nobis gratificantur, & iis, qui rogant, & deprecantur, nam humiliores, demiſſioreſque ſunt, & iis, qui neque contumelioſi ſunt, neque deriſores, neque contemptores, aut ullius hominis, aut bonorum, aut eorum, qui nobis ſimiles ſunt. Et omninò ex contrariis rebus ſcrutari oportet, quæ lenire animum poſſint. Iis etiam lenes ſunt, quos timent, & quos verentur, nam, donec ita affecti ſunt, illis iraſci non ſolent:

καὶ μὴ ἀντιλέγουσι· φαίνονται γὰρ ὁμολογεῖν ἥττους εἶναι. οἱ δ' ἥττους, φοβοῦνται· φοβούμενος δ' οὐδεὶς ὀλιγωρεῖ. ὅτι δὲ πρὸς τοὺς ταπεινουμένους παύεται ἡ ὀργή, καὶ οἱ κύνες δηλοῦσιν, οὐ δάκνοντες τοὺς καθίζοντας. καὶ τοῖς σπουδάζουσι πρὸς τοὺς σπουδάζοντας· δοκεῖ γὰρ σπουδάζεσθαι, ἀλλ' οὐ καταφρονεῖσθαι, καὶ τοῖς μείζω κεχαρισμένοις. καὶ τοῖς δεομένοις, καὶ παραιτουμένοις· ταπεινότεροι γάρ. καὶ τοῖς μὴ ὑβρισταῖς, μὴ δὲ χλευασταῖς, μὴ δ' ὀλιγώροις, ἢ εἰς μηδένα, ἢ μὴ εἰς χρηστοὺς, ἢ μὴ εἰς τοιούτους οἷοίπερ αὐτοί. ὅλως δ', ἐκ τῶν ἐναντίων δεῖ σκοπεῖν τὰ πραϋντικά. καὶ οὓς φοβοῦνται καὶ αἰσχύνονται· ἕως γὰρ ἂν οὕτως ἔχωσιν, οὐκ ὀργίζονται·

ἀδύ-

ἀδύνατον γὰρ ἅμα φοβεῖσθαι καὶ ὀργίζεσθαι. καὶ τοῖς δι' ὀργὴν ποιήσασιν, ἢ οὐκ ὀργίζονται, ἢ ἧττον ὀργίζονται. οὐ γὰρ δι' ὀλιγωρίαν φαίνονται πρᾶξαι· οὐδεὶς γὰρ ὀργιζόμενος ὀλιγωρεῖ· ἡ μὲν γὰρ ὀλιγωρία, ἄλυπον· ἡ δ' ὀργή, μετὰ λύπης. καὶ τοῖς αἰσχυνομένοις αὐτούς.

γ΄. * Καὶ ἔχοντες δὲ ἐναντίως τῷ ὀργίζεσθαι, δῆλον ὅτι πρᾶοί εἰσιν· οἷον, ἐν παιδιᾷ, ἐν γέλωτι, ἐν ἑορτῇ, ἐν εὐημερίᾳ, ἐν κατορθώσει, ἐν πληρώσει· ὅλως ἐν ἀλυπίᾳ καὶ ἡδονῇ μὴ ὑβριστικῇ, καὶ ἐν ἐλπίδι ἐπιεικεῖ. ἔτι κεχρονικότες, καὶ μὴ ὑπόγυιοι τῇ ὀργῇ ὄντες. παύει γὰρ ὀργὴν ὁ χρόνος. παύει δὲ καὶ ἑτέρου ὀργὴν μείζω ἡ παρ' ἄλλου ληφθεῖσα τιμωρία πρότερον· διὸ εὖ Φιλοκράτης, εἰπόντος τινὸς, ὀργιζομένου τοῦ δήμου,

nullo enim modo fieri poteſt, ut quis ſimul timeat, & iraſcatur. Et iis, qui ira perciti, commiſerint aliquid, aut non iraſcuntur, aut leviùs iraſcuntur: neque enim propter negligentiam feciſſe videntur: nam nemo iratus negligit, ſi quidẽ negligentia ſine animi dolore eſt, ira verò ſẽper eſt cum dolore. Et iis lenes ſunt, qui ipſos verentur.

3 * Et qui contrario 17
modo ſunt affecti, quàm, cum in ira ſunt, perſpicuum eſt eſſe lenes, ut, cum ludunt, cum rident, cum dies feſtos agunt, cum quid rectè geſſerunt, cum aliquid ex animi ſententia ſucceſſit, cum ſaturi ſunt. In ſumma lenes ii ſunt, quibus doloris vacuitas adeſt, & voluptas non contumelioſa, & qui bona ſpe ducuntur, & qui multo ante tempore, non autem recenti re iram conceperunt; tempus enim iram mitigat. Quin ab altero priùs ſumpta pœna, majorem in alterum iram minuit, atque ſedat. Unde benè Philocrates, cum iratum in ſe populum haberet, & quidem ei dixiſſet:

Cur

Cur non cauſam tuam dicis, & te defendis? Nondum eſt tempus, inquit. Quando igitur? cum alium priùs condemnatum videro.

18 4 * Lenes enim fiunt, cum in alium iram ſuam effuderint. Quod quidem Ergophilo contigit, cui cum judices magis inſenſi eſſent, quàm Calliſtheni, tamen eum abſolverunt; cum pridie Calliſthenem morte damnaſſent. Et ſi judicio convicerint; leniores fiunt, & iis, qui majus aliquod incommodum acceperint, quàm illis irati ipſi feciſſent; exiſtimant enim idem eſſe, ac ſi ipſi pœnas de eis ſumpſiſſent: & ſi priores ſe læſiſſe putant, ac ſe juſtè pati; neque enim contra id, quod juſtè factum eſt, ira concitatur; quoniam non amplius ſe contra quàm oportebat, pati arbitrantur: unde ſolet ira commoveri. Quapropter oratione priùs caſtigare oportet; hac enim ratione minus etiam ſervi dolent, cum puniuntur.

τί οὐκ ἀπολογῇ, οὔπω γε, ἔφη. ἀλλὰ πότε; ὅταν ἄλλον ἴδω διαβεβλημένον.

δ΄. * Πρᾶοι γὰρ γίγνονται, ὅταν εἰς ἄλλον τὴν ὀργὴν ἀναλώσωσιν· οἷον συνέβη ἐπὶ Ἐργοφίλου· μᾶλλον γὰρ χαλεπαίνοντες, ἢ Καλλισθένει, ἀφῆσαν, διὰ τὸ Καλλισθένους τῇ προτεραίᾳ καταγνῶναι θάνατον. καὶ ἐὰν ἕλωσι, καὶ ἐὰν μεῖζον κακὸν πεπονθότες ὦσιν, ἢ οἱ ὀργιζόμενοι ἔδρασαν ἄν. ὥσπερ γὰρ εἰληφέναι τιμωρίαν οἴονται. καὶ ἐὰν ἀδικεῖν οἴωνται αὐτοὶ, καὶ δικαίως πάσχειν. οὐ γίγνεται γὰρ ἡ ὀργὴ πρὸς τὸ δίκαιον. οὐ γὰρ ἔτι παρὰ τὸ προσῆκον οἴονται πάσχειν· ἡ δ᾽ ὀργὴ τοῦτο ἦν. διὸ τῷ λόγῳ δεῖ προκολάζειν· ἀγανακτοῦσι γὰρ ἧττον κολαζόμενοι καὶ οἱ δοῦλοι.

καὶ

καὶ ἐὰν μὴ αἰσθήσεσθαι οἴωνται, ὅτι δι' αὐτοὺς, καὶ ἀνθ' ὧν ἔπαθον· ἡ γὰρ ὀργὴ, τῶν καθ' ἕκαστόν ἐστι· δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ· διὸ ὀρθῶς πεποίηται,

Φάσθαι Ὀδυσσῆα πτολιπόρθιον.

ὡς οὐ τετιμωρημένος, εἰ μὴ ᾔσθετο καὶ ὑφ' οὗ, καὶ ἀνθ' ὅτου. ὥστε οὔτε τοῖς ἄλλοις ὅσοι μὴ αἰσθάνονται, ὀργίζονται· οὔτε τοῖς τεθνεῶσιν ἔτι, ὡς πεπονθόσι τε τὸ ἔσχατον, καὶ οὐκ ἀλγήσουσιν, οὐδ' αἰσθησομένοις, οὗ οἱ ὀργιζόμενοι ἐφίενται. διὸ εὖ περὶ τοῦ Ἕκτορος ὁ ποιητὴς, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀργῆς τεθνεῶτος,

Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

* Δῆλον οὖν ὅτι τοῖς καταπραΰνειν βουλομένοις, ἐκ τούτων τῶν τόπων λεκτέον· αὐτοὺς μὲν γὰρ παρασκευάζουσι τοιούτους.

Ceſſant etiam ab ira, qui putant, non intellectum iri, ultionem à ſe profectam, aut non propter illa, quæ paſſi ſunt; nam ira contra ſingulas perſonas accenditur, quod ex ejus definitione perſpicuum eſt. Itaque rectè dictum eſt ab Homero,

Dicito, Me everſor Trojæ excavit Ulyſſes.

tanquam ſibi non videretur ultus injurias, niſi ille ſenſiſſet, & à quo, & qua de cauſa tàm malè tractatus fuiſſet. Quare neque ullis aliis iraſcuntur, quos non ſentire exiſtimant, neque mortuis, quippe qui malorum extremum jam perpeſſi ſint, neque amplius dolituri ſint, aut ſenſuri, quarum rerum deſiderio tenentur irati. Quare benè de Hectore cecinit Homerus, volens Achillis iram contra mortuum ſedare,

Quis furor eſt, terram ſenſu vexare carentem?

* Planum igitur eſt, ex his 19
locis ducenda eſſe argumenta ab illis, qui placare animos volunt, atque eos quidem his rationibus mitigare oportet.

Illos

Illos autem, quibus irati ſunt, oſtendere debemus, aut terribiles eſſe, aut veneratione dignos, aut benemeritos, aut invitos feciſſe, aut denique propter ea, quæ fecerunt, magnum animo dolorem ſentire.

οἷς δ᾽ ὀργίζονται, ἢ φοβερούς, ἢ αἰσχύνης ἀξίους, ἢ κεχαρισμένους, ἢ ἄκοντας, ἢ ὑπεραλγοῦντας τοῖς πεποιημένοις.

CAPUT IV.

De amore, & odio, ac de arte movendi ad amorem, & odium.

DIVISIO CAPITIS IN PARTES SEX.

1 *Definitur Amor, ſcilicet amare eſt velle alicui &c.*

2 *Quomodo affecti homines facilè ament, oſtenditur.*

3 *Quos homines amare ſoleant.*

4 *Quibus de cauſis amare ſoleant.*

5 *Ex dictis de Amore poſſe cognoſci, quid ſit odium; Odii tres eſſe cauſas, Iram, Violentiam, & criminationem.*

6 *Licet quædam affinitas ſit inter odium, & iram, hanc tamen multis de cauſis ab odio diſtingui.*

20 I * JAM verò, quos amare ſoleant homines, & odiſſe, quibuſque de cauſis oſtendamus, ſed priùs quid amicitia ſit, & quid a-
21 mare doceamus. * Eſt igitur amare, velle alicui bona evenire non ſua, ſed illius ipſius cauſa, quem diligit,

α. * ΤΙ'ΝΑΣ δὲ φιλοῦσι καὶ μισοῦσι, καὶ διὰ τί, τὴν φιλίαν καὶ τὸ φιλεῖν ὁρισάμενοι, λέγωμεν. * Ἔστω δὴ τὸ φιλεῖν, τὸ βούλεσθαί τινι ἃ οἴεται ἀγαθά, ἐκείνου ἕνεκα, ἀλλὰ μὴ αὐτοῦ.

καὶ τὸ κατὰ δύναμιν πρακτικὸν εἶναι τούτων. φίλος δ' ἐστὶν, ὁ φιλῶν καὶ ἀντιφιλούμενος. οἴονται δὲ φίλοι εἶναι, οἱ οὕτως ἔχειν οἰόμενοι πρὸς ἀλλήλους.

β'. * Τούτων δὲ ὑποκειμένων, ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς, καὶ συναλγοῦντα τοῖς λυπηροῖς, μὴ διά τι ἕτερον, ἀλλὰ δι' ἐκεῖνον· γιγνομένων γὰρ ὧν βούλονται, χαίρουσι πάντες· τῶν ἐναντίων δὲ, λυποῦνται. ὥστε τῆς βουλήσεως σημεῖον αἱ λῦπαι, καὶ αἱ ἡδοναί. καὶ οἷς ἤδη ταὐτὰ ἀγαθὰ καὶ κακά. καὶ οἱ τοῖς αὐτοῖς φίλοι, καὶ οἱ τοῖς αὐτοῖς ἐχθροί. ταὐτὰ γὰρ τούτοις βούλεσθαι ἀνάγκη. ὥστε ἅπερ αὑτῷ καὶ ἄλλῳ βουλόμενος, τούτῳ φαίνεται φίλος εἶναι.

γ'. * Καὶ τοὺς πεποιηκότας εὖ φιλοῦσιν, ἢ αὐτοὺς, ἢ ὧν κήδονται, ἢ εἰ μεγάλα,

& quantum in eo eſt, efficere, ut illa eveniant. Amicus verò ille eſt, qui amat, & redamatur. Illi igitur exiſtimantur amici, qui inter ſe mutuò ſic affecti eſſe videntur.

2 * His ita poſitis, neceſſe eſt, illum amicum eſſe, qui gaudet alicujus rebus bonis, doletque malis non alia, ſed illius ipſius tantùm cauſa, omnes enim gaudent, cum illis, quos amant, quæ volunt, evenerunt, & cum accidunt contraria, dolent, itaque dolores, & voluptates indicia ſunt voluptatis. Illi etiam inter ſe ſunt amici, quibus eadem bona, ac mala ſunt, & qui eoſdem habent amicos, & eoſdem inimicos; neceſſe eſt enim, ut in eis ſit voluntatum conjunctio, nam, cum eadem velit alii, quæ ſibi ipſi, certè illi amicus eſſe videtur. 22

3 * Illi etiam amici ſunt, à quibus beneficium acceperunt vel ipſi, vel ii, quos diligunt, caroſq; habent, & præcipuè, ſi beneficia fuerint vel magna, 23

vel

vel prompto animo collocata, vel opportuno tempore, & aut ipſorum cauſa, aut eorum, quibus ipſi benefacere velle exi-
24 ſtimantur. * Amicos etiam amicorum amant, & amantes eos, quos ipſi amant, & amatos ab eis, qui ab ipſis amantur: & eos, qui eiſdem ſunt inimici, & qui illos odio proſequuntur, quos ipſi oderunt; & qui odio habentur ab illis, qui ipſis odio ſunt, his enim omnibus eadem eſſe bona videntur, quo fit ut illis benè velint, quod amici proprium eſt.
25 * Amant etiam eos, qui benefici ſunt vel in pecuniis erogandis, vel in ſalute danda, quare liberales, & fortes viros honorant, atque etiam juſtos, tales verò exiſtimant eos, qui non vivunt ex alienis rebus, qui ſuo ſibi labore victum quærunt, quales præcipuè ſunt agricolæ, & qui ipſimet opus faciunt. Temperantes etiam amant, propterea quòd minimè ſint injuſti;

ἢ εἰ προθύμως, ἢ ἐν τούτοις καιροῖς, καὶ αὐτῶν ἕνεκα. ἢ οὓς ἂν οἴωνται βούλεσθαι ποιεῖν εὖ. * Καὶ τοὺς τῶν φίλων φίλους. καὶ φιλοῦντας οὓς αὐτοὶ φιλοῦσι, καὶ τοὺς φιλουμένους ὑπὸ τῶν φιλουμένων ἑαυτοῖς, καὶ τοὺς τοῖς αὐτοῖς ἐχθρούς. καὶ μισοῦντας οὓς αὐτοὶ μισοῦσι. καὶ τοὺς μισουμένους ὑπὸ τῶν ἑαυτοῖς μισουμένων· πᾶσι γὰρ τούτοις τὰ αὐτὰ ἀγαθὰ φαίνεται εἶναι καὶ ἑαυτοῖς· ὥστε βούλεσθαι τὰ αὐτοῖς ἀγαθά, ὅπερ ἦν τοῦ φίλου. * Ἔτι, τοὺς εὖ ποιητικοὺς εἰς χρήματα καὶ εἰς σωτηρίαν· διὸ τοὺς ἐλευθερίους καὶ ἀνδρείους τιμῶσι, καὶ τοὺς δικαίους. τοιούτους δ' ὑπολαμβάνουσι, τοὺς μὴ ἀφ' ἑτέρων ζῶντας· τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι· καὶ τούτων, οἱ ἀπὸ γεωργίας, καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα. καὶ τοὺς σώφρονας, ὅτι οὐκ ἄδικοι.

καὶ

καὶ τοὺς ἀπράγμονας, διὰ τὸ αὐτό. καὶ οἷς βουλόμεθα φίλοι εἶναι, ἐὰν φαίνωνται βουλόμενοι. εἰσὶ δὲ τοιοῦτοι, οἵ τ' ἀγαθοὶ κατὰ ἀρετὴν, καὶ οἱ εὐδόκιμοι, ἢ ἐν πᾶσιν, ἢ ἐν τοῖς βελτίστοις, ἢ ἐν τοῖς θαυμαζομένοις ὑφ' αὐτῶν, ἢ ἐν τοῖς θαυμάζουσιν αὐτούς. * Ἔτι τοὺς ἡδεῖς συνδιαγαγεῖν καὶ συνδιημερεῦσαι· τοιοῦτοι δ' οἱ εὔκολοι, καὶ μὴ ἐλεγκτικοὶ τῶν ἁμαρτανομένων. καὶ μὴ φιλόνεικοι, μηδὲ δυσέριδες· πάντες γὰρ οἱ τοιοῦτοι μαχητικοί. οἱ δὲ μαχόμενοι, τἀναντία φαίνονται βούλεσθαι. καὶ οἱ ἐπιδέξιοι. καὶ τῷ τωθάσαι, καὶ τῷ ὑπομεῖναι· ἐπὶ ταὐτὸ γὰρ ἀμφότεροι σπεύδουσι τῷ πλησίον, δυνάμενοί τε σκώπτεσθαι, καὶ ἐμμελῶς σκώπτοντες.

atque eadem de cauſa diligunt eos, qui remoti à negotiis vitam degunt. Eos etiam amamus, quibus amici fieri ſtudemus, ſi modò ſe id velle oſtenderint; tales autem ſunt, qui præclara aliqua virtute valent, vel qui in honore, ac pretio ſunt apud omnes, aut apud optimos viros, aut apud eos, quos admiramur, aut denique apud eos, qui nos admirantur. * Amamus 26
etiam eos, qui morum ſuavitate præſtant, & quorum jucunda eſt conſuetudo. Tales autem habentur, qui ſunt ingenio placidi, neque ſi quid peccatum eſt, faciles ſunt ad reprehendendum. Et qui neque contentioſi ſunt, neque litiũ amatores, nam hujuſmodi homines pugnant, adverſanturque aliis, qui autem pugnant, velle contraria videntur, & qui jocosè facetèque alios mordent, & aliorum morſus æquo animo ſuſtinent, quoniam ad eundem finẽ ambo tendunt, cum & invadi æquo animo, & invadere ingenioſè poſſint.

*Eos

27 * Eos quoque amamus, qui noſtra bona laudant, & ea præcipuè, quę veremur, ne in nobis planè ſint, & qui mundi ſunt, atque elegantes in apparatu, in veſtitu, in omni denique vita, & qui neque vitia, neque beneficia exprobare ſolent; nam, qui hæc faciunt,
28 contentioſi ſunt. * Et qui non recordantur injurias, neque aliorum peccata obſervant, ſed placabiles ſunt: nam quales erga alios eſſe videntur, tales etiam in nos futuros exiſtimamus, & qui neque maledici ſunt, neque incommoda, maculaſque vel propinquorum, vel noſtri ſcire volunt, ſed bona tantùm. Hoc enim vir bonus facere ſolet, & qui iratis non adverſantur, aut aliquid ſerio agentibus: nam, qui hoc faciunt, contentioſi ſunt.
29 * Illos quoque amant omnes, quos ſuis ſtudioſos eſſe intelligunt, ut qui ipſos admirantur, & eſſe bonos exiſtimant, & ipſorum conſuetudine delectantur,

* Καὶ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα ἀγαθὰ, καὶ τούτων μάλιστα ἃ φοβοῦνται μὴ ὑπάρχειν αὐτοῖς. καὶ τοὺς καθαρείους περὶ ὄψιν, περὶ ἀμπεχόνην, περὶ ὅλον τὸν βίον. καὶ τοὺς μὴ ὀνειδιστὰς, μήτε τῶν ἁμαρτημάτων, μήτε τῶν εὐεργετημάτων. ἀμφότεροι γὰρ ἐλεγκτικοί. * Καὶ τοὺς μὴ μνησικάκους, μηδὲ φυλακτικοὺς τῶν ἐγκλημάτων, ἀλλ' εὐκαταλλάκτους· οἵους γὰρ ἂν ὑπολάβωσιν εἶναι πρὸς τοὺς ἄλλους, καὶ πρὸς αὐτοὺς οἴονται. καὶ τοὺς μὴ κακολόγους, μηδὲ εἰδότας, μήτε τὰ τῶν πλησίον κακὰ, μήτε τὰ αὐτῶν, ἀλλὰ τὰ ἀγαθά· ὁ γὰρ ἀγαθὸς τοῦτο δρᾷ. καὶ τοὺς μὴ ἀντιτείνοντας τοῖς ὀργιζομένοις, ἢ σπουδάζουσι. μαχητικοὶ γὰρ οἱ τοιοῦτοι. * Καὶ τοὺς πρὸς αὐτοὺς σπουδαίως πως ἔχοντας, οἷον θαυμάζοντας αὐτοὺς, καὶ σπουδαίους ὑπολαμβάνοντας, καὶ χαίροντας αὐτοῖς.

καὶ ταῦτα μάλιστα πεπονθότας. περὶ ἃ μάλιστα βούλονται αὐτοὶ ἢ θαυμάζεσθαι, ἢ σπουδαῖοι δοκεῖν εἶναι, ἢ ἡδεῖς. * Καὶ τοὺς ὁμοίους καὶ ταὐτὰ ἐπιτηδεύοντας, ἂν μὴ παρενοχλῶσι, μηδὲ ἀπὸ ταὐτοῦ ᾖ ὁ βίος. γίγνεται γὰρ οὕτω,

Τὸ κεραμεὺς κεραμεῖ.

καὶ τοὺς τῶν αὐτῶν ἐπιθυμοῦντας, ὧν ἐνδέχεται ἅμα μετέχειν αὐτούς· εἰ δὲ μὴ, ταὐτὸ καὶ οὕτω συμβαίνει. * Καὶ πρὸς οὓς οὕτως ἔχουσιν, ὥστε μὴ αἰσχύνεσθαι τὰ πρὸς δόξαν, μὴ καταφρονοῦντες. καὶ πρὸς οὓς αἰσχύνονται τὰ πρὸς ἀλήθειαν. * Καὶ πρὸς οὓς φιλοτιμοῦνται, ἢ ὑφ' ὧν ζηλοῦσθαι βούλονται, καὶ μὴ φθονεῖσθαι, τούτους ἢ φιλοῦσιν, ἢ βούλονται φίλοι εἶναι. καὶ οἷς ἂν τἀγαθὰ συμπράττωσιν,

& præcipuè qui hoc faciunt in eis rebus, in quibus ipſi cupiunt admirabiles videri, vel viri boni, vel ſuaves, & jucundi. * Pares etiam amant, atque eiſdem ſtudiis deditos, niſi fortè moleſti fuerint, aut ex eadem arte victum quęſierint. Tunc enim accidit quod ait Heſiodus: 30

Et figulus figulo:

& qui earundem rerum deſiderio tenentur, modo ſint ejuſmodi res, ut eas æqualiter ambo conſequi poſſint, ſin minus, idem accidit, quod in artificibus. * Eos quoque amant, quibus cum adeò familiares ſunt, ut non pudeat coram eis illa facere, quæ vulgo turpia videntur, niſi fortè illos contemnant: & eos amant, apud quos verentur illa committere, quæ revera turpia ſunt. * Et apud quos in honore, ac pretio eſſe ſtudent. Et quos optant æmulos, atque imitatores habere rerum ſuarum, non autem obtrectatores, eos aut amant, aut ſibi amicos fieri cupiunt, & quos in acquirendis aliquibus bonis adjuvarent, niſi

31

32

niſi fortè in ipſos gravio-
ra mala caſura eſſent.
33 * Eorum quoque amici-
tiam expetunt, quos vi-
dent non minus abſentes
amicos diligere, quàm
præſentes; itaque nemo eſt,
quin eos diligat, qui mor-
tuorum etiam amicitiam
colunt, & omninò qui-
cunque amicis valdè ami-
ci ſunt, & eos cum o-
pus eſt, non deſerunt,
cum enim omnes bonos
diligant, tum eos præci-
puè, qui boni amici ſunt.
34 * Et qui nihil apud ſe
fingunt. Tales autem ſunt,
qui malè etiam ſua nar-
rant, & aperiunt, nam
(ut ſupra dictum eſt) cum
amicis nos non pudet ea
dicere, aut facere, quæ
vulgo turpia videntur.
Itaque ſi quem pudet, is
non amat certè quem
non pudet, is amans ef-
35 ſe videtur. * Eos quo-
que amamus, qui non
formidoloſi ſunt, & qui-
bus confidimus, nemo e-
nim, quem metuit, dili-
36 git. * Amicitiæ ſpecies
ſunt ſodalitas, neceſſitu-
do, cognatio, cæteræ-
que ejus generis.

ἐὰν μὴ μέλλῃ αὐτοῖς ἔσεσθαι μείζω κακά. * Καὶ τοῖς ὁμοίως καὶ τοὺς ἀπόντας καὶ τοὺς παρόντας φιλοῦσι. διὸ καὶ τοὺς περὶ τοὺς τεθνεῶτας τοιούτους, πάντες φιλοῦσι. καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους, καὶ μὴ ἐγκαταλείποντας· μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς. * Καὶ τοὺς μὴ πλαττομένους πρὸς αὐτούς. τοιοῦτοι δὲ καὶ οἱ τὰ φαῦλα τὰ ἑαυτῶν λέγοντες· εἴρηται γὰρ ὅτι πρὸς τοὺς φίλους τὰ πρὸς δόξαν οὐκ αἰσχυνόμεθα. εἰ οὖν ὁ αἰσχυνόμενος μὴ φιλεῖ, ὁ μὴ αἰσχυνόμενος φιλοῦντι ἔοικε. * Καὶ τοὺς μὴ φοβερούς, καὶ οἷς θαρροῦμεν· οὐδεὶς γὰρ ὃν φοβεῖται, φιλεῖ. * Εἴδη δὲ φιλίας, ἑταιρεία, οἰκειότης, συγγένεια, καὶ ὅσα τοιαῦτα.

* Ποιου-

δ΄. Ποιητικὰ δὲ φιλίας χάρις, καὶ τὸ μὴ δεηθέντος ποιῆσαι, καὶ τὸ ποιήσαντα μὴ δηλῶσαι· αὐτοῦ γὰρ οὕτως ἕνεκα φαίνεται, καὶ οὐ δι᾽ ἕτερον.

4 Conficiens autem amicitiæ beneficium eſt, & præcipuè quod ultro defertur, non expectatis precibus, &, quod quando collatum eſt, non commemoratur, tunc enim intelligitur ipſius gratia factum eſſe, non alia de cauſa.

ε΄. * Περὶ δὲ ἔχθρας καὶ τοῦ μισεῖν, φανερὸν, ὡς ἐκ τῶν ἐναντίων δεῖ θεωρεῖν. ποιητικὰ δὲ ἔχθρας, ὀργὴ, ἐπηρεασμὸς, διαβολή.

5 * Quod autem ad ini- 37
micitias, & odium attinet, perſpicuum eſt ex contrariis locis ſumenda eſſe argumenta. Inimicitiarum verò conficientia ſunt ira, violentia, criminatio.

ϛ΄. * Ὀργὴ μὲν οὖν ἐστὶν ἐκ τῶν πρὸς ἑαυτόν· ἔχθρα δὲ, καὶ ἄνευ τῶν πρὸς ἑαυτόν. ἐὰν γὰρ ὑπολάβωμεν εἶναι τοιόνδε, μισοῦμεν· καὶ ἡ μὲν ὀργὴ, ἀεὶ περὶ τὰ καθ᾽ ἕκαστα, οἷον Καλλίᾳ ἢ Σωκράτῃ· τὸ δὲ μῖσος, καὶ πρὸς τὰ γένη· τὸν γὰρ κλέπτην μισεῖ καὶ τὸν συκοφάντην ἕκαστος· καὶ τὸ μὲν, ἰατὸν χρόνῳ, τὸ δ᾽, ἀνίατον. καὶ ἡ μὲν, τοῦ λυπῆσαι ἐφίεται,

6 * Sed ira concitatur 38
tantùm ex iis rebus, quæ ad ipſum tantùm referuntur, inimicitiæ verò etiam ex iis, quæ minimè ad ipſum pertinent, ſæpè enim aliquem odio proſequi ſolemus, ſi talem eſſe ſuſpicamur. Huc accedit, quod ira ſemper contra ſingulos excitatur, ut contra Calliam, aut Socratem, odium autem etiam contra genera hominum; nam furem, & calumniatorem omnes oderunt. Atque ira quidem tempore ſanari poteſt, odium non poteſt. Prætereà ſtudet ira dolorem inurere,

ſed inimicitiæ magis damnum importare geſtiunt, nam, qui iratus eſt alicui, vult eum ſentire, cum ulciſcitur, inimicus verò nequaquam hoc curat: quæ verò dolorem faciunt, omnia ſenſum movent; ſed quæ maxima mala ſunt, minimè ſentiuntur, ut injuſtitia, & dementia, pravitas enim præſentia ſua nullum dolorem adfert. Ira etiam adjunctam habet ægritudinem: ſed odium ægritudine vacat: nam qui iratus eſt, dolet: qui aut odit, non dolet. Et iratus ob multas adverſarii calamitates nonnunquam ad miſericordiam flectitur. Qui autem odit, nunquam ulla movetur miſericordia: nam iratus vult eum, cui iraſcitur, viciſſim angi, & dolorem ſentire: ſed, qui odit, vult eum, quem odit, extingui, ac

39 perire. * Ex his perſpicuum eſt, quomodo quis amicos, & inimicos oſtendere poſſit qui ſint, & qui non ſint, quomodo facere poſſit, & qui ſe dicunt eſſe, quomodo diſturbare queat; & cum eſt controverſia, utrum aliquid propter iram,

ἡ δὲ, τοῦ κακῶσαι μᾶλλον· αἰσθέσθαι γὰρ βούλεται ὁ ὀργιζόμενος. τῷ δὲ, οὐδὲν διαφέρει· ἔστι δὲ, τὰ μὲν λυπηρὰ, αἰσθητὰ πάντα τὰ δὲ μάλιστα κακὰ, ἥκιστα αἰσθητὰ, ἀδικία καὶ ἀφροσύνη· οὐδὲν γὰρ λυπεῖ ἡ παρουσία τῆς κακίας· καὶ τὸ μὲν, μετὰ λύπης, τὸ δ' οὐ μετὰ λύπης· ὁ μὲν γὰρ ὀργιζόμενος, λυπεῖται, ὁ δὲ μισῶν, οὔ. καὶ ὁ μὲν πολλῶν ἂν γινομένων, ἐλεήσειεν, ὁ δὲ, οὐδενός· ὁ μὲν γὰρ ἀντιπαθεῖν βούλεται ᾧ ὀργίζεται ὁ δὲ, μὴ εἶναι. * Φανερὸν οὖν ἐκ τούτων, ὅτι ἐνδέχεται ἐχθροὺς καὶ φίλους καὶ ὄντας ἀποδεικνύναι, καὶ μὴ ὄντας ποιεῖν, καὶ φάσκοντας διαλύειν, καὶ ἢ δι' ὀργὴν,

ἢ δι'

ἢ δι' ἔχθραν ἀμφισβητοῦντας ἐφ' ὅσπερ ἂν προαιρῆταί τις ἄγειν· ποῖα δὲ φοβοῦνται, καὶ τίνας, καὶ πῶς ἔχοντες, ὧδ' ἔσαι φανερόν.

an propter inimicitias factum ſit: quomodo valeat, in quam partem voluerit, qui dicit, id traducere. Quæ verò timeant homines, & quos, & quomodo affecti, planum fiet ex iis, quæ modò dicemus.

CAPUT V.

De Timore, & confidentia; itemque de arte hos affectus excitandi.

DIVISIO CAPITIS IN PARTES SEX.

1 *Definitur timor ſcilicet ægritudo quædam &c.*
2 *Ob quas res, & quos timere ſoleant.*
3 *Quomodo affecti facilè timere ſoleant.*
4 *Definitur confidentia, ſcilicet ſpes quædam &c.*
5 *Ob quas res, & quibus confidant.*
6 *Quomodo affecti facilè confidant.*

α. * ΕΣΤΩ δὴ φόβος, λύπη τις ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ, ἢ φθαρτικοῦ, ἢ λυπηροῦ· οὐ γὰρ πάντα τὰ κακὰ φοβοῦνται· οἷον, εἰ ἔσαι ἄδικος ἢ βραδύς, ἀλλ' ὅσα ἢ λύπας μεγάλας,

1 * EST autem metus, 49
ægritudo quædam, vel perturbatio ex opinione impendentis mali, quod aut interitum nobis, aut dolorem adferre poſſit. Neque enim omnia mala timentur, ut ne injuſtus fiat, aut hebeti, tardoque ingenio: ſed ea tantum, quæ vel magnos dolores,

vel interitum adferre poſſunt: & præcipuè ſi illa non longinqua ſunt, ſed proxima, ut jam impendere videantur: nam quæ valdè longinqua ſunt, non metuuntur: ſciunt enim omnes fore, ut moriantur. Sed, quoniam id propè non eſſe putant, ideo nullam curam ſuſcipiunt.

41 2 * Quod, ſi metus eſt hujuſmodi, neceſſe eſt, ut ea omnia ſint horribilia, & pertimeſcenda, quæ nos perdendi vim magnam habere videntur, aut ejuſmodi detrimenta importandi, quæ acerrimos animi dolores pariant: itaque talium etiam rerum ſigna terrorem incutiunt. Tunc enim in proximo jam eſſe videtur id, quod eſt horribile, hoc verò ipſum periculum eſt, horribilis rei appropinquatio. Tales ſunt inimicitiæ, iræque illorum, qui malum aliquod importare poſſunt: manifeſtum eſt enim eos & velle, & poſſe. Quò fit, ut ad inferendum ma-

42 lum parati ſint. * Et injuſtitia, ſi vires nacta fuerit, horribilis eſt:

ἢ φθορᾶς δυνάται· καὶ ταῦτα ἂν μὴ πόῤῥω, ἀλλὰ σύνεγγυς φαίνηται, ὥστε μέλλειν· τὰ γὰρ πόῤῥω σφόδρα οὐ φοβοῦνται· ἴσασι γὰρ πάντες, ὅτι ἀποθανοῦνται, ἀλλ᾽ ὅτι οὐκ ἐγγὺς, οὐδὲν φροντίζουσιν.

β. * Εἰ δὴ ὁ φόβος τοῦτ᾽ ἐστὶν, ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι, ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν, ἢ βλάπτειν βλάβας εἰς λύπην μεγάλην συντεινούσας. Διὸ καὶ τὰ σημεῖα τῶν τοιούτων, φοβερά. ἐγγὺς γὰρ φαίνεται τὸ φοβερόν· τοῦτο γάρ ἐστι κίνδυνος, φοβεροῦ πλησιασμός. τοιαῦτα δὲ ἔχθρα τε καὶ ὀργὴ δυναμένων ποιεῖν τι· δῆλον γὰρ ὅτι βούλονταί τε καὶ δύνανται· ὥστε ἐγγύς εἰσι τοῦ ποιεῖν. * Καὶ ἀδικία δύναμιν ἔχουσα·

τῷ

τῷ προαιρεῖσθαι γὰρ ὁ ἄδικος, ἄδικος. καὶ ἀρετὴ ὑβριζομένη δύναμιν ἔχουσα· δῆλον γὰρ ὅτι προαιρεῖται μὲν, ὅταν ὑβρίζηται, ἀεὶ, δύναται δὲ νῦν. * Καὶ φόβος, τῶν δυναμένων τι ποιῆσαι· ἐν παρασκευῇ γὰρ ἀνάγκη εἶναι καὶ τὸν τοιοῦτον. * Ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν, καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν ὡς ἐπιτοπολὺ, τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι. ὥστε οἱ συνειδότες πεποιηκότι τι δεινὸν, φοβεροὶ, ἢ κατειπεῖν, ἢ ἐγκατυλιπεῖν. * Καὶ οἱ δυνάμενοι ἀδικεῖν, ἀεὶ τοῖς δυναμένοις ἀδικεῖσθαι· ὡς γὰρ ἐπιτοπολὺ, ἀδικοῦσιν οἱ ἄνθρωποι, ὅταν δύνωνται. * Καὶ οἱ ἠδικημένοι οἱ νομίζοντες ἀδικεῖσθαι· ἀεὶ γὰρ τηροῦσι καιρόν.

Injuſtus enim is, eſt, qui conſultò ſe injuſtè gerit: virtus quoque affecta contumelia, ſi vires adepta eſt: perſpicuum eſt enim, cum afficitur contumelia, ſemper eam ulciſci deſiderare; ſed, cum poteſt, tunc id efficere.
* Metus etiam eorum, qui 43
malum aliquod inferre poſſunt, horribilis eſt: nam hujuſmodi homines ſemper ad offendendum parati ſunt. * Et quoniam 44
plerique ſunt improbi, & cupiditatis ſiti trahuntur, atque in periculis timidi: plerunque etiam horribile eſt, in aliorum eſſe poteſtate. Quare qui alicujus magni facinoris conſcii ſunt, iidem ſunt etiam horribiles: ne aut facinus illud [2] indicent, aut ſocios deferant. * Et 45
qui injuriam facere poſſunt ſemper eis formidabiles ſunt, qui ſunt ad injuriam expoſiti; plerunque enim homines facultatem nacti injuriam inferunt. * Et, qui inju- 46
riam acceperunt, vel ſe accepiſſe arbitrantur; ſemper enim ulciſcendi tempus obſervant.

Et, qui jam fecerunt injuriam, ſi poteſtatem habent, horribiles ſunt; cum ſemper talionem reformident, hoc autem eſſe horribile, jam ſupra
47 dictum eſt. *Et qui de iiſdem honoribus, aut præmiis certant, ſi eadem ambo conſequi non poſſunt: tales enim inter ſe perpe-
48 tuò digladiantur. *Et qui ſunt horribiles iis, qui meliores ſunt, etiam infirmioribus ſunt horribiles; faciliùs enim infirmiores, quàm meliores lædere poſſunt. Atque eadem de cauſa ſunt etiam horribiles illi, quos meliores reformidant: & qui necem eis attulerunt, qui ipſis præſtantiores erant: & qui minores aggredi ſolent: vel enim jam horribiles ſunt, vel elato ani-
49 mo ſtatim fient. *Horribiles etiam ſunt ii, qui injuriam acceperunt: &, qui inimici ſunt, aut adverſarii, non ſi ad iram proclives ſunt, & liberè loquuntur; ſed ſi ſedati ſunt, & diſſimulatores, & verſuti: incertum eſt enim, an propè ſint ad malefaciendum,

καὶ οἱ ἠδικηκότες, ἐὰν δύναμιν ἔχωσι, φοβεροὶ, δεδιότες τὸ ἀντιπαθεῖν. ὑπέκειτο γὰρ τὸ τοιοῦτο φοβερόν. *Καὶ οἱ τῶν αὐτῶν ἀντυγωνισαὶ, ὅσα μὴ ἐνδέχεται ἅμα ὑπάρχειν ἀμφοῖν· ἀεὶ γὰρ πολεμοῦσι πρὸς τοὺς τοιούτους. *Καὶ οἱ τοῖς κρείττοσιν αὐτῶν φοβεροὶ, καὶ οἱ αὐτοῖς φοβεροί. μᾶλλον γὰρ ἂν δύναιντο βλάπτειν αὐτοὺς, ἢ τοὺς κρείττους. *Καὶ οὓς φοβοῦνται οἱ κρείττους αὐτῶν, διὰ τὸ αὐτό. καὶ οἱ τοὺς κρείττους αὐτῶν ἀνῃρηκότες, καὶ οἱ τοῖς ἥττοσιν αὐτῶν ἐπιτιθέμενοι· ἢ γὰρ ἤδη φοβεροὶ, ἢ αὐξηθέντες. *Καὶ τῶν ἠδικημένων καὶ ἐχθρῶν ἢ ἀντιπάλων οὐχ οἱ ὀξύθυμοι καὶ παῤῥησιαστικοὶ, ἀλλ' οἱ πρᾶοι καὶ εἴρωνες καὶ πανοῦργοι· ἄδηλοι γὰρ οἱ ἐγγύς.

ὥς

ὥς' οὐδέ ποτε φανεροὶ, ὅτι πόῤῥω. * Πάντα δὲ τὰ φοβερὰ, φοβερώτερα, ὅσα ἂν ἁμάρτωσιν, ἐπανορθώσασθαι μὴ ἐνδέχεται, ἀλλ' ἢ ὅλως ἀδύνατα, ἢ μὴ ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις. καὶ ὧν βοήθειαι μὴ εἰσὶν, ἢ μὴ ῥάδιαι. * Ὡς δ' ἁπλῶς εἰπεῖν, φοβερά ἐστιν ὅσα ἐφ' ἑτέρων γιγνόμενα ἢ μέλλοντα, ἐλεεινά ἐστι. τὰ μὲν οὖν φοβερὰ καὶ ἃ φοβοῦνται, σχεδὸν, ὡς εἰπεῖν, τὰ μέγιστα ταῦτά ἐστιν.

γʹ. * Ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν. εἰ δή ἐστιν ὁ φόβος μετὰ προσδοκίας τοῦ πείσεσθαί τι φθαρτικὸν πάθος, φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν,

neque unquam perſpicuum eſt, quàm longè abſint. * Omnium autem 50
horribilium illa maxima ſunt, in quibus, ſi quid peccatum fuerit, non eſt emendandi locus; ſed vel omninò corrigi nequeunt, vel remedia non ſunt in noſtra, ſed in adverſariorum poteſtate: & in quibus vel nulla ſunt auxilia, vel multùm ardua.
* Ut autem ſummatim di- 51
cam, horribilia ſunt illa omnia, quæ, cum aliis evenient, vel impendent, miſericordia digna ſunt. Atque hæc quidem ferè ſunt, quæ horribilia dicuntur, & quæ maximè homines timere ſolent.

3 * Sed quomodo af- 52
fecti ſint animo, qui timent, jam dicamus. Cum igitur metus cum expectatione ſit patiendi aliquid, quod perdere valeat, perſpicuum eſt, neminem eorum eſſe in metu, qui nihil ſe mali paſſuros arbitrantur; neque enim quiſquam ea timet, quæ ſe non paſſurum putat: neque eos metuit, à quibus nihil mali expectat:

neque eo tempore timet, cum nihil mali futurum arbitratur. Neceſſe eſt igitur; eos eſſe in metu, qui ſe aliquid mali paſſuros exiſtimant à certis perſonis: &, qui, quæ paſſuri ſunt, & quo tempore, cogitant. Qui autem plurimis fortunæ bonis abundant, aut ſe abundare putant, ii ſe nihil paſſuros arbitrantur. Atque inde contumelioſi ſunt, & aliorum negligentes, & audaces ac confidentes. Tales autem efficiunt divitiæ, robur corporis, amicorum copia, potentia. Neque illi timent, qui ſe jam gravia paſſos exiſtimant: & qui jam omnem futuri ſpem abjecerunt; ut qui ad extremum ſupplicium ducuntur; ſed qui timet, neceſſe eſt, aliquam ſalutis ſpem habeat in ea re, de qua ſolicitus eſt, cujus rei ſignum eſt, quòd metus cogit homines diligentiùs conſultare, nemo autem de rebus eis conſultat, in quibus nihil ampliùs ſpe
53 relictum eſt. * Itaque, cum utile erit inducere timorem judicibus, tunc eis rationibus uti oportebit,

οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται. ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἂν, καὶ τοὺς ὑπὸ τούτων, καὶ ταῦτα, καὶ τότε, οὐκ οἴονται δὲ παθεῖν ἂν, οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες, καὶ δοκοῦντες· διὸ ὑβρισταὶ καὶ ὀλίγωροι καὶ θρασεῖς· ποιεῖ δὲ τοὺς τοιούτους πλοῦτος, ἰσχὺς, πολυφιλία, δύναμις. οὔτε οἱ ἤδη πεπονθέναι νομίζοντες τὰ δεινὰ, καὶ ἀπεψυγμένοι πρὸς τὸ μέλλον, ὥσπερ οἱ ἀποτυμπανιζόμενοι ἤδη· ἀλλὰ δεῖ τινὰ ἐλπίδα ὑπεῖναι σωτηρίας, περὶ οὗ ἀγωνιῶσι. σημεῖον δὲ, ὁ γὰρ φόβος βουλευτικοὺς ποιεῖ. καίτοι οὐδεὶς βουλεύεται περὶ τῶν ἀνελπίστων. * Ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτοὺς,

ὅτι

ὅτι τοιοῦτοί εἰσιν, οἷοι παθεῖν· καὶ γὰρ ἄλλοι μείζους ἔπαθον· καὶ τοὺς ὁμοίους δεικνύναι πάσχοντας, ἢ πεπονθότας, καὶ ὑπὸ τούτων ὑφ' ὧν οὐκ ᾤοντο, καὶ ταῦτα, καὶ τότε ὅτε οὐκ ᾤοντο. * Ἐπεὶ δὲ περὶ φόβου φανερὸν τί ἐστι, καὶ περὶ τῶν φοβερῶν, καὶ ὡς ἕκαστοι ἔχοντες δεδίασι, φανερὸν ἐκ τούτων, καὶ τὸ θαῤῥεῖν τί ἐστι, καὶ περὶ ποῖα θαῤῥαλέοι, καὶ πῶς διακείμενοι θαῤῥαλέοι εἰσί, τό, τε γὰρ θάρσος ἐναντίον τῷ φόβῳ, καὶ τὸ θαῤῥαλέον τῷ φοβερῷ.

δ'. * Ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων, ὡς ἐγγὺς ὄντων· τῶν δὲ φοβερῶν, ἢ μὴ ὄντων, ἢ πόῤῥω ὄντων.

έ. * Ἔστι δὲ θαῤῥαλέα, τά τε δεινὰ πόῤῥω ὄντα, καὶ τὰ θαῤῥαλέα ἐγγύς.

quibus oſtendamus eos tales, ut pati poſſint, ut, ſi dicamus, alios etiam majores paſſos fuiſſe, vel oſtendamus pares, aut hoc tempore pati, aut antea paſsos eſse, & ab iis, à quibus nihil mali metuebant, & prætereà paſsos ea, quæ nunquam putaſsent, & quo tempore minimè expectabant. * Cum autem planum factum ſit, quid ſit metus, & quæ ſint ea, quæ metuenda ſunt, & quomodo affecti homines metuant, ex ejſdem perſpicuum etiam eſt, quid ſit confidere, & quibus in rebus confidentes ſint, & quomodo affecti confidant: nam confidentia timori contraria eſt, & quæ confidentiam adferunt, eis contraria ſunt, quæ metum incutiunt. 54

4 * Quare confidentia ſpes quædam eſt cum opinione proximæ ſalutis futuræ, & rerum horribilium vel non futurarum, vel longè remotarum. 55

5 * Confirmatur enim animus cum mala longè abſunt: & quæ confidentiam adferunt, ſunt vicina: 56

& ſi peccatum corrigi, atque emendari poteſt: & ſi auxilia vel multa, vel magna, vel utraque ſimul adeſſe videntur: & ſi injuriam neque nos accipimus, neque aliis intulimus: & ſi vel nulli ſunt adverſarii, vel ſi ſunt, nocendi facultatem non habent, vel etiam ſi habent facultatem, nobis amici ſunt; vel ſi beneficia in nos contulerunt, aut à nobis acceperunt: vel ſi plures ſunt, quibus eadem conducunt, aut præſtantiores, aut utrunque ſimul.

57 6 * Ipſi verò homines hoc modo confidentes eſſe ſolent, ſi multis in rebus proſperè ſe geſſerunt, & nullum incommodum paſſi ſunt: & ſi in pericula ſæpiùs inciderunt, & tamen incolumes evaſerunt. Duobus enim modis homines timore non concutiuntur; vel quòd ea mala nunquam experti ſunt, vel quòd auxilia parata habeant, id quod accidit in marinis periculis; nam, qui tempeſtatem nunquam experti ſunt, ii ſe incolumes evaſuros confidunt:

καὶ ἐπανορθώσεις ἐὰν ὦσι, καὶ βοήθειαι, ἢ πολλαὶ, ἢ μεγάλαι, ἢ ἄμφω. καὶ μήτε ἠδικημένοι, μήτε ἠδικηκότες ὦσιν, ἀνταγωνισταί τε, ἢ μὴ ὦσιν ὅλως, ἢ μὴ ἔχωσι δύναμιν, ἢ δύναμιν ἔχοντες, ὦσι φίλοι, ἢ πεποιηκότες ὦσιν εὖ, ἢ πεπονθότες, ἢ ἐὰν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω.

ϛʹ. * Αὐτοὶ δ' οὕτως ἔχοντες, θαῤῥαλέοι εἰσίν· ἐὰν πολλὰ κατωρθωκέναι οἴωνται, καὶ μὴ πεπονθέναι. ἢ ἐὰν πολλάκις ἐληλυθότες ὦσιν εἰς τὰ δεινὰ, καὶ διαπεφευγότες· διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι, ἢ τῷ βοηθείας ἔχειν· ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις, οἵ τε ἄπειροι χειμῶνος θαῤῥοῦσι τὰ μέλλοντα,

καὶ

καὶ οἱ βοηθείας ἔχοντες, διὰ τὴν ἐμπειρίαν. * Καὶ ὅταν τοῖς ὁμοίοις μὴ ᾖ φοβερὸν, μηδὲ τοῖς ἥττοσι, καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δὲ, ὧν κεκρατήκασιν, ἢ αὐτῶν, ἢ τῶν κρειττόνων, ἢ τῶν ὁμοίων. * Καὶ ἐὰν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσι. ταῦτα δ' ἐστὶ, πλῆθος χρημάτων, καὶ ἰσχὺς σωμάτων, καὶ φίλων, καὶ χώρας, καὶ τῶν πρὸς πόλεμον παρασκευῶν, ἢ πασῶν, ἢ τῶν μεγίστων. * Καὶ ἐὰν μὴ ἠδικηκότες ὦσιν, ἢ μηδένα, ἢ μὴ πολλοὺς, ἢ μὴ τοιούτους, περὶ ὧν φοβοῦνται. καὶ ὅλως ἂν τὰ πρὸς θεοὺς αὐτοῖς καλῶς ἔχῃ, τά τε ἄλλα, καὶ τὰ ἀπὸ σημείων καὶ λογίων. θαῤῥαλέον γὰρ ἡ ὀργή· τὸ δὲ μὴ ἀδικεῖν, ἀλλ' ἀδικεῖσθαι,

qui verò habent auxilia,
propter uſum, & experien-
tiam confidunt. * Confi- 58
dunt etiam, cum vident,
rem illam paribus, & ſi-
milibus metum non adfer-
re, neque inferioribus,
& iis, quibus ſe præſtan-
tiores arbitrantur. Exi-
ſtimant autem, ſe illis
præſtare, quos vicerunt,
aut ſi iis vel potentiores,
vel ſimiles vicerunt.
* Et, ſi plura, & majora 59
ſibi adeſse putant eorum,
quibus qui excellunt, hor-
ribiles eſse ſolent; qualia
ſunt pecuniæ, magnitu-
do, robur corporum, &
amicorum, & regionis, &
apparatuum belli, aut
omnium, aut maximo-
rum. * Confidunt etiam, 60
ſi injuriam intulerint aut
nemini, aut paucis, aut
non hujuſmodi hominibus,
quos timere debeant, &
omninò quoties ſperant
deos ſibi fore propitios,
& aliquid boni portende-
re vel ſignis, vel ora-
culis, vel aliis quibuſ-
dam rebus; iracundia
neque confidentes homi-
nes facit: cum autem
quis non injuriam fa-
cit, ſed eam accipit;

tunc iracundia movetur. Deus verò creditur eis eſſe auxilio, qui injuriam acceperunt.
61 * Confidentes etiã ſunt, cum priores aggrediuntur, & exiſtimant, vel tunc ſe nihil incõmodi pati, vel poſtea nõ paſſuros, vel quod cupiunt confecturos. Ac de iis quidem, quæ metum incutiunt, & de iis, quę confidentiam adferunt, hactenus dictum ſit.

ὀργῆς ποιητικόν· τὸ δὲ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. * Καὶ ὅταν προεπιχειροῦντες, ἢ μηδὲν ἂν παθεῖν, μηδὲ πείσεσθαι, ἢ κατορθώσειν οἴονται. καὶ περὶ μὲν τῶν φοβερῶν καὶ θαρραλέων, εἴρηται.

CAPUT VI.

De verecundia, & inverecundia, ac de arte verecundiam excitandi.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Quid ſit verecundia, & inverecundia.*
2 *Ob quas res verecundentur.*
3 *Quos verecundentur, & non verecundentur.*
4 *Quomodo affecti facilè verecundentur.*

62 I. * QUIBUS autem in rebus verecundi ſint homines, atque inverecundi, & erga quos, & quomodo affecti, deinceps explicandum eſt.
63 * Eſto igitur verecundia, quædam ægritudo, perturbatioque in eis malis, quę ignominiam, ac dedecus ferre videntur,

α. * ΠΟΙ͂Α δὲ αἰσχύνονται καὶ ἀναισχυντοῦσι, καὶ πρὸς τίνας, καὶ πῶς ἔχοντες, ἐκ τῶνδε δῆλον. * Ἔστω δὴ αἰσχύνη, λύπη τις καὶ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν,

ἢ

ἢ παρόντων, ἢ γεγονότων, ἢ μελλόντων. ἡ δ' ἀναισχυντία, ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα.

β'. Εἰ δὴ ἔστιν αἰσχύνη ἡ ὁρισθεῖσα, ἀνάγκη αἰσχύνεσθαι μὲν ἐπὶ τοῖς τοιούτοις τῶν κακῶν, ἃ δοκεῖ αἰσχρὰ εἶναι αὐτῷ, ἢ ὧν φροντίζει. * Τοιαῦτα δ' ἐστὶν, ὅσα ἀπὸ κακίας ἔργα ἐστὶν, οἷον ἀποβάλλειν ἀσπίδα, ἢ φυγεῖν· ἀπὸ δειλίας γάρ· καὶ τὸ ἀποστερῆσαι παρακαταθήκην. ἀπ' ἀδικίας γάρ. καὶ τὸ συγγενέσθαι οἷς οὐ δεῖ, ἢ ὅπου οὐ δεῖ, ἢ ὅτε μὴ δεῖ. ἀπ' ἀκολασίας γάρ· καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν, ἢ ἀπὸ αἰσχρῶν, ἢ ἀπ' ἀδυνάτων, οἷον πενήτων, ἢ τεθνεώτων· ὅθεν καὶ ἡ παροιμία, τὸ, Κἂν ἀπὸ νεκροῦ φέρειν· ἀπὸ αἰσχροκερδείας γὰρ καὶ ἀνελευθερίας· καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα,

cum aut ſunt, aut fuerunt, aut futura ſunt, inverecundia verò negligentia quædam eſt, & animi ſecuritas in eiſdem illis malis.

2 * Quod ſi verecundiæ natura ea eſt, quam explicuimus, neceſſe eſt, in ejuſmodi malis homines verecundari, quæ vel ipſis turpia ſunt, vel eis, quorum curam habent. * Talia verò ſunt ea opera, quæ ab animi vitio proficiſcuntur, ut in prælio clypeum abjicere, vel in fugam verti, quod à timiditate naſcitur, vel depoſitum non reddere, quod naſcitur ab injuſtitia, & rem habere, quibuſcum nefas eſt, vel ubi, vel quando non oportet, quod intemperantiæ proprium eſt, & quæſtum ex minutis rebus facere, aut turpibus, aut ex iis, ex quibus fieri non poſſe videatur, ut à pauperibus, & mortuis; unde celebratum eſt proverbium illud, *Etiam à mortuo tributum exigere*, à ſordibus enim hoc, & illiberalitate naſcitur, & eis, qui indigent, non pecunia ſubvenire, cum poſſis,

64

65

aut minus quàm oporteat, ſubvenire, & à tenujoribus, minusque abundantibus auxilium, & pecuniam capere, aut mutuo eam ſumere, cum exiſtimatur aliquis à te petiturus, aut iterum petere, cum aliquis quos dedit, nummos repetiturus eſt, aut contrà repetere, cum iterum ille petiturus eſt. Turpe eſt etiam aliquid laudare, ut illud poſcere videaris, & cum ſemel repulſam paſſus ſis, nihilominus idem petere, nam hæc omnia ſordium, illiberalitatisque ſigna ſunt. In præſentia verò coramque laudare quempiam, adulationis eſt: & bona, pluſquam ſatis ſit, laudare, mala verò obſcurare: &, cum quis dolet, majorem eo dolorem oſtendere, & alia quæcunque ſunt hujuſmodi, turpia ſunt, quoniam indicia ſunt aſſentationis. Turpe eſt etiam eos labores ferre non poſſe, quos aut ſeniores, aut delicati homines, aut qui cum imperio ſunt aut denique imbecilliores ferunt: hæc enim omnia mollitudinis ſigna ſunt,

ἢ ἧττον βοηθεῖν, καὶ τὸ βοηθεῖσθαι παρὰ τῶν ἧττον ἀπόρων, καὶ δανείζεσθαι ὅτε δόξει αἰτεῖν, καὶ αἰτεῖν, ὅτε ἀπαιτεῖν, καὶ ἀπαιτεῖν, ὅτε αἰτεῖν· καὶ ἐπαινεῖν, ἵνα δόξῃ αἰτεῖν. καὶ τὸ ἀποτετυχηκότα, μηδὲν ἧττον· πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα· τὸ δὲ ἐπαινεῖν παρόντα, κολακείας· καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν, τὰ δὲ φαῦλα συναλείφειν. καὶ τὸ ὑπεραλγεῖν ἐπ' ἀλγοῦντι· καὶ τἄλλα πάντα ὅσα τοιαῦτα. κολακείας γὰρ σημεῖα. καὶ τὸ μὴ ὑπομένειν πόνους, οὓς οἱ πρεσβύτεροι, ἢ οἱ τρυφῶντες, ἢ οἱ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες, ἢ ὅλως οἱ ἀδυνατώτεροι. πάντα γὰρ μαλακίας σημεῖα.

κὴ τὸ ὑφ᾽ ἑτέρε δὲ πάσχειν, ἢ τὸ πολλάκις, ἢ ἃ δὲ ἐποίησεν ὀνειδίζειν· μικροψυχίας γὰρ πάντα ἢ ταπεινότητος σημεῖα. κὴ τὸ περὶ αὐτῦ λέγειν, κὴ ἐπαγγέλλεσθαι, κὴ τὸ τὰ ἀλλότρια αὐτῦ φάσκειν· ἀλαζονείας γάρ· ὁμοίως δὲ ἢ ἐπὶ τῶν ἄλλων ἑκάστης τῶν τῦ ἤθυς κακιῶν τὰ ἔργα, κὴ τὰ σημεῖα, ἢ τὰ ὅμοια· αἰσχρὰ γὰρ ἢ αἰσχυντηλά. * Καὶ ἐπὶ τέτοις τὸ τῶν καλῶν ὧν πάντες μετέχεσιν, ἢ οἱ ὅμοιοι πάντες, ἢ οἱ πλεῖστοι, μὴ μετέχειν. ὁμοίυς δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικας, συγγενεῖς, ὅλως, τὰς ἐξ ἴσε· αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν· οἷον, παιδεύσεως ἐπὶ ποσῦτον; κὴ τῶν ἄλλων ὁμοίως. πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι᾽ ἑαυτὸν φαίνηται·

& ab alio beneficium accipere, idque ſæpiùs, & alicui beneficia exprobrare turpe eſt; hæc enim ſigna ſunt animi puſilli, jejuni, atque abjecti: & de ſe ipſo prædicare, ac magna quædam polliceri: &, quæ aliorum ſunt, ſibi vendicare, quod arrogantiæ ſignum eſt. Atque eodem modo in ſingulis animi vitiis facta, indiciaque, & quæ ſunt iis ſimilia, turpia ſunt, & infamiam adferunt. * Preterea turpe eſt, non eſſe participem rerum honeſtarum, earum, inquam, quas vel generatim omnes participant, vel pares, ſimileſque univerſi, vel ſaltem plurimi: pares autem, ſimileſque voco illos, qui ſunt ejuſdem nationis, civitatis, ætatis, familiæ, denique qui æquo jure vivunt, nam omninò turpe eſt, non hujuſmodi rerum eſſe participem, ut eruditionem aliquo modo non deguſtaſſe, atque ita de reliquis. Quæ omnia turpiora ſunt, ſi ipſius culpa eveniſſe viſa fuerint, 66

ſic

ſic enim ab animi vitio magis proficiſci videntur, ſi ipſe cauſa fuerit malorum, quæ vel antea fuerunt, vel nunc adſunt, vel poſtea futura ſunt.

67 * Verecundantur autem homines, cum aut patiuntur, aut jam perpeſſi ſunt, aut ſe paſſuros intelligunt ea, quæ ignominiam, & opprobria ferre poſſunt, hujuſmodi verò ſunt ea, quæ vel ad obſcœnum corporis miniſterium, vel factorum pertinent, in quibus quis contumelia afficitur. Et quæ ad intemperantiam attinent, ſive quis volens, ſive invitus patiatur, turpe eſt, &, quæ ad violentiam, cum invitus patitur, nam hujuſmodi patientia ab ignavia & timiditate proficiſcitur, ſicut etiam injurias acceptas non ulciſci. Hæc igitur, cæteraque hujus generis, ſunt, quę homines verecundantur.

68 3 * Quoniam autem verecundia opinio quædam eſt ignominię, atque ejus ipſius gratia, non autem eorum, quæ inde proveniunt, & nemo bonam quærit famam,

οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρξάντων, ἢ ὑπαρχόντων, ἢ μελλόντων.

* Πάσχοντες δὲ, ἢ πεπονθότες, ἢ πεισόμενοι, τὰ τοιαῦτα αἰσχύνονται, ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη· ταῦτα δ' ἐστὶν, ὅσα εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστι τὸ ὑβρίζεσθαι. καὶ τὰ μὲν εἰς ἀκολασίαν, καὶ ἑκόντα καὶ ἄκοντα· τὰ δ' εἰς βίαν, ἄκοντα· ἀπὸ ἀνανδρείας γὰρ, ἢ δειλίας, ἡ ὑπομονὴ, καὶ τὸ μὴ ἀμύνεσθαι. ἃ μὲν οὖν αἰσχύνονται, ταῦτά ἐστι, καὶ τὰ τοιαῦτα.

γʹ. * Ἐπεὶ δὲ περὶ ἀδοξίας φαντασία ἐστὶν ἡ αἰσχύνη, καὶ ταύτης αὐτῆς χάριν, ἀλλὰ μὴ τῶν ἀποβαινόντων· οὐδεὶς δὲ τῆς δόξης φροντίζει, ἀλλ'

ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας, ἀνάγκη τούτους αἰσχύνεσθαι, ὧν λόγον ἔχει· λόγον δ' ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, καὶ πρὸς οὓς φιλοτιμεῖται, καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης. θαυμάζεσθαι μὲν οὖν βούλονται ὑπὸ τούτων, καὶ θαυμάζουσι τούτους, οἳ ἔχουσί τι ἀγαθὸν τῶν τιμίων· ἢ παρ' ὧν τυγχάνουσι δεόμενοι σφόδρα τινὸς, ὧν ἐκεῖνοι κύριοι· οἷον οἱ ἐρῶντες. φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους· φροντίζουσι δὲ, ὡς ἀληθευόντων τῶν φρονίμων· τοιοῦτοι δ' οἵ τε πρεσβύτεροι καὶ οἱ πεπαιδευμένοι. * Καὶ τὰ ἐν ὀφθαλμοῖς, καὶ τὰ ἐν φανερῷ·

niſi propter illos, qui de ſe exiſtimant, neceſſe eſt, homines affici verecundia propter illos, quorum rationem ducunt. Eorum autem rationem ducunt, qui ſui admiratione capti ſunt, & eorum, quos ipſi admirantur, quoſque in admirationem ſui trahere deſiderant, & quibuſcum de honore, ac dignitate contendunt, & denique quorum exiſtimationem non contemnunt. At verò ſui admirationem apud eos movere volunt, atque ipſi etiam eos admirantur, qui bonum aliquod in ſe habent eorum, quæ honore digna judicantur, & à quibus impertiri ſibi quippiam ardenter cupiunt, cujus illi domini ſunt, ut amatores. Cum paribus autem ſimilibusque de honore, ac dignitate contendunt. viros verò prudentes obſervant, tanquam eos, qui vera prædicare ſoleant, tales autem ſunt ſenes, atque eruditi. *Illa 69
etiam verecundiam movent, quæ in oculis omnium, ac propalam fiunt, unde

unde etiam proverbium
illud, *pudorem in oculis
eſſe*. Atque hac de cauſa
magis eos verecundamur,
qui ſemper nobiſcum futu-
ri ſunt, & qui noſtras ad-
vertunt actiones, eo quòd
hæc utraque ſint in ocu-
70 lis. * Et eos, qui eidem
culpæ minimè ſunt obno-
xii, perſpicuum eſt enim,
eos in contraria eſſe ſen-
tentia, &, qui minimè
proclives ſunt ad igno-
ſcendum eis, qui peccare
videantur: nam, quæ ali-
quis ipſe facit, ea dicitur
vicinis non vitio vertere.
Quare, quæ non facit
ſine dubitatione vitio ver-
71 tit. * Eos quoque ve-
remur, qui omnia faci-
lè enuntiant. Nihil e-
nim differt, non vide-
ri peccaſſe, & peccatum
non enunciari. Illi ve-
rò facilè enuntiant, qui
injuriam acceperunt, eo
quòd obſervare ſoleant:
& maledici, nam, ſi ni-
hil peccantibus detra-
hunt, quanto magis pec-
cantes invadent? & qui
in notandis proximo-
rum peccatis occupati
ſunt, quales ſunt deriſo-
res, & comici poetæ;

ὅθεν καὶ ἡ παροιμία, Τὸ ἐν ὀφθαλμοῖς εἶναι αἰδῶ.

Διὰ τοῦτο τοὺς ἀεὶ παρεσομένους μᾶλλον αἰσχύνονται, καὶ τοὺς προσέχοντας αὐτοῖς, διὰ τὸ ἐν ὀφθαλμοῖς ἀμφότερα. * Καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους· δῆλον γὰρ ὅτι τἀναντία δοκεῖ τούτοις. καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις ἁμαρτάνειν· ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν· ὥστε ἃ μὴ ποιῇ, δῆλον ὅτι νεμεσᾷ. *Καὶ τοὺς ἐξαγγελτικοὺς πολλοῖς· οὐδὲν γὰρ διαφέρει μὴ δοκεῖν, ἢ μὴ ἐξαγγέλλειν. ἐξαγγελτικοὶ δὲ, οἵ τε ἠδικημένοι, διὰ τὸ παρατηρεῖν, καὶ οἱ κακολόγοι· εἴπερ γὰρ καὶ τοὺς μὴ ἁμαρτάνοντας, ἔτι μᾶλλον τοὺς ἁμαρτάνοντας· καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ κωμῳδοποιοῖς.

κακο-

κακολόγοι γάρ πως οὗτοι, καὶ ἐξαγγελτικοί. * Καὶ ἐν οἷς μηδὲν ἀποτετυχήκασιν· ὥσπερ γὰρ θαυμαζόμενοι διάκεινται· διὸ καὶ τοὺς πρῶτόν τι δεηθέντας αἰσχύνονται, ὡς οὐδέν πω ἠδοξηκότες ἐν αὐτοῖς· τοιοῦτοι δὲ οἵ τε ἄρτι βουλόμενοι φίλοι εἶναι· τὰ γὰρ βέλτιστα τεθέανται. διὸ εὖ ἔχει ἡ τοῦ Εὐριπίδου ἀπόκρισις πρὸς τοὺς Συρακουσίους. καὶ τῶν πάλαι γνωρίμων οἱ μηδὲν συνειδότες. * Αἰσχύνονται δ' οὐ μόνον αὐτὰ τὰ ῥηθέντα αἰσχυντηλὰ, ἀλλὰ καὶ τὰ σημεῖα, οἷον, οὐ μόνον ἀφροδισιάζοντες, ἀλλὰ καὶ τὰ σημεῖα αὐτοῦ. καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρὰ, ἀλλὰ καὶ λέγοντες· ὁμοίως δὲ οὐδὲ τοὺς εἰρημένους αἰσχύνονται μόνον;

nam hi quoque quodammodo maledici ſunt, & peccata enuntiant. * Eos 72
etiam veremur, apud quos voti compotes ſemper fuimus: ii enim nos admirari quodammodo videntur. Atque ideo veremur etiam eos, qui tunc primùm à nobis aliquid petunt, quippe cum apud eos nihil adhuc exiſtimatio noſtra læſa. Tales etiam ſunt ii, qui nobis amici fieri deſiderant, conſpexerunt enim, quæ optima ſunt in nobis. Quare Euripidis reſponſum ad Syracuſanos jure laudatur. Veteres quoque familiares noſtros veremur, qui nullius flagitii nobis conſcii ſunt.
* Solent autem verecun- 73
dari homines non ſolùm in eis, quæ dicta ſunt, quæ re vera ſunt obſcœna, ſed etiam in eis, quæ ſigna ſunt, ut non modò cum Veneri indulgent, ſed etiam, cum ejus rei ſignum aliquod edunt, neque tantùm cum turpia faciunt; ſed etiam, cum de illis loquuntur. Eodem modo non tantùm prędictos homines veremur;

ſed

ſed eos etiam, qui poſſunt illis, quæ fiunt à nobis, enuntiare, quales ſunt eorum ſervi, aut amici.
74 * Nihil autem omninò veremur eos, quos valdè contemnimus, & quibus non credi ſolere putamus, nemo eſt enim qui puerulos, aut belluas vereatur. Neque eadem de cauſa veremur familiares, & externos; nam familiares in rebus veremur, quæ ad veritatem ſpectant: externos verò in eis, quæ ad opinionem, & inſtituta.

75 4 * Qui autem verecundia capiuntur, ita ſunt affecti, primò ſi apud ſe habeant hujuſmodi homines, quales diximus eos eſſe, quos vereri ſolemus. Tales autem erant, vel qui nobis admirationi ſunt, vel qui nos admirantur, vel quibus admirationi nos eſſe cupimus, vel quorum ope aliqua in re indigemus, quam non obtineremus, ſi exiſtimationem perdidiſſemus. Atque hi vel ſi præſentes ſint, ac videant, quemadmodum Cydias in concione dixit, cum de Samiorum agrorum diviſione tractaretur:

ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς· οἷον, θεράποντας ἢ φίλους τούτων. *Ὅλως δ' οὐκ αἰσχύνονται, οὔθ' ὧν πολλοὶ καταφρονοῦσι τῆς δόξης τοῦ ἀληθεύειν· οὐδεὶς γὰρ παιδία ἢ θηρία αἰσχύνεται· οὔτε τὰ αὐτὰ τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶτας, ἀλλὰ τοὺς μὲν γνωρίμους, τὰ πρὸς ἀλήθειαν δοκοῦντα· τοὺς δὲ ἄποθεν, τὰ πρὸς τὸν νόμον.

δ'. * ΑΥτοὶ δὲ ὧδε διακείμενοι, αἰσχυνθεῖεν ἄν· πρῶτον μὲν, εἰ ὑπάρχοιεν πρὸς αὐτοὺς ἔχοντες οὕτω τινὲς, οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται. ἦσαν δὲ οὗτοι, ἢ θαυμαζόμενοι, ἢ θαυμάζοντες, ἢ ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ ὧν δέονταί τινα χρείαν, ὧν μὴ τεύξονται ἄδοξοι ὄντες· καὶ οὗτοι οἱ ὁρῶντες, ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρουχίας ἐδημηγόρησεν.

ἠξίου

ἠξίȣ γὰρ ὑπολαβεῖν τȣ̀ς Ἀθηναίȣς, περιεστάναι κύκλῳ τȣ̀ς Ἕλληνας, ὡς ὁρῶντας, καὶ μὴ μόνον ἀκȣσομένȣς ἃ ἂν ψηφίσωνται, ἢ ἂν πλησίον ὦσιν οἱ τοιȣ̃τοι, ἢ μέλλωσιν αἰσθήσεσθαι· διὸ καὶ ὁρᾶσθαι ἀτυχȣ̃ντες ὑπὸ τῶν ζηλȣ́ντων ποτὲ, ȣ̓ βȣ́λονται· θαυμαςαὶ γὰρ οἱ ζηλωταί. * Καὶ ὅταν ἔχωσιν ἃ καταισχυνȣ̃σιν ἔργα καὶ πράγματα, ἢ ἑαυτῶν, ἢ προγόνων, ἢ ἄλλων τινῶν, πρὸς ȣ̃ς ὑπάρχει τις αὐτοῖς ἀγχιςεία. καὶ ὅλως ὑπὲρ ὧν αἰσχύνονται αὐτοί. εἰσὶ δὲ ȣ̃τοι οἱ εἰρημένοι, καὶ οἱ εἰς αὐτȣ̀ς ἀναφερόμενοι, ὧν διδάσκαλοι ἢ σύμβȣλοι γεγόνασι. καὶ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι, πρὸς ȣ̃ς φιλοτιμȣ̃νται·

rogabat enim Athenienſes, ut mentibus ſuis
cogitarent, omnes Græcos non ſolùm audituros
eſſe, ſed etiam in corona
ſtare, atque adeſſe, ut ſpectarent, quæ ab ipſis decernerentur: vel ſi in
propinquo loco ſint, & facilè percepturi, quæ à
nobis fiant. Quare, qui
in calamitate ſunt, ab iis
conſpici nolunt, qui ipſos
olim æmulabantur: nam
qui æmulantur, etiam
admirari ſolent. * Quin 76
etiam illi pudore afficiuntur, quicunque aliquid habent, quod dedecus adferat vel à ſe commiſſum, vel à majoribus
ſuis; vel ab aliis quibuſdam, quibuſcum propinquitate aliqua conjuncti
ſunt: & denique quorum infamiam ad ſe
pertinere putant. Tales
autem ſunt ii, quos prædiximus, & prætereà qui
ex ipſis pendent, ut
quorum magiſtri aut
conſiliarii fuerunt. Pretereà pudore afficiuntur, qui pares aliquos ſimileſque habent,
quibuſcum de honore, ac dignitate certant.

*Mul-

77 * Multa enim eorum verecundia commoti faciunt, & multa etiam prætermittunt. 78 * Et cum in conſpectu eorum futuri ſunt, & cum eis verſaturi, qui peccati conſcii ſunt, magis etiam tunc verecundantur. Unde Antiphon poeta, cum juſſu Dionyſii ad ſupplicium duceretur, & videret alios, qui unà ſecum erant morituri, cum è carcere exirent, capita obvolvere, dixit:

Quid eſt, quòd capita obvolvatis?
An veremini, ne quis horum cras vos videat?

De verecundia igitur hæc dicta ſint, quæ verò ad inverecundiam pertinent, ex contrariis erunt manifeſta.

* Πολλὰ γὰρ αἰσχυνόμενοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσι. * Καὶ μέλλοντες ὁρᾶσθαι, καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς συνειδόσιν αἰσχυντηλοὶ μᾶλλόν εἰσιν· ὅθεν καὶ Ἀντιφῶν ὁ ποιητὴς μέλλων ἀποτυμπανίζεσθαι ὑπὸ Διονυσίου, εἶπεν, ἰδὼν τοὺς συναποθνήσκειν μέλλοντας ἐγκαλυπτομένους ὡς ᾔεσαν διὰ τῶν πυλῶν,

Τί ἐγκαλύπτεσθε; ἔφη·
Ἦ μὴ αὔριόν τις ὑμᾶς ἴδῃ τούτων;

περὶ μὲν οὖν αἰσχύνης, ταῦτα· περὶ δὲ ἀναισχυντίας, δῆλον ὡς ἐκ τῶν ἐναντίων εὐπορήσομεν.

CAPUT

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

CAPUT VII.

De gratia, & de arte gratiam amplificandi, & minuendi.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Definitur gratia, ſcilicet gratia eſt per quam, qui poſſidet &c.*

2 *Ex adjunctis, & antecedentibus cognoſci poſſe, utrum gratia ſit magna, an parva, ſit facta, an non facta, & quomodo poſſit amplificari, vel imminui.*

α. * ΤΙΣΙ δὲ χάριν ἔχουσι, καὶ ἐπὶ τίσιν, ἢ πῶς αὐτοὶ ἔχοντες, ὁρισαμένοις τὴν χάριν, δῆλον ἔσται. ἔστω δὴ χάρις, καθ᾽ ἣν ὁ ἔχων λέγεται χάριν ὑπουργεῖν τῷ δεομένῳ, μὴ ἀντί τινος, μηδ᾽ ἵνα τι αὐτῷ τῷ ὑπουργοῦντι, ἀλλ᾽ ἵνα ἐκείνῳ τι.

β. * Μεγάλη δ᾽ ἄν, ἢ σφόδρα δεομένων, ἢ μεγάλων καὶ χαλεπῶν, ἢ ἐν καιροῖς τοιούτοις, ἢ μόνος, ἢ πρῶτος, ἢ μάλιστα.

1 * QUIBUS autem hominibus gratiam habeamus, & quibus de cauſis, & quomodo affecti, tunc erit perſpicuũ, cum gratiã ipſam definiverimus. Sit igitur illa gratia, per quam is, qui facultatem habet, dicitur egenti beneficium ſuppeditare, non quòd aliquid jam acceperit, neque quod utilitatem aliquam inde ſperet; ſed tantùm, ut illi commodet, cui beneficium tradit. 79

2 * Magna verò illa gratia eſt, quæ valdè egentibus præſtatur, vel quæ magna, & ardua tribuit, vel quæ opportunè fit; vel quam aut ſolus, aut primus, aut copioſè præſtitit. 80

In-

Indigentiæ verò ſunt appetitiones, atque illæ præcipuè, quæ nos agunt; cum eas explere non poſſumus; tales ſunt omnes cupiditates, ut amor: & cum quis eſt in aliquo dolore corporis, aut in periculo, nam qui periclitatur, & qui dolet, concupiſcit. Atque hac de cauſa, qui paupertate premuntur, & qui in exilio ſunt, ſi quis eis in minimis etiam rebus ſubveniat, propterea quòd multùm indigent, & in tali tempore conſtituti ſunt, magnum ſe beneficium accepiſſe exiſtimant: ut, qui ſtoream in Lyceo præbuit. Oportet igitur in hujuſmodi rebus, ac temporibus ſubvenire, quod ſi non ſint ejuſmodi, ſaltem ſint vel paria, vel majo-
81 ra. *Cum igitur planum factum ſit, & quando, & quibus in rebus beneficium fiat, & quomodo affecti ſint ii, qui faciunt, perſpicuum eſt etiam, his rationibus præparandos eſſe auditores, ut demonſtret orator, hos quidem aut eſſe, aut fuiſſe in hujuſmodi triſtitia, atque indigentia:

δεήσεις γέ εἰσιν, αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου· τοιαῦται δὲ αἱ ἐπιθυμίαι, οἷον, ὁ ἔρως, καὶ ἐν ταῖς τοῦ σώματος κακώσεσι, καὶ ἐν κινδύνοις. καὶ γὰρ ὁ κινδυνεύων ἐπιθυμεῖ, καὶ ὁ λυπούμενος· διὸ οἱ ἐν πενίᾳ παρεστάμενοι καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσι, διὰ τὸ μέγεθος τῆς δεήσεως, καὶ τὸν καιρὸν κεχαρισμένοι· οἷον, ὁ ἐν Λυκείῳ τὸν φορμὸν δούς. ἀνάγκη οὖν μάλιστα μὲν εἰς τοιαῦτα ἔχειν τὴν ὑπουργίαν· εἰ δὲ μή, εἰς ἴσα, ἢ μείζω. * Ὥστ' ἐπεὶ φανερὸν καὶ ὅτε, καὶ ἐφ' οἷς γίγνεται χάρις, καὶ πῶς ἔχουσι, δῆλον ὅτι ἐκ τούτων παρασκευαστέον, τοὺς μὲν δεικνύντας, ἢ ὄντας, ἢ γεγενημένους ἐν τοιαύτῃ λύπῃ καὶ δεήσει.

τοὺς

τοὺς δὲ, ὑπηρετῆσαι ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ὑπηρετοῦντας. φανερὸν δὲ καὶ ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται τὴν χάριν. καὶ ποιεῖν ἀχαρίστους· ἢ γὰρ ὅτι αὑτῶν ἕνεκα ὑπηρετοῦσιν, ἢ ὑπηρέτησαν, τοῦτο δ' οὐκ ἦν χάρις· ἢ ὅτι ἀπὸ τύχης συνέπεσεν, ἢ ἠναγκάσθησαν, ἢ ὅτι ἀπέδωκαν, ἀλλ' οὐκ ἔδωκαν, εἴτε εἰδότες, εἴτε μή· ἀμφοτέρως γὰρ τὶ ἀντὶ τίνος· ὥστ' οὐδ' οὕτως ἂν εἴη χάρις. καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον· ἡ γὰρ χάρις ἐστὶν, ἢ ὅτι τοδὶ, ἢ τοσονδὶ, ἢ τοιονδὶ, ἢ ποτὲ, ἢ ποῦ. σημεῖον δὲ, εἰ ἔλαττον μὴ ὑπηρέτησαν· καὶ εἰ τοῖς ἐχθροῖς, ἢ ταὐτὰ, ἢ ἴσα, ἢ μείζω· δῆλον γὰρ ὅτι οὐδὲ ταῦτα ἡμῶν ἕνεκα.

illos autem in tali neceſſitate ſuppeditaſſe aliquid, quod eos ſubvelare poſſet. Ex his etiam facilè perſpici poteſt, quomodò removeri gratia poſſit, & effici, ne beneficium præſtitiſſe videantur; vel enim dicemus eos commodi ſui gratia ſubvenire, aut jam ſubveniſſe, quod beneficium vocari non debet: vel caſu, fortuitòque accidiſſe, vel neceſſitate coactos ſubveniſſe: vel eos beneficium rediſſe, non autem dediſſe, ſive illi ſe debere ſcirent, ſive ignorarent: nam utroque modo aliquid pro aliquo redditur: quare neque hoc modo beneficium eſt. Singula etiam ſumma genera conſideranda ſunt: nam beneficium eſt, vel quod rem hanc tradidit, vel tantam, vel talem, vel tali tempore, vel in opportuno loco. Signum autem non benevoli animi eſt, ſi in re minori non ſubvenerunt; aut, ſi inimicis eadem commoda, vel ęqualia, vel majora tribuerunt: tunc enim perſpicuum eſt, eos noſtri cauſa nequaquam ea feciſſe,

vel ſi quis ſciens res viles, & abjectas tribuat; nemo enim eſt, qui ſe vilibus, & abjectis rebus egere fateatur. Ac de gratia quidem collata, aut non collata ſatis di-
82 ctum ſit. * Quæ autem res miſerabiles ſint, & quorum hominum miſereamur, quomodoque ipſi affecti, deinceps dicamus.

ἢ εἰ φαῦλα εἰδώς· οὐδεὶς γὰρ ὁμολογεῖ δεῖσθαι φαύλων· καὶ περὶ μὲν τοῦ χαρίζεσθαι καὶ ἀχαριστεῖν, εἴρηται: * Ποῖα δ' ἐλεεινὰ, καὶ τίνας ἐλεοῦσι, καὶ πῶς αὐτοὶ ἔχοντες, λέγωμεν.

CAPUT VIII.

De miſericordia, & de arte miſericordiam excitandi.

DIVISIO CAPITIS IN PARTES QUINQUE.

1 *Definitur miſericordia, ſcilicet dolor quidam &c.*
2 *Quomodò affecti facilè miſericordes ſint.*
3 *Ob quas res miſericordes ſint.*
4 *Quorum miſereantur.*
5 *Proponuntur quædam, quæ ad miſericordiam excitandam, augendamque maximè valent.*

83 1 * EST autem miſericordia, quædam ægritudo ſuſcepta ex opinione mali, quod aut interitum, aut dolorem adferat ei, qui illa fortuna ſit indignus. In quod quidem malum, fieri poſſe putamus, ut vel nos incidamus,

α'. * ΕΣΤΩ δὴ ἔλεος, λύπη τις ἐπὶ φαινομένῳ κακῷ φθαρτικῷ ἢ λυπηρῷ τοῦ ἀναξίου τυγχάνειν, ὃ κἂν αὐτὸς προσδοκήσειεν ἂν παθεῖν,

ἢ τῶν

ἢ τῶν αὐτοῦ τινά· καὶ τοῦτο, ὅταν πλησίον φαίνηται.

β΄. * Δῆλον γὰρ ὅτι ἀνάγκη τὸν μέλλοντα ἐλεήσειν ὑπάρχειν τοιοῦτον· οἷον, οἴεσθαι παθεῖν ἄν τι κακὸν, ἢ αὐτὸν, ἢ τῶν αὐτοῦ τινὰ, καὶ τοιοῦτον κακὸν, οἷον εἴρηται ἐν τῷ ὅρῳ· ἢ ὅμοιον, ἢ παραπλήσιον. * Διὸ, οὔτε οἱ παντελῶς ἀπολωλότες ἐλεοῦσιν· οὐδὲν γὰρ ἂν ἔτι παθεῖν οἴονται· πεπόνθασι γάρ. οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν. εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθὰ, δῆλον, ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν τι κακόν· καὶ γὰρ τοῦτο τῶν ἀγαθῶν. * Εἰσὶ δὲ τοιοῦτοι, οἷοι νομίζειν παθεῖν ἄν. οἵτε πεπονθότες ἤδη καὶ διαπεφευγότες, καὶ οἱ πρεσβύτεροι, καὶ διὰ τὸ φρονεῖν, καὶ δι' ἐμπειρίαν.

vel eorum aliquis, qui cari nobis eſſe debent: & præſertim, cum id malum propinquum eſſe videtur.

2 *Illud enim planum 84
eſt neceſſe eſſe, ut is, qui moveri miſericordia debet, talis ſit, ut aliquid mali pati poſſe exiſtimet, aut ſe, aut ſuorum quempiam: & malum ejuſmodi, quale dictum eſt in definitione, aut illi ſimile, aut propinquum. *At- 85
que hac de cauſa, qui omninò perditi ſunt, miſericordia non moventur; nihil enim ampliùs ſe paſſuros exiſtimant, cum jam perpeſſi ſint, & qui ſe valdè fortunatos exiſtimant, nam hi potiùs contumelioſi ſunt: cum enim omnia ſibi adeſſe bona cenſeant, planum eſt, eos non timere, ne aliquid mali patiantur; nam hoc etiam ipſum bonum eſt.
*Ii verò putant, ſe in 86
aliquod malum cadere poſſe, qui anteà paſſi quidem ſunt, ſed incolumes evaſerunt. Atque etiam ſenes cùm propter prudentiam, tùm propter uſum multarum rerum:

& imbecilli, & ii, qui natura timidiores ſunt, & qui doctrina ſunt exculti; nam hi res humanas benè reputant: & qui parentes, aut liberos, aut conjuges habent; hæc enim ipſorum ſunt, & prę-
87 dictis malis expoſita. * Et qui in fortitudinis affectione non ſunt, ut in iracundia, aut confidentia: nam hujuſmodi affectiones, quid futurum ſit, non cogitant, & qui nequaquam ad contumeliam proclives ſunt; nam hujuſmodi homines, qui contumelioſi ſunt, non cogitant, ſe malum aliquod pati poſſe. Sed qui inter hos interjecti ſunt, miſericordes eſſe ſolent: neque rursùs ii, qui in magno timore poſiti ſunt, neque enim miſericordia moventur metu perculſi; quoniam de propria ſa-
88 lute ſoliciti ſunt. * Et qui putant aliquos æquos, & bonos eſſe, miſericordia moventur: nam qui neminem probum eſſe putat, is omnes homines malo dignos eſſe judicabit. Atque omninò talis eſt quiſque,

καὶ οἱ ἀσθενεῖς. καὶ οἱ δειλότεροι μᾶλλον, καὶ οἱ πεπαιδευμένοι· εὐλόγιστοι γάρ. καὶ οἷς ὑπάρχουσι γονεῖς, ἢ τέκνα, ἢ γυναῖκες· αὐτοῦ τε γὰρ ταῦτα, καὶ οἷα παθεῖν τὰ εἰρημένα. * Καὶ μήτε ἐν ἀνδρείας πάθει ὄντες, οἷον ἐν ὀργῇ ἢ θάρρει· ἀλόγιστα γὰρ τοῦ ἐσομένου ταῦτα, μήτ' ἐν ὑβριστικῇ διαθέσει. καὶ γὰρ οὗτοι ἀλόγιστοι τοῦ πείσεσθαί τι. ἀλλ' οἱ μεταξὺ τούτων. μήτ' αὖ φοβούμενοι σφόδρα· οὐ γὰρ ἐλεοῦσιν οἱ ἐκπεπληγμένοι διὰ τὸ εἶναι πρὸς τῷ οἰκείῳ πάθει. * Κἂν οἴωνταί τινας εἶναι ἐπιεικεῖς· ὁ γὰρ μηδένα οἰόμενος, πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ. ὅλως δὴ, ὅταν ἔχῃ οὕτως,

ὡς

ὡς ἀναμνησθῆναι τοιαῦτα συμβεβηκότα ἢ αὐτῷ, ἢ τῶν αὐτοῦ· ἢ ἐλπίσαι γενέσθαι, ἢ αὐτῷ, ἢ τῶν αὐτοῦ. ὡς μὲν οὖν ἔχοντες ἐλεοῦσιν, εἴρηται.

γ'. * Ἃ δὲ ἐλεοῦσιν, ἐκ τοῦ ὁρισμοῦ δῆλον. ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ ὀδυνηρῶν φθαρτικὰ πάντα ἐλεεινά· καὶ ὅσα ἀναιρετικά· καὶ ὅσων ἡ τύχη αἰτία κακῶν, μέγεθος ἐχόντων. ἔστι δὲ, ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ, θάνατοι, καὶ αἰκίαι, καὶ σωμάτων κακώσεις, καὶ γῆρας, καὶ νόσοι, καὶ τροφῆς ἔνδεια. ὧν δὲ ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία. διὸ καὶ τὸ διεσπᾶσθαι ἀπὸ τῶν φίλων καὶ συνήθων, ἐλεεινόν. αἶσχος, ἀσθένεια, ἀναπηρία· καὶ τὸ ὅθεν προσῆκεν ἀγαθόν τι πρᾶξαι, κακόν τι συμβῆναι. καὶ τὸ πολλάκις τοιοῦτο.

cum recordatur ſibi, aut ſuis talia mala eveniſſe, vel timet, ne aliquandò aut ſibi, aut ſuis eveniant. Quomodò igitur affecti homines miſericordia moveantur dictum eſt.

3 * Quæ verò miſerabilia ſint, ex definitione ſatis patet: quæ enim ægritudinem, & dolorem adferunt, & ad interitum perducunt, omnia miſerabilia ſunt, & quæcunque perdendi, & deſtruendi vim habent, & quæ mala à fortuna proveniunt: magnaque ſunt. Quæ verò dolorem adferunt, & interitum, ſunt mortes, verbera, corporum vexationes, ſenectus, morbi, & cibi penuria, quæ à fortuna proveniunt; mala hęc ferè ſunt, amicis penitùs ſpoliari, aut cum paucis relinqui, quo fit, ut miſerabile ſit ab amicis, & familiaribus divelli: deformitas, imbecillitas corporis, membri alicujus privatio: & unde bonum aliquod provenire oportebat, inde malum accidere, atque hoc ſæpiùs evenire, 89

K 3 &cum

& cum bonum aliquod tunc accidit, cum jam prodeſſe non poteſt, ut Diopithi, qui cum ei à rege munera miſſa fuiſſent, mortuus eſt inventus: & ſicut nihil unquam boni accidit, vel ſi accidit, eo frui non potuit. Atque hæc quidem, & cætera hujuſmodi ſunt, quæ homines ad miſericordiam moveant.

90 4 * Miſerentur autem eorum, qui familiares ſunt, niſi fortè ſint magna neceſſitudine conjuncti, nam hos non aliter, ac ſe ipſos habent. Itaque Amaſis, cum ad ſupplicium duci filium ſuum videret, lachrymas non effudit, ut fertur: cum autem amicum mendicantem conſpexiſſet, tunc illacrymavit: hoc enim miſerabile eſt, illud verò atrox, & terribile; quod enim atrox eſt, differt ab eo, quod eſt miſerabile; quippe quod ejiciendi miſericordiam vim habeat, & ſæpiùs in contrarium valet. Moventur etiam miſericordia, cum intelligunt rem atrocem eſſe propinquam.

καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν. οἷον, Διοπείθει τὰ παρὰ βασιλέως, τεθνεῶτι κατεπέμφθη· καὶ τὸ, ἢ μηδὲν γεγενῆσθαι ἀγαθὸν, ἢ γενομένων μὴ εἶναι ἀπόλαυσιν. ἐφ' οἷς μὲν οὖν ἐλεοῦσι, ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν.

δ'. * Ἐλεοῦσι δὲ τούς τε γνωρίμους, ἐὰν μὴ σφόδρα ἐγγὺς ὦσιν οἰκειότητι. περὶ δὲ τούτους, ὥσπερ περὶ αὐτοὺς μέλλοντας ἔχουσι· διὸ καὶ Ἄμασις ἐπὶ μὲν τῷ ὑεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν, οὐκ ἐδάκρυσεν, ὥς φασιν· ἐπὶ δὲ τῷ φίλῳ προσαιτοῦντι. τοῦτο μὲν γὰρ ἐλεεινὸν, ἐκεῖνο δὲ δεινόν· τὸ γὰρ δεινὸν, ἕτερον τοῦ ἐλεεινοῦ, καὶ ἐκκρουστικὸν τοῦ ἐλέου, καὶ πολλάκις τῷ ἐναντίῳ χρήσιμον. ἔτι ἐλεοῦσιν, ἐγγὺς αὐτοῦ τοῦ δεινοῦ ὄντος.

καὶ

καὶ τοὺς ὁμοίους ἐλεοῦσι, κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ ἀξιώματα, κατὰ γένη· ἐν πᾶσι γὰρ τούτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι· ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν, ὅτι ὅσα ἐφ' αὑτῶν φοβοῦνται, ταῦτα ἐπ' ἄλλων γιγνόμενα ἐλεοῦσιν.

ε. * Ἐπεὶ δ' ἐγγὺς φαινόμενα τὰ πάθη, ἐλεεινά ἐστι· τὰ δὲ μυριοστὸν ἔτος γενόμενα, ἢ ἐσόμενα, οὔτ' ἐλπίζοντες, οὔτε μεμνημένοι, ἢ ὅλως οὐκ ἐλεοῦσιν, ἢ οὐχ ὁμοίως, ἀνάγκη τοὺς συναπεργαζομένους σχήμασι καὶ φωναῖς καὶ ἐσθῆτι, καὶ ὅλως τῇ ὑποκρίσει, ἐλεεινοτέρους εἶναι· ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι, τὸ κακὸν πρὸ ὀμμάτων ποιοῦντες, ἢ ὡς μέλλον, ἢ ὡς γεγονός.

*Parium etiam, ac ſimilium 91
miſerentur: ſunt autem pares, ac ſimiles vel ætate, vel moribus, vel habitibus, vel dignitate, vel genere: in his enim omnibus magis apparet, eiſdem periculis expoſitos eſſe: nam omninò hoc etiam in loco ita ſtatuendum eſt; omnia, quæ ne accidant nobis timemus, cum aliis evenerint, ſolere nos ad miſericordiam commovere.

5 * Quoniam autem res 92
acerbæ, cum prope eſſe videntur, miſericordiam movent; cum autem longè abſunt, ut quæ multis annis anteà fuerunt, aut poſt futura ſunt, quas neque timent, neque recordantur, vel non omninò miſericordia illarum moventur, vel non eodem modo, neceſſe eſt eos, qui repræſentantur formis, vocibus, veſtitu, ac denique actione longè miſerabiliores eſſe. hoc enim modo efficiunt, ut malum propè videatur, cum ipſum oculis ſubjiciant, quod aut futurum eſt, aut jam præteriit.

Atque hac de cauſa, quæ nuper acciderunt, aut brevi futura ſunt, miſerabiliora videntur: quin etiam ipſa indicia, atque facta, ut veſtes illorum, qui caſus acerbos pertulerunt, & quæ ſunt ejus generis, & orationes, quas habuerunt ii, qui eſſent in calamitate, ut qui jam jam eſſent morituri. Maximè verò miſeratio concitatur, ſi in illis acerbiſſimis caſibus fortes, & coſtanti animo fuiſſe dicantur: nam hæc omnia quia vicina videntur, magis miſericordiam movent, quòd qui patitur, ea fortuna ſit indignus, & acerbitas illa quaſi oculis ſubjiciatur.

καὶ τὰ γεγονότα ἄρτι, ἢ μέλλοντα διὰ ταχέων, ἐλεεινότερα διὰ τὸ αὐτό· καὶ τὰ σημεῖα, καὶ τὰς πράξεις· οἷον, ἐσθῆτάς τε τῶν πεπονθότων, καὶ ὅσα τοιαῦτα· καὶ λόγους τῶν ἐν τῷ πάθει ὄντων, οἷον ἤδη τελευτώντων. καὶ μάλιστα τὸ σπουδαίους εἶναι, ἐν τοῖς τοιούτοις καιροῖς ὄντας, ἐλεεινόν ἐστι· ἅπαντα γὰρ ταῦτα, διὰ τὸ ἐγγὺς φαίνεσθαι, μᾶλλον ποιεῖ τὸν ἔλεον· καὶ ὡς ἀναξίου τε ὄντος, καὶ ἐν ὀφθαλμοῖς φαινομένου τοῦ πάθους.

CAPUT IX.

De indignatione, quo pacto miſericordiæ opponatur, & ab invidia differat.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Definitur indignatio, & ex definitione edita, miſericordiæ opponi oſtenditur, ut uterque affectus ſit honeſtus.*
2 *Licet quædam affinitas ſit inter indignationem, & invidiam, indignationem ab invidia diſtingui.*
3 *Ob quas res, & quibus indignari ſoleant.*
4 *Quomodo affecti facilè indignentur.*

ά. * Ἀντίκειται δὲ τῷ ἐλεεῖν, μάλιστα μὲν, ὃ καλοῦσι νεμεσᾶν· τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις, ἀντικείμενόν ἐστι τρόπον τινὰ, καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις. καὶ ἄμφω τὰ πάθη ἤθους χρηστοῦ·

1 * Miſericordiæ verò maximè opponitur illa, quæ nemeſis dicitur, quam nos indignationem appellare poſſumus; nam alicujus infortunio, qui indignè patiatur, angi, ac dolere, quamvis ab eiſdem moribus proficiſcatur; tamen ei quodammodò contrarium eſt, quod eſt dolere proſpera alicujus fortuna, quòd ea ſit indignus. Atque hæ commotiones ambæ bonæ indolis, ac naturæ ſunt: 93

 de-

decet enim cum eis dolere, atque eorum miſereri, qui mali aliquid indignè patiuntur: illis autem indignari, qui præter merita ſua fortunati ſunt; quicquid enim præter dignitatem accidit, injuſtum eſt. Atque hac de cauſa deis etiam ipſis hoc attribuimus, ut indignentur.

94 2. *Poſſet autem aliquis ſuſpicari, invidiam miſericordiæ eodem modo eſſe contrariam, tanquam vicina ſit, & eadem, quæ nemeſis: ſed ab ea diverſa eſt; quamvis enim etiam invidia ſit ægritudo, quę animum perturbat ob alterius res ſecundas: non tamen ob ejus res ſecundas, qui ſit indignus, ſed qui ſit æqualis, aut ſimilis. Commune autem eſt omnium, qui invident, & qui indignantur, ut id efficiant, non quia ſibi detrimentum aliquod ex eo provenire poſſit; ſed quia bonum, cui nollent, acciderit: neque enim jam eſſet invidia, aut nemeſis, ſed potiùs metus, ſi quis ideò doleret, aut perturbaretur;

δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς, συνάχθεσθαι καὶ ἐλεεῖν· τοῖς δὲ εὖ, νεμεσᾶν· ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον· διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν.

β'. * Δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον, ὡς σύνεγγυς ὂν καὶ ταὐτὸν τῷ νεμεσᾶν· ἔστι δ' ἕτερον· λύπη γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶ, καὶ εἰς εὐπραγίαν, ἀλλ' οὐ τοῦ ἀναξίου, ἀλλὰ τοῦ ἴσου καὶ ὁμοίου· τὸ δὲ, μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν· οὐ γὰρ ἔτι ἔσται, τὸ μὲν, φθόνος, τὸ δὲ, νέμεσις, ἀλλὰ φόβος, ἂν διὰ τοῦτο ὑπάρχῃ ἡ λύπη καὶ ἡ ταραχή·

ὅτι

ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας. * Φανερὸν δ' ἐστὶ, ὅτι ἀκολουθήσει καὶ τὰ ἐναντία πάθη τούτοις· ὁ μὲν γὰρ λυπούμενος ἐπὶ τοῖς ἀναξίοις κακοπραγοῦσιν, ἡσθήσεται, ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίοις κακοπραγοῦσιν· οἷον, τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός· δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις· ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν· ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ· ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἂν ἅπερ τῷ ὁμοίῳ, καὶ αὐτῷ. καὶ ἔστι τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα. τὰ δ' ἐναντία τοῦ ἐναντίου· ὁ γὰρ αὐτός ἐστιν ἐπιχαιρέκακος καὶ φθονερός·

quòd ex alterius bona for-
tuna ſibi malum aliquod
eſſet eventurum. * Illud 95
verò perſpicuum eſt, di-
verſas animi affectiones ab
invidia, atque ab indigna-
tione concitari: nam qui
mœrore conficitur, cum
videt indignos adverſa
fortuna concuti, idem
lætabitur, aut ſaltem
dolore carebit, cum vi-
derit malo dignos homi-
nes infortuniis agitari: ne-
que enim quiſquam vir
probus dolorem concipiet,
cùm parricidas, aut ſica-
rios extremum pati ſup-
plicium intellexerit; de-
cet enim in rebus ejuſmodi
gaudere: quemadmodum
etiam, cum aliquis pro
dignitate fortunatus eſt,
& benè rem ſuam gerit:
hæc enim ambo juſta ſunt,
& bono viro lætitiam
adferunt: nam neceſſe eſt,
ut ſperet ad ſe quoque
perventura eſſe commoda,
quæ ſui ſimilis conſecutus
eſt. Hæc autem omnia
ſunt ejuſdem vitæ, atque
naturæ, ſicuti contraria
contrarios etiam mores in-
dicant: idem eſt enim,
qui malis aliorum delecta-
tur, & qui eſt invidus;

nam ex qua re quiſpiam angitur, cum oritur, aut jam adeſt, neceſſe eſt hunc eadem gaudere, cum eam videt evaneſcere, atque
96 interire. * Quapropter hæc omnia miſericordiam excitari prohibent. Inter ſe verò differunt iis de cauſis, quæ traditæ ſunt: & omnia æqualiter utilia ſunt ad efficiendum, ne res aliquæ miſerabiles eſſe videantur. Primùm igitur de libera indignatione, quam nemeſim vocant, dicamus, & quibus homines indignantur, & quas ob res, & quomodo affecti; deinde etiam de reliquis verba faciamus.

97 3 * Quamvis hæc plana ſint ex iis, quæ jam ſupra dicta ſunt. Nam, ſi indignari nihil aliud eſt, quàm dolere proſpera alicujus fortuna, quòd ea ſit indignus; primùm illud perſpicuum eſt, non fieri poſſe, ut quis propter omnia bona, quæ eveniunt, indignetur: nemo enim ei, qui juſtus, aut fortis evadit, aut virtutem aliquam acquirit, indignatur.

ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ τῇ φθορᾷ τῇ τούτου χαίρειν. * Διὸ κωλυτικὰ μὲν ἐλέους πάντα ταῦτα ἐστί· διαφέρει δὲ διὰ τὰς εἰρημένας αἰτίας· ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν, ἅπαντα ὁμοίως χρήσιμα. πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσι τε νεμεσῶσι, καὶ ἐπὶ τίσι, καὶ πῶς ἔχοντες αὐτοί· εἶτα μετὰ ταῦτα, περὶ τῶν ἄλλων.

γ΄. * Φανερὸν δ' ἐκ τῶν εἰρημένων· εἰ γάρ ἐστι τὸ νεμεσᾶν, λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν, πρῶτον μὲν δῆλον, ὅτι οὐχ οἷόν τε ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν· οὐδεὶς γάρ, εἰ δίκαιος, ἢ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ·

οὐδὲ

οὐδὲ γὰρ οἱ ἔλεοι ἐπὶ τοῖς ἐναντίοις τούτων εἰσὶν, ἀλλ' ἐπὶ πλούτῳ, καὶ δυνάμει, καὶ τοῖς τοιούτοις, ὅσων, ὡς ἁπλῶς εἰπεῖν, ἄξιοί εἰσιν οἱ ἀγαθοί. * Καὶ οἱ τὰ φύσει ἔχοντες ἀγαθὰ, οἷον εὐγένειαν, καὶ κάλλος, καὶ ὅσα τοιαῦτα. ἐπεὶ δὲ τὸ ἀρχαῖον ἐγγύς τι φαίνεται τοῦ φύσει, ἀνάγκη τοῖς τὸ αὐτὸ ἔχουσιν ἀγαθὸν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι, καὶ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν. μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ πλουτοῦντες, τῶν πάλαι, καὶ διὰ γένους· ὁμοίως δὲ καὶ ἄρχοντες, καὶ δυνάμενοι, καὶ πολύφιλοι, καὶ εὔτεκνοι, καὶ ὁτιοῦν τῶν τοιούτων, κἂν διὰ ταῦτα ἄλλο τι ἀγαθὸν γίγνηται αὐτοῖς ὡσαύτως.

neque enim ob res, quæ ſunt his contrariæ, miſericordia commovetur: ſed ex divitiis, & potentia, & cæteris hujuſmodi rebus indignatio naſcitur, quibus (ut in ſumma dicam) boni tantùm viri digni ſunt. *Atque illi, 98
qui à natura conſecuti bona ſunt, ut nobilitatem, pulchritudinem, & quæ ſunt ejus generis cætera. Et quoniam quod antiquum eſt, parum diſtare videtur ab eo, quod eſt naturale; neceſſe eſt, ut eis, qui bonum idem poſſident, ſi nuper id acquiſiverunt, atque ideò feliciter, ac proſperè vivunt, magis indignemur. Majorem enim nobis dolorem inurunt, qui nuper divites facti ſunt, quàm, qui diù in amplo patrimonio vixerunt: eodem modo, qui magiſtratus, & potentiam, & copiam amicorum, & multos, ac probos filios, & hujus generis cætera nuper adepti ſunt: atque etiam, cum propter hæc aliquod aliud eis bonum acciderit:

magis enim offendunt animos noſtros novi divites, ſi propter divitias aliquem honorem, ac magiſtratum acquiſiverint, quàm qui jampridem divites erant, quod in reliquis etiam rebus accidit eodem modo. Hujus autem rei cauſa eſt, quòd alteri res ſuas habere videntur, alteri verò minimè; quod enim ſemper eodem in ſtatu ſpectatum eſt, id æquum, juſtumque videtur: quò fit, ut alteri minimè ſuas res habere
99 videantur. * Et quoniam non omne bonum cuivis homini congruit, ſed eſt proportio quædam, & convenientia, ut exempli gratia, ſpecioſa arma non juſto viro, ſed forti conveniunt, & claræ nuptiarum affinitates non iis, qui nuper divites facti ſunt, ſed nobilibus, atque illuſtri genere natis, congruentes ſunt; fit, ut etiam, cum probus vir, quod ei non convenit, aſſequitur, adverſus eum in-
100 dignatio concitetur. * Res etiam illa movet indignationem, quandò inferior cum ſuperiore contendit.

καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι, ἄρχοντες διὰ τὸν πλοῦτον, ἢ οἱ ἀρχαιόπλουτοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. αἴτιον δ' ὅτι, οἱ μὲν, δοκοῦσι τὰ αὐτῶν ἔχειν, οἱ δ', οὔ· τὸ γὰρ ἀεὶ οὕτω φαινόμενον ἔχειν, ἀληθὲς δοκεῖ· ὥστε οἱ ἕτεροι οὐ τὰ αὐτῶν ἔχειν. * Καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν, οὐ τοῦ τυχόντος ἄξιον, ἀλλά τις ἐστιν ἀναλογία, καὶ τὸ ἁρμόττον· οἷον, ὅπλων κάλλος, οὐ τῷ δικαίῳ ἁρμόττει, ἀλλὰ τῷ ἀνδρείῳ· καὶ γάμοι διαφέροντες, οὐ τοῖς νεωστὶ πλουτοῦσιν, ἀλλὰ τοῖς εὐγενέσιν. ἐὰν οὖν ἀγαθὸς ὢν, μὴ τοῦ ἁρμόττοντος τυγχάνῃ, νεμεσητόν. * Καὶ τὸν ἥττω τῷ κρείττονι ἀμφισβητεῖν.

μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ. ὅθεν καὶ τοῦτ' εἴρηται,

& præcipuè ſi eodem ſtudio, atque artificio diſpares fuerint. Unde illud ab Homero dictum eſt:

Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο·
Ζεὺς γάρ οἱ νεμέσασχ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο.

Ille redit retrò, non auſus tendere contra
Ajacem, Telamone ſatum: nam Jupiter ipſe
Indignabatur forti committere inertem.

εἰ δὲ μή, κἂν ὁπωσοῦν, ὁ ἥττων τῷ κρείττονι· οἷον, εἰ ὁ μουσικὸς τῷ δικαίῳ· βελτίων γὰρ ἡ δικαιοσύνη τῆς μουσικῆς. οἷς μὲν οὖν νεμεσῶσι, καὶ διὰ ἃ, ἐκ τούτων δῆλον. ταῦτα γὰρ καὶ τὰ τοιαῦτά ἐστιν.

quòd ſi non in eodem ſtudio fuerit inferior, tamen quocunque modo minor cum ſuperiore contendit, indignationem movet; ut ſi muſicus cum juſto viro de dignitate contendat: nam juſtitia multò præſtantior eſt arte muſica. Jam igitur planum eſt, contra quos homines, & quibus de cauſis indignatio moveatur; hæc enim ſunt, quæ diximus: & ſi qua ſunt ejus generis cætera.

δ'. * Αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν, καὶ ταῦτα κεκτημένοι· τὸ γὰρ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους, οὐ δίκαιον.

4 * Eorum autem 101
animi facilè moventur ad indignationem, qui maximis bonis digni ſunt, & ea poſſident; cum indignos eadem poſſidere vident; neque enim juſtum eſt, diſſimiles homines paribus bonis accumulari.

Se-

Secundo loco moventur ad indignationem qui probi, ſtudioſique viri ſunt; nam hujuſmudi homines verè judicant, & quæ injuſta ſunt, oderunt. Tertium genus eſt eorum, qui honores appetunt, & aliquas ſibi res gerendas mandari cupiunt, & præcipuè ſi illos honores deſiderant, quos alii jam eis indigni conſecuti ſunt. Denique illi facilè indignantur, qui præclara de ſe ipſis judicia faciunt, atque eis rebus ſe dignos putant, quibus alios non putant. Atque hac de cauſa qui ſervili ingenio ſunt, & abjecti homines, & honoris contemptores, non moventur ad indignationem; nihil enim eſt hujuſmodi, quo ſe dignos exi-
102 ſtiment. * Ex iis, quæ dicta ſunt, etiam manifeſtum eſt, quando vel gaudere, vel ſaltem non dolere debemus; cum aliqui homines adverſa fortuna premuntur, & rem fuam infeliciter agunt, aut quę cupiunt, non conſequuntur; nam ex contrariis contraria perſpicua ſunt.

δεύτερον δ' ἂν ὄντες ἀγαθοὶ, καὶ σπουδαῖοι τυγχάνωσι· κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσι. καὶ ἐὰν φιλότιμοι, καὶ ὀρεγόμενοι τινῶν πράξεων, καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν, ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσι. καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὑτοὺς, ὧν ἑτέρους μὴ ἀξιοῦσι, νεμεσητικοὶ τούτοις, καὶ τούτων. διὸ καὶ οἱ ἀνδραποδώδεις καὶ φαῦλοι καὶ ἀφιλότιμοι, οὐ νεμεσητικοί. οὐδὲν γάρ ἐστι τοιοῦτον, οὗ αὑτοὺς οἴονται ἀξίους εἶναι. * Φανερὸν δ' ἐκ τούτων, ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν, ἢ μὴ τυγχάνουσι χαίρειν ἢ ἀλύπως ἔχειν δεῖ· ἐκ γὰρ τῶν εἰρημένων τὰ ἀντικείμενα δῆλά ἐστιν.

ὥστε

ὥστε ἂν τούς τε κριτὰς τούτους παρασκευάσῃ ὁ λόγος, καὶ τοὺς ἀξιοῦντας ἐλεεῖσθαι, καὶ ἐφ' οἷς ἐλεεῖσθαι, δείξῃ, ἀναξίους μὲν ὄντας τυγχάνειν· ἀξίους δὲ μὴ τυγχάνειν, ἀδύνατον ἐλεεῖν.

Quapropter his rationibus orator ſanè judices ita præparare ſua oratione poterit, ut eos, qui ſui miſereri dicunt oportere, doceat indignos eſſe, qui miſericordiam conſequantur; non autem fieri poſſe certum eſt, ut eorum quis miſereatur, qui miſericordia ſunt indigni.

CAPUT X.

De invidia, ac de arte invidiam excitandi.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Definitur invidia, ſcilicet dolor quidam &c.*
2 *Quomodò affecti facilè invideant.*
3 *Quas ob res invideant.*
4 *Quibus invideant.*

α. * ΔΗ͂ΛΟΝ δὲ καὶ ἐπὶ τίσι φθονοῦσι, καὶ τίσι, καὶ πῶς ἔχοντες. * Εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν εἰρημένων ἀγαθῶν περὶ τοὺς ὁμοίους, μὴ ἵνα τι αὐτῷ, ἀλλὰ δι' ἐκείνους.

1 * NEQUE illud obſcurum eſt, propter 103
quæ bona, & quibus hominibus, & quomodò affecti ſoleant invidere. * Siqui- 104
dem invidia eſt ægritudo quędam concepta ex felicitate eorum bonorum, quæ dicta ſunt, cum paribus, ac ſimilibus eveniunt, non ut qui invidet, aliquod inde commodum ferat, ſed quia nollet, eos, quibus invidet, ea bona poſſidere.

2 * Illi

105 2 * Illi autem invidia moventur, quibus aliqui pares ſunt, aut videntur. Pares autem voco aut genere, aut cognatione, aut ætate, aut habitu animi, aut dignitate, aut fortunis, & qui omnia ferè bona conſecuti ſunt. Quò fit, ut qui res præclaras gerunt, & qui fortunati ſunt, ad invidiam ſint proclives; quoniam quicquid aliis boni contingit, id ſibi eripi exiſtimant, & qui eximios honores in aliqua re ſunt adepti, & præcipuè qui ſapientiæ, vitæque beatæ compotes eſſe videntur: & qui gloriæ ſunt appetentes, magis invidi ſunt, quàm quos gloria non commovet, & qui ſapientes videri volunt, cum ejus glorię ſint appetentes, quæ ſapientiæ debetur. Denique qui in aliquo ſtudio laudem aſſequi cupiunt, omnibus invident. Qui in eodem curſu verſantur, & qui anguſto, puſilloque ſunt animo: nam eis omnia videntur eſſe magna.

106 3 * At verò propter quæ bona ſoleant invidere, jam dictum eſt;

β'. * Φθονήσουσι μὲν γὰρ οἱ τοιοῦτοι, οἷς εἰσί τινες ὅμοιοι, ἢ φαίνονται. ὁμοίους δὲ λέγω, κατὰ γένος, κατὰ συγγένειαν, καθ' ἡλικίαν, κατὰ ἕξιν, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα. καὶ οἷς μικροῦ ἐλλείπει, τὸ μὴ πάντα ὑπάρχειν. διὸ, οἱ μεγάλα πράττοντες, καὶ εὐτυχοῦντες, φθονεροί εἰσι· πάντας γὰρ οἴονται τὰ αὑτῶν φέρειν. καὶ οἱ τιμώμενοι ἐπί τινι διαφερόντως, καὶ μάλιστα ἐπὶ σοφίᾳ, ἢ εὐδαιμονίᾳ. καὶ οἱ φιλότιμοι φθονερώτεροι τῶν ἀφιλοτίμων. καὶ οἱ δοξόσοφοι· φιλότιμοι γὰρ ἐπὶ σοφίᾳ. καὶ ὅλως οἱ φιλόδοξοι περί τι, φθονεροὶ περὶ τοῦτο. καὶ οἱ μικρόψυχοι· πάντα γὰρ αὐτοῖς δοκεῖ μεγάλα εἶναι.

γ'. * Ἐφ' οἷς δὲ φθονοῦσι, τὰ μὲν ἀγαθὰ, εἴρηται.

ἐφ' ὅσοις γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔργοις, ἢ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ἐστι, σχεδὸν περὶ πάντα φθόνος ἐστὶ, καὶ μάλιστα, ὧν αὐτοὶ ἢ ὀρέγονται, ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν, ἢ ὧν αὐτοὶ τῇ κτήσει μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσι.

δ'. * Φανερὸν δὲ καὶ οἷς φθονοῦσιν· ἅμα γὰρ εἴρηται· τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ, καὶ τόπῳ, καὶ ἡλικίᾳ, καὶ δόξῃ φθονοῦσιν. ὅθεν εἴρηται,

Τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.

καὶ πρὸς οὓς φιλοτιμοῦνται· φιλοτιμοῦνται μὲν γὰρ πρὸς τοὺς εἰρημένους. πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας, ἢ πρὸς τοὺς ἐσομένους, ἢ τεθνεῶτας, οὐδείς. οὐδὲ πρὸς τοὺς ἐφ' Ἡρακλείαις στήλαις. οὐδ' ὧν πολὺ οἴονται παρ' αὐτοῖς,

omnes enim res, atque opera, ex quibus laudem, honorem, & gloriam quærunt, & omnia fortunæ commoda gignere invidiam ſolent, & ea maximè, quæ aut ipſi appetunt, aut ſe habere oportere cenſent. Ob eas etiam res invidia movetur, quibus ſe aut paulò ſuperiores, aut paulò inferiores eſſe vident.

4 * Nec dubium eſſe po- 107
teſt, quibus invideant; nam hoc unà cum aliis dictum eſt. Illis enim invident, qui propinqui ſunt, aut tempore, aut loco, aut ætate, aut gloria. Quamobrem illud vulgò celebratur:

Vicinus invidere vicino ſolet.

Invident etiam illis, quibuſcum de honore certant. Certant autem cum iis, quos modò diximus: cum iis verò, qui multis anteà ſeculis vixerunt, aut poſteà ſunt orituri, vel qui jam mortui ſunt, nemo de honore contendit, neque cum iis, qui apud Herculis columnas habitant, neque cum iis, à quibus putant ſe longo intervallo aut ſuo,

aut

aut aliorum judicio ſuperari, neque contrà cum iis, quibus ſe multum præſtare exiſtimant, & quod de perſonis, idem etiam de rebus ſentiendum. Quoniam autem æmulos ſtudiorum ſuorum, & rivales, & denique omnes, qui eadam deſiderant, ſuperare contendunt; neceſſe eſt etiam, ut eiſdem maximè invideant. Unde dictum eſt:

Et figulus figulo.

Et, qui ſerò, vel nunquam id, quod cupiebant, aſſecuti ſunt, iis invident, qui celeriter idem, ac facilè acquiſiverunt. Atque illis etiam invident, qui id quærunt, quod ſi aſſequi potuerint, & ad exitum perducere, probro ipſis futurum ſit: namque etiam hujuſmodi homines propinqui, ac ſimiles ſunt: perſpicuum eſt enim, ipſorum culpa fieri, ut id non aſſequantur. Quare dolor, moleſtiaque, quam ex eo capiunt, invidiam gignit. Eis prætereà ſolent invidere, qui poſſident illa, quæ ipſis conveniebant.

ἢ περὶ τοῖς ἄλλοις λείπεσθαι· τοῦθ' ὧν πολὺ ὑπερέχειν ὡσαύτως καὶ πρὸς τούτους, καὶ περὶ τὰ τοιαῦτα. ἐπεὶ δὲ πρὸς τοὺς ἀνταγωνιστὰς, καὶ ἀντεραστὰς, καὶ ὅλως τοὺς τῶν αὐτῶν ἐφιεμένους, φιλοτιμοῦνται, ἀνάγκη τούτοις μάλιστα φθονεῖν. ὅθεν εἴρηται,

Καὶ κεραμεὺς κεραμεῖ.

καὶ τοῖς ταχὺ, ἢ οἱ μόλις τυχόντες, ἢ μὴ τυχόντες, φθονοῦσι. καὶ ὧν ἢ κεκτημένων, ἢ κατορθούντων ὄνειδος αὐτοῖς· εἰσὶ δὲ καὶ οὗτοι ἐγγὺς, καὶ ὅμοιοι· δῆλον γὰρ ὅτι παρ' αὐτοὺς, οὐ τυγχάνουσι τοῦ ἀγαθοῦ. ὥστε τοῦτο λυποῦν ποιεῖ τὸν φθόνον. καὶ τοῖς ἢ ἔχουσι ταῦτα, ἢ κεκτημένοις ἃ αὐτοῖς προσῆκεν, ἢ

ἢ ἐκέκτηντό ποτε· διὸ πρεσβύτεροι νεωτέροις. καὶ οἱ πολλὰ δαπανήσαντες εἰς τὸ αὐτὸ τοῖς ὀλίγα φθονοῦσι. * Δῆλον δὲ καὶ ἐφ' οἷς χαίρουσιν οἱ τοιοῦτοι, καὶ ἐπὶ τίσι, καὶ πῶς ἔχοντες. ὡς γὰρ μὴ ἔχοντες λυποῦνται, οὕτως ἔχοντες ἐπὶ τοῖς ἐναντίοις ἡσθήσονται. ὥστε ἂν αὐτοὶ μὲν, παρασκευασθῶσιν οὕτως ἔχειν, οἱ δ', ἐλεεῖσθαι, ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι, ὦσιν οἷοι οἱ εἰρημένοι. δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων.

aut quæ quondam ipſi
poſſidebant: quarè ſenes
junioribus invident. Et,
qui magnos ſumptus in
aliqua re comparanda fe-
cerunt, iis invident, qui
parvo ſumptu rem ean-
dem aſſecuti ſunt. * Quin 108
illud quoque planum eſt,
quas ob res hujuſmodi
homines gaudeant, & qui-
bus in perſonis, & quomo-
dò affecti: quo enim mo-
do non ſunt affecti, cum
dolent, eodem modo af-
fecti, contrariis rebus læ-
tabuntur. Quòd ſi ita
præparati judices fuerint,
& demonſtratum erit,
eos, qui vel miſericor-
diam, vel aliquod bonum
conſequi digni habiti fue-
rant, tales eſſe, quales di-
ximus, planum eſt, eos
nunquam miſericordiam
conſecuturos ab illis, in
quorum poteſtate res tota
poſita eſt.

CAPUT

CAPUT XI.

De æmulatione, ac de contemptu æmulationi contrario.

DIVISIO CAPITIS IN PARTES QUINQUE.

1 *Definitur ęmulatio, & ex definitione colligitur, quomodò ab invidia differat.*
2 *Quomodò affecti facilè æmulentur.*
3 *Ob quas res ęmulentur.*
4 *Quos æmulentur.*
5 *Quoniam æmulationi contemptus contrarius eſt: eos contemni, qui, vel non habent bona, quæ æmulamur, vel habent contraria.*

109 1 * IAM verò quomodò affecti ſint, qui ęmulantur, & quæ bona, & in quibus hominibus poſita, ſoleant æmulari, deinceps perſpicuum fiet.
110 * Eſt enim æmulatio, quædam ægritudo, quæ naſcitur ex eo, quòd in ſimilibus, ac paribus videantur eſſe bona quędam honorifica, quæ bona poſſint etiam in eum cadere, qui ita afficitur; non quòd alii bona illa evenerint, ſed quòd eis ipſe careat. Quò fit, ut æmulatio bona ſit, & bonorum virorum affectio: ſed invidia mala eſt,

α΄. * ΠΩ͂Σ δὲ ἔχοντες ζηλοῦσι, καὶ τὰ ποῖα, καὶ ἐπὶ τίσιν, ἐνθένδ' ἐστὶ δῆλον. * ΕΙ' γάρ ἐστι ζῆλος, λύπη τὶς ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει. οὐχ ὅτι ἄλλῳ, ἀλλ' ὅτι οὐχὶ καὶ αὐτῷ ἐστι· διὸ καὶ ἐπιεικές ἐστιν ὁ ζῆλος, καὶ ἐπιεικῶν· τὸ δὲ φθονεῖν φαῦλον,

καὶ

καὶ φαύλων· ὁ μὲν γὰρ, αὑτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν· ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον.

β'. * Ἀνάγκη δὴ ζηλωτικοὺς μὲν εἶναι τοὺς ἀξιοῦντας ἑαυτοὺς ἀγαθῶν ὧν μὴ ἔχουσιν· οὐδεὶς γὰρ ἀξιοῖ τὰ φαινόμενα ἀδύνατα· διὸ οἱ νέοι καὶ οἱ μεγαλόψυχοι τοιοῦτοι. * Καὶ οἷς ὑπάρχει τοιαῦτα ἀγαθὰ, ἃ τῶν ἐντίμων ἄξιά ἐστιν ἀνδρῶν· ἔστι γὰρ ταῦτα, πλοῦτος, καὶ πολυφιλία, καὶ ἀρχαὶ, καὶ ὅσα τοιαῦτα· ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσήκει τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν. * Καὶ οὓς οἱ ἄλλοι ἀξιοῦσι, * Καὶ ὧν πρόγονοι, ἢ συγγενεῖς, ἢ οἰκεῖοι, ἢ τὸ ἔθνος, ἢ ἡ πόλις, ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα·

& malorum hominum; nam æmulatio concitat hominem, ut talis fiat, quo poſſit illa bona conſequi, ſed proximum conatur eiſdem bonis ſpoliare.

2 * Neceſſe eſt igitur eos 111
ad æmulandum proclives eſſe, qui ſe eis bonis, quæ non habent, dignos exiſtimant; nullus enim eis ſe bonis dignum cenſet, quę nullo modo fieri poſſe videntur. Quapropter adoleſcentes, & magnanimi viri ſolent æmulatores eſſe. * Et qui ea bona poſſident, 112
quę honoratis viris conveniunt, talia verò ſunt divitiæ, copia amicorum, magiſtratus, & cætera ejus generis: nam quia hujuſmodi bona conveniunt eis, qui benè animo conformati ſunt; tanquam ipſis quoque conveniat probis eſſe viris; idcircò talia bona æmulantur. * Atque illi etiam æmula- 113
tores ſunt, quos alii bonis dignos exiſtimant. * Et 114
quorum aut majores, aut cogniti, aut domeſtici, aut gens, aut civitas in pretio, ac honore fuit, earundem rerum æmulatores ſunt,

nam

nam ea jam propria eſſe, bona putant, atque illis ſe dignos arbitrantur.

115 3 * Quòd ſi bona, quibus honos debetur, æmulanda ſunt, neceſſe eſt virtutes ejuſmodi eſſe: & quæcunque bona ſunt aliis utilia, & benefica; nam omnes beneficos, & probos viros honorant, atque in pretio habent: nec non cuncta illa, quibus propinqui, ac vicini frui poſſunt, quales ſunt divitiæ, pulchritudo magis, quàm bona valetudo.

116 4 * Neque obſcurum eſt, quinam ſint æmulandi, nempe ii, qui hujuſmodi bona poſſident, qualia ſunt ea, quæ diximus, ut fortitudo, ſapientia, magiſtratus; nam qui magiſtratum gerunt, de multis benemereri poſſunt, imperatores, oratores, cæterique omnes, qui talia præſtare poſſunt. Illi etiam æmulandi ſunt, quibus plurimi ſimiles eſſe ſtudent: vel quibus plurimi noti, vel amici fieri cupiunt: & quos multi admirantur. Aut quos ipſi illi admirantur,

οἰκεῖα γὰρ οἷον ὑπάρχοντα αὐτοῖς εἶναι, καὶ ἄξιοι τούτων.

γʹ. * Εἰ δ' ἐστὶ ζηλωτὰ τὰ ἔντιμα ἀγαθὰ, ἀνάγκη τάς τε ἀρετὰς εἶναι τοιαύτας. καὶ ὅσα τοῖς ἄλλοις ὠφέλιμα, καὶ εὐεργετικά. τιμῶσι γὰρ τοὺς εὐεργετοῦντας, καὶ τοὺς ἀγαθούς; καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν. οἷον, πλοῦτος, καὶ κάλλος μᾶλλον ὑγιείας.

δʹ. * Φανερὸν δὲ καὶ οἱ ζηλωτοὶ τίνες· οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι, ζηλωτοί. ἔστι δὲ ταῦτα τὰ εἰρημένα, οἷον, ἀνδρεία, σοφία, ἀρχή· οἱ γὰρ ἄρχοντες πολλοὺς δύνανται εὖ ποιεῖν· στρατηγοὶ, ῥήτορες, πάντες οἱ τὰ τοιαῦτα δυνάμενοι· καὶ οἷς πολλοὶ ὅμοιοι βούλονται εἶναι, ἢ πολλοὶ γνώριμοι, ἢ φίλοι πολλοὶ, ἢ οὓς πολλοὶ θαυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσι.

καὶ

καὶ ὧν ἔπαινοι καὶ ἐγκώμια λέγονται, ἢ ὑπὸ ποιητῶν, ἢ λογογράφων.

έ. * Καταφρονοῦσι δὲ τῶν ἐναντίων· ἐναντίον γὰρ ζήλῳ καταφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν. ἀνάγκη δὲ τοὺς οὕτως ἔχοντας ὥστε ζηλῶσαί τινας, ἢ ζηλοῦσθαι, καταφρονητικοὺς εἶναι τούτων τε, καὶ ἐπὶ τούτοις ὅσοι τὰ ἐναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν. διὸ πολλάκις καταφρονοῦσι τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη. δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίνεται, καὶ διαλύεται, ἐξ ὧν αἱ πίστεις γίγνονται, περὶ αὐτῶν εἴρηται.

& quorum laudationes, & encomia vel à poetis, vel ab oratoribus prædicantur.

5 * Contemnunt autem eos, qui ſunt his contrarii: contemptio enim æmulationi contraria eſt: & æmulari, atque contemnere ſunt inter ſe contraria. Neceſſe eſt autem, eos, qui ita affecti ſunt, ut vel aliorum æmulatores ſint, vel ſui æmulatores habeant, contemptores eſſe eorum hominum, qui ſunt malis iis obnoxii, quæ contraria ſunt illis bonis, quæ æmulamur. Quare ſæpenumerò fortunatos homines contemnunt, cum eis quidem fortuna proſpera eſt, ſed tamen ſine iis bonis, quibus honor tribui ſolet. Sed jam ſatis dictum eſt, quibus modis perturbationes animis inferantur, aut evellantur inſitæ, unde fidei faciendæ rationes ducuntur. 117

CAPUT XII.

De Juvenum moribus.

* ΤΑ` δὲ ἤθη ποῖοί τινες, κατὰ τὰ πάθη,

* POSTEA' de moribus ſermonem inſtituemus, qui ſecundum animi commotiones, 118

habitus, ætates, fortu-
nas variantur. Voco
autem animi commotio-
nem, iram, cupidita-
tem, cæteraque ejus ge-
neris, de quibus ſu-
prà diximus: habitus
verò, virtutes, & vi-
tia: ſed de his etiam
anteà dictum eſt, &
ſimul explicatum, quæ
ſibi ſinguli homines pro-
ponant, & quarum re-
rum gerendarum ſtudio
teneantur. Ætates au-
tem ſunt, adoleſcentia,
media ætas, ſenectus.
Fortunas verò voco no-
bilitatem, divitias, ci-
vilem potentiam, &
ea, quæ ſunt his con-
traria, & denique pro-
ſperitatem, & infortu-
119 nium. * Adoleſcentes
igitur, quo ad mores,
attinet, cupiditatibus æ-
ſtuant, atque illa co-
nantur efficere, quæ
concupierint. Sed ex
omnibus corporis volu-
ptatibus maximè veneri
dediti ſunt, atque in ea
potiſſimùm incontinentes
eſſe ſolent: verùm faci-
lè mutantur: & ea,
quorum cupiditate tra-
huntur, citò faſtidiunt,

καὶ τὰς ἕξεις, καὶ τὰς ἡλικίας, καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. λέγω δὲ πάθη μὲν ὀργὴν, ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν πρότερον. ἕξεις δὲ, ἀρετὰς, καὶ κακίας. εἴρηται δὲ καὶ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοί. ἡλικίαι δέ εἰσι, νεότης, καὶ ἀκμὴ, καὶ γῆρας. τύχην δὲ λέγω, εὐγένειαν, καὶ πλοῦτον, καὶ δυνάμεις, καὶ τἀναντία τούτοις, καὶ ὅλως εὐτυχίαν, καὶ δυστυχίαν. * ΟἹ μὲν οὖν νέοι, τὰ ἤθη εἰσὶν ἐπιθυμητικοὶ, καὶ οἷοι ποιεῖν ὧν ἂν ἐπιθυμήσωσι. καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν, μάλιστα ἀκολουθητικοί εἰσι ταῖς περὶ τὰ ἀφροδίσια, καὶ ἀκρατεῖς ταύτης. εὐμετάβολοι δὲ καὶ ἀψίκοροι πρὸς τὰς ἐπιθυμίας.

καὶ

καὶ σφόδρα μὲν ἐπιθυμοῦσι, ταχὺ δὲ παύονται. ὀξεῖαι γὰρ αἱ βουλήσεις, καὶ οὐ μεγάλαι. ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι. *Καὶ θυμικοὶ, καὶ ὀξύθυμοι, καὶ οἷοι ἀκολουθεῖν τῇ ὁρμῇ. καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ. διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ' ἀγανακτοῦσιν, ἂν οἴωνται ἀδικεῖσθαι. *Καὶ φιλότιμοι μὲν εἰσι, μᾶλλον δὲ φιλόνικοι. ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης· ἡ δὲ νίκη, ὑπεροχή τις. καὶ ἄμφω ταῦτα μᾶλλον, ἢ φιλοχρήματοι· φιλοχρήματοι δὲ, ἥκιστα, διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι. ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. *Καὶ οὐ κακοήθεις, ἀλλ' εὐήθεις,

Et vehementi quidem cupiditate moventur, ſed in eis ardor ille celeriter extinguitur: illorum enim voluntates acutæ quidem ſunt, ſed non tamen diuturnæ, qualis ægrotorum ſitis, ac fames eſſe ſolet. * Præterea 120
facilè excandeſcunt, & levi de cauſa iraſcuntur. Atque illum animi impetum ſequuntur, & omninò ſemper inferiores, & victi ab ira diſcedunt: nam propter ambitionem, ac honoris ſtudium pati non poſſunt, ut ab ullo negligantur, ſed graviter ferunt, cum ſe injuria affici exiſtimant. * Et am- 121
bitioſi ſunt, vel potiùs victoriæ cupidi: cupit enim adoleſcentia cæteris antecellere. Victoria verò quædam excellentia eſt. Et hæc ambo potiùs, quàm ſtudium pecuniæ ſequuntur: neque enim pecuniæ deſiderio trahuntur: quoniam egeſtatem, aut indigentiam nondum experti ſunt, quemadmodum illud Pittaci dictum in Amphiaraum oſtendit.
* Neq; pravo ingenio ſunt, 122
ſed ſimplices, & aperti;

 quia

quia nondum multa flagitia didicerunt. Sunt etiam creduli; quia non ſæpè decepti ſunt. Et bona ſpe aluntur, eo quòd natura calidi ſunt; non aliter, atque illi, qui vino madent: ſimul etiam, qui nondum multis in rebus ſpe fruſtrati ſunt;

123 * Magnaque ex parte ſpe vivunt: eſt enim ſpes futuri temporis, memoria verò præteriti. Adoleſcentibus autem, quod futurum eſt tempus, longum eſt, quod verò præteritum, eſt parvum: primis enim temporibus ætatis nihil eſt, quod ſe meminiſſe putent: omnia verò ſperant. Et propter hanc, quam dixi, cauſam facilè decipiuntur, quia facillimè ſperant.

124 * Fortiores quoque ſunt aliis; quoniam iracundi, ac ſpei ſemper pleni; quorum alterum non timere, alterum confidere facit: neque enim quiſquam iratus timet, & qui boni aliquid ſperat, audentior evadit.

125 * Et verecundi ſunt;

διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας. καὶ εὔπιστοι, διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι. καὶ εὐέλπιδες, ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μήπω πολλὰ ἀποτετυχηκέναι. * Καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ μὲν γὰρ ἐλπὶς, τοῦ μέλλοντός ἐστιν· ἡ δὲ μνήμη, τοῦ παροιχομένου. τοῖς δὲ νέοις, τὸ μὲν μέλλον, πολύ· τὸ δὲ παρεληλυθὸς, βραχύ. τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα. καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. * Καὶ ἀνδρειότεροι. θυμώδεις γὰρ καὶ εὐέλπιδες. ὧν, τὸ μὲν, μὴ φοβεῖσθαι· τὸ δὲ, θαῤῥεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται· τό, τε ἐλπίζειν ἀγαθόν τι, θαῤῥαλέον ἐστί. * Καὶ αἰσχυντηλοί.

οὐ γάρ

οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον. καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου οὔπω τεταπείνωνται, ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσι· καὶ τὸ ἀξιοῦν αὑτὸν μεγάλων, μεγαλοψυχία· τοῦτο δ', εὐέλπιδος. * Καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων· τῷ γὰρ ἤθει ζῶσι μᾶλλον, ἢ τῷ λογισμῷ. ἔστι δ', ὁ μὲν λογισμὸς τοῦ συμφέροντος, ἡ δὲ ἀρετὴ, τοῦ καλοῦ. * Καὶ φιλόφιλοι, καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν, διὰ τὸ χαίρειν τῷ συζῆν, καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν· ὥστε μηδὲ τοὺς φίλους. * Καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον. πάντα γὰρ ἄγαν πράττουσι· φιλοῦσί τε γὰρ ἄγαν,

quia nihil aliud adhuc
honeſtum eſſe cenſent,
niſi quod ex inſtitutione,
legeque didicerunt. Sunt
etiam magnanimi adole-
ſcentes, quia nondum
vitæ miſerias ſenſerunt,
ſed expertes ſunt ea-
rum, quæ in vita acci-
dunt, neceſſitatum:
nam ſe magnis rebus
dignum eſſe cenſere,
magnanimitas eſt: hoc
autem ejus eſt proprium,
qui ſpei plenus ſit. * Et 126
ea potiùs amplecti vo-
lunt, quæ honeſta ſunt,
quàm quæ utilia, magiſ-
que ex inſtitutione vi-
vunt, quàm ex ratioci-
natione: nam ratiocinatio
ad utilitatem impellit,
virtus autẽ ad honeſtatem.
* Et ſtudioſi ſunt amico- 127
rum, atque ſodalium ma-
gis, quàm in aliis ætatibus
conſtituti; propterea quòd
eorum conſuetudine dele-
ctantur, & nondum quic-
quam ad utilitatem refe-
runt, ita neque amicos.
* Et quicquid peccant, 128
in eo, quod eſt majus,
vehementiùs peccant; &
contra Chilonis præce-
ptum omnia nimis faciunt:
nimium enim amant,

nimium oderunt, atque ita in aliis rebus omnibus: quippe qui & ſe ſcire omnia exiſtiment, & aſſeverent omnia; quæ cauſa eſt, ut nimis etiam
129 omnia faciant. * Et quas injurias faciunt, eas propter contumeliam, non propter malitiam inferunt.
130 * Et facilè miſericordia commoventur; quoniam omnes probos eſſe, ac meliores, quàm ſint, exiſtimant: ſua enim ipſorum innocentia cæteros metiuntur; itaque illos indigna pati
131 judicant. * Et riſus ſtudioſi ſunt; quo fit, ut faceti, jocoſique ſint: urbanitas enim erudita quædam contumelia eſt. Tales igitur ſunt adoleſcentium mores.

καὶ μισοῦσιν ἄγαν, καὶ τἄλλα πάντα ὁμοίως· οἱ καὶ εἰδέναι πάντα οἴονται, καὶ διϊσχυρίζονται. τοῦτο γὰρ αἴτιόν ἐστι καὶ τοῦ πάντα ἄγαν. *Καὶ τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν, καὶ οὐ κακουργίαν. *Καὶ ἐλεητικοί, διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ γὰρ αὑτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν· ὥστ' ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. *Καὶ φιλογέλωτες· διὸ καὶ εὐτράπελοι. ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστί. τὸ μὲν οὖν τῶν νέων, τοιοῦτον ἦθός ἐστιν.

CAPUT XIII.

De Senum moribus.

132 * At verò ſenes, & qui jam grandes natu ſunt, contrariis ferè moribus plerunq; præditi ſunt.

*ΟΙ δὲ πρεσβύτεροι καὶ παρηκμακότες, σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη.

Διὰ

διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι, καὶ πλείω ἐξηπατῆσθαι, καὶ ἡμαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, οὔτε διαβεβαιοῦνται οὐδέν· ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ· καὶ οἴονται, ἴσασι δὲ οὐδέν· καὶ ἀμφισβητοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα· καὶ πάντα λέγουσιν οὕτω· παγίως δὲ, οὐδέν. * Καὶ κακοήθεις εἰσίν· ἔστι γὰρ κακοήθεια, τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν ἅπαντα. ἔτι δὲ καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν· ἄπιστοι δὲ, δι᾽ ἐμπειρίαν. καὶ οὔτε φιλοῦσι σφόδρα, οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην, καὶ φιλοῦσιν ὡς μισήσοντες, καὶ μισοῦσιν ὡς φιλήσοντες. * Καὶ μικρόψυχοι, διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου· οὐδενὸς γὰρ μεγάλου, οὐδὲ περιττοῦ,

Quoniam enim multos annos vixerunt, pluribus in rebus decepti ſunt, atque ipſi aberrarunt, & magna negotiorum pars malis abundat, nihil planè confirmare ſolent, ac longè minus, quàm oporteat, omnia tractant, & ſe opinari, non ſcire quicquam prædicant, & de quaque re ambigentes, ſemper adjungunt, Forſan, & Fortaſſe, atque ita omnia dicunt, nihil autem aſſeveranter efferunt. * Et ingenio 133
pravo, moroſoque ſunt: eſt enim cacoethia vitium; cum in deteriorem partem omnia capiuntur. Et ſuſpicioſi ſunt, eo quòd nemini credant; credunt autem nemini propter experientiam & uſum. Atque eadem de cauſa, neque vehementer amant, neque vehementer oderunt: ſed ex Biantis præcepto amant, tanquam oſuri, & oderunt, tanquam amaturi.
* Parvi quoque animi ſunt, 134
quoniam longa ætas eorum ſpiritus fregit: nihil enim magnum, nihil eximium appetunt,

ſed ea tantùm, quæ ſunt
ad vitam neceſſaria, cu-
piunt. Atque illiberales
ſunt; nam pecuniæ in eis
numerantur, quæ ſunt ad
vitam neceſſaria: ſimul e-
tiam longo uſu didicerunt,
quàm difficile ſit pecuniam
acquirere, & quàm facilè
ſit eandem ammittere.
135 * Sunt etiam timidi, ſem-
perque verentur, ne ali-
quid ſibi mali contingat:
nam contrario modo affecti
ſunt atque adoleſcentes:
ſunt enim gelidi, ac refri-
gerati, adoleſcentes au-
tem ferventes; quare ſe-
nectus aditum timiditati
patefecit; timor enim re-
frigeratio quædam eſt.
136 * Et cupidi vitæ ſunt,
præſertim exacta ætate,
atque extremo tempore;
cupiditas enim abſentium
rerum eſt, & omnes,
cujus rei indigentes ſunt,
ea maximè deſiderant.
137 * Difficiles etiam, & que-
ruli ſunt; quod ipſum
quandam animi anguſtiam
138 indicat. * Et in vivendi
ratione ſibi utilitatem,
non honeſtatem propo-
nunt, atque hoc ſupra
modum faciunt eo, quòd
ſui ipſorum amantes ſint:

ἀλλὰ τὴν πρὸς τὸν βίον ἐπιθυμοῦσι. καὶ ἀνελεύθεροι· ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία· ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν, ὡς χαλεπὸν τὸ κτήσασθαι, καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν. * Καὶ δειλοὶ, καὶ πάντα προφοβητικοί· ἐναντίως γὰρ διάκεινται τοῖς νέοις· κατεψυγμένοι γάρ εἰσιν· οἱ δὲ, θερμοί· ὥστε προωδοπεποίηκε τὸ γῆρας τῇ δειλίᾳ· καὶ γὰρ ὁ φόβος, κατάψυξίς τις ἐστι. * Καὶ φιλόζωοι, καὶ μάλιστα ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ, διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν· καὶ οὗ δὲ ἐνδεεῖς, τούτου μάλιστα ἐπιθυμοῦσι. * Καὶ φίλαυτοι μᾶλλον, ἢ δεῖ· μικροψυχία γάρ τις καὶ αὕτη. * Καὶ πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλὸν μᾶλλον ἢ δεῖ, διὰ τὸ φίλαυτοι εἶναι.

τὸ

τὸ μὲν γὰρ συμφέρον, αὐτῷ ἀγαθόν ἐστι· τὸ δὲ καλὸν, ἁπλῶς. * Καὶ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί. διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ τοῦ συμφέροντος, ὀλιγωροῦσι τοῦ δοκεῖν. * Καὶ δυσέλπιδες, διὰ τὴν ἐμπειρίαν· τὰ γὰρ πλεῖστα τῶν πραγμάτων φαῦλά ἐστιν· ἀποβαίνει γοῦν τὰ πολλὰ ἐπὶ τὸ χεῖρον, καὶ ἔτι διὰ τὴν δειλίαν. * Καὶ ζῶσι τῇ μνήμῃ μᾶλλον, ἢ τῇ ἐλπίδι· τοῦ γὰρ βίου, τὸ μὲν λοιπὸν, ὀλίγον· τὸ δὲ παρεληλυθὸς, πολύ. ἔστι δὲ, ἡ μὲν ἐλπὶς, τοῦ μέλλοντος· ἡ δὲ μνήμη, τῶν παροιχομένων. ὅπερ αἴτιον καὶ τῆς ἀδολεσχίας αὐτοῖς· διατελοῦσι γὰρ τὰ γενόμενα λέγοντες· ἀναμιμνησκόμενοι γὰρ ἥδονται. * Καὶ οἱ θυμοὶ ὀξεῖς μὲν εἰσιν, ἀσθενεῖς δέ· καὶ αἱ ἐπιθυμίαι, αἱ μὲν ἐκλελοίπασιν,

nam quod utile eſt, privatum uſum reſpicit: quod autem honeſtum eſt, communem. * Inve- 139
recundi quoque potiùs, quàm verecundi ſunt: cum enim non æquè honeſtatem, ac utilitatem curent; parvi faciunt etiam, quales videantur. * Neque 140
ulla ſpe ducuntur, cùm propter experientiam, magna enim negotiorum pars malis abundat, unde fit, ut in deteriorem partem pleraque cadant; tùm etiam propter timiditatem, * vivuntque me- 141
moria potiùs, quàm ſpe; quod enim reliquum eſt vitæ, paucum eſt, præteritum autem eſt multum, & ſpes ipſa futuri temporis eſt, memoria verò præteriti. Quæ quidem cauſa eſt etiam loquacitatis in ſenibus: neque enim ceſſant ea narrare, quæ ſuperiori tempore geſta ſunt; quoniam ex recordatione voluptatem capiunt. * Iræ ſenum acres qui- 142
dem, & acutæ ſunt, ſed tamen imbecilles: cupiditates verò partim omninò defecerunt,

partim autem languidæ
factæ ſunt. Itaque ne-
que cupiditate flagrant,
neque aliquid impulſu
cupiditatis efficiunt, ſed
ad lucrum omnia refe-
runt; quare temperati
eſſe videntur hujuſmodi
homines, cupiditates e-
nim remiſerunt, & pecu-
niæ ſerviunt. Et magis in
degenda vita ratiocinatio-
nem, quàm morem ſe-
quuntur; nam ratiocina-
tio ad utilitatem, mos
143 ad virtutem ſpectat. * Et
quas injurias faciunt,
magis propter contume-
144 liam inferunt. * Mo-
ventur etiam miſericor-
dia, non tamen ea ratio-
ne, qua juvenes: nam
juvenes propter humani-
tatem, ſenes propter im-
becillitatem miſericordes
ſunt: exiſtimant enim
omnia incommoda ſibi i-
ta vicina eſſe, ut ea
jam paſſuri ſint, hoc
autem miſericordiæ pro-
prium eſt: unde que-
ruli ſunt, ac moroſi,
minimè verò faceti, ne-
que jocorum ſtudioſi:
querulum enim, & joco-
ſum contraria ſunt.
145 * Adoleſcentium igitur,

αἱ δ' ἀσθενεῖς. ὥστε οὔτε ἐπιθυμητικοί, οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος· διὸ σωφρονικοὶ φαίνονται οἱ τηλικοῦτοι· αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι, καὶ δουλεύουσι τῷ κέρδει· καὶ μᾶλλον ζῶσι κατὰ λογισμὸν, ἢ κατὰ τὸ ἦθος· ὁ μὲν γὰρ λογισμὸς, τοῦ συμφέροντος· τὸ δ' ἦθος, τῆς ἀρετῆς ἐστι. *Καὶ τἀδικήματα ἀδικοῦσιν εἰς κακουργίαν, οὐκ εἰς ὕβριν. * Ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ' οὐ διὰ ταὐτὸ τοῖς νέοις· οἱ μὲν γὰρ διὰ φιλανθρωπίαν· οἱ δὲ, δι' ἀσθένειαν. πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὐτοῖς παθεῖν· τοῦτο δ' ἦν ἐλεητικοῦ. ὅθεν, ὀδυρτικοί εἰσι, καὶ οὐκ εὐτράπελοι, οὐδὲ φιλογέλοιοι· ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι. * Τῶν μὲν οὖν νέων.

καὶ

καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα· ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους, καὶ τοὺς ὁμοίους, οὐκ ἄδηλον, πῶς χρώμενοι τοῖς λόγοις, τοιοῦτοι φαίνονται καὶ αὐτοὶ, καὶ οἱ λόγοι.

& ſeniorum mores hujuſmodi ſunt. Quare cum omnes eas orationes approbent, quæ moribus ſuis conveniunt, ac ſimiles ſunt, nequaquam obſcurum eſt, quomodò poſſint oratores ita dicere, ut & ipſi, & orationes ſuæ tales eſſe videantur.

CAPUT XIV.

De Virorum mediæ ætatis moribus.

* ΟΙ δὲ ἀκμάζοντες, φανερὸν, ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσονται, ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολὴν, καὶ οὔτε σφόδρα θαῤῥοῦντες· θρασύτης γὰρ τὸ τοιοῦτον: οὔτε λίαν φοβούμενοι, καλῶς δὲ πρὸς ἄμφω ἔχοντες. *ΟΥ'τε πᾶσι πιστεύοντες, οὔτε πᾶσιν ἀπιστοῦντες, ἀλλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον.

* QUI in media ætate conſtituti ſunt 146
perſpicuum eſt, eos mores etiam medios ſervare, & quod in utriſque illis nimium eſt, amputare; neque enim valdè confidentes, quod eſt audaciæ, neque valdè timentes ſunt, ſed in utroque ſe benè gerunt.
* Neque omnibus temerè credunt, neque omnibus fidem derogant, ſed ex veritate potiùs omnia judicant. 147

148 * Neque tantùm ſibi hone-
ſtatem in degenda vita, ne-
que tantùm utilitatem,
ſed utranque proponunt.
Neque ad parſimoniam,
neque ad largitionem in-
clinant, ſed ad id, quod
149 maximè convenit. * Eo-
dem pacto ſe habent in
eis, quæ ad iram, & ad
cupiditatem pertinent.
150 * Et temperantes ſunt
cum fortitudine, & fortes
cum temperantia. Nam in
adoleſcentibus, & ſenibus
hæc diſtincta ſunt. Ado-
leſcentes enim fortes ſunt,
verùm intemperantes; ſe-
nes autem temperantes
151 ſunt, ſed timidi. * Atque
(ut in ſumma dicam) qua-
ſcunque res utiles adole-
ſcentia, & ſenectus inter
ſe diviſerunt, eas ſimul
omnes habet ætas me-
dia: in quibus autem
illæ ætates vel excedunt,
vel deficiunt, eas ad me-
diocritatem, & convenien-
tiam hæc eadem ætas ad-
ducit. Viget autem maxi-
mè corpus ab anno trige-
ſimo ad quintum & tri-
geſimum uſque. Mentis
autem vigor, atque animi
nono & quadrageſimo an-
no maximè perſpicitur.

καὶ οὔτε πρὸς τὸ καλὸν ζῶντες μόνον, οὔτε πρὸς τὸ συμφέρον, ἀλλὰ πρὸς ἄμφω. καὶ οὔτε πρὸς φειδῶ, οὔτε πρὸς ἀσωτίαν, ἀλλὰ πρὸς τὸ ἁρμόττον. * Ὁμοίως δὲ καὶ πρὸς θυμὸν, καὶ πρὸς ἐπιθυμίαν. * Καὶ σώφρονες μετ' ἀνδρείας, καὶ ἀνδρεῖοι μετὰ σωφροσύνης. ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διήρηται ταῦτα. εἰσὶ γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι· οἱ δὲ πρεσβύτεροι, σώφρονες καὶ δειλοί. * Ὡς δὲ καθόλου εἰπεῖν, ὅσα μὲν διήρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν· ὅσα δ' ὑπερβάλλουσιν, ἢ ἐλλείπουσι, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον. ἀκμάζει δὲ, τὸ μὲν σῶμα, ἀπὸ τῶν τριάκοντα ἐτῶν, μέχρι τῶν πέντε καὶ τριάκοντα· ἡ δὲ ψυχὴ, περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα.

περὶ

περὶ μὲν οὖν νεότητος καὶ γήρως καὶ ἀκμῆς, ποίων ἠθῶν ἐστιν ἕκαστον, εἰρήσθω τοσαῦτα.

Ac de adoleſcentia quidem, ſenectute, & media ætate, earumque ſingularum moribus hæc dicta ſufficiant.

CAPUT XV.

De Nobilium moribus.

* ΠΕΡΙ δὲ τῶν ἀπὸ τύχης γιγνομένων ἀγαθῶν, δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποῖα ἄττα συμβαίνει τοῖς ἀνθρώποις, λέγωμεν ἐφεξῆς. εὐγενείας μὲν οὖν ἦθός ἐστι, τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον αὐτήν· ἅπαντες γὰρ ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν· ἡ δ' εὐγένεια, ἐντιμότης προγόνων ἐστί. * Καὶ καταφρονητικὸν, καὶ τῶν ὁμοίων τοῖς προγόνοις τοῖς αὐτῶν. διότι πόρρω ταῦτα μᾶλλον ἢ ἐγγὺς γιγνόμενα, ἐντιμότερα καὶ ἀλαζονευτά.

* AT verò de fortu- 152
næ bonis, quæ mores hominum variare ſolent, deinceps dicamus. Nobilitatis ille mos eſt, ut qui eam poſſidet, honoris ſit appetentior; eſt enim hoc commune omnium, ut cum bonum aliquod poſſident, illud accumulare ſtudeant. Nobilitas autem parentum, ac majorum dignitas eſt.
* Quam qui poſſident, 153
ad alios contemnendos proni ſunt, atque illos etiam, qui in eiſdem honoribus ſunt, in quibus ipſorum majores fuerunt; quoniam hæc intervallo temporis remota magis, quàm propinqua, ac nuper facta, ſolent honorari, & gloriatione digna videri.

154 * Nobile verò dicitur id, quod in familiæ virtute conſiſtit: generoſum, quod à majorum ſuorum natura non degenerat: quod majori ex parte nobilibus non contingit: multi enim vili, atque abjecto animo ſunt. Ut enim in agris, & iis, quæ terra naſcuntur, ſic etiam in familiis plerunque fœtus uberior exiſtit. Et interdum, ſi bona familia fuerit, naſcuntur in ea per aliquod tempus eximii viri, deinde paulatim iterum ſe remittit: nam præclari ingenii familiæ in mores inſaniores degenerant, ut qui ab Alcibiade genus ducunt, & à Dionyſio priore: quæ verò ſtabili pacatoque ingenio ſunt ad ſtoliditatem, & ignaviam delabuntur, ut qui à Cimone, & Pericle, & Socrate progeniti ſunt.

ἔστι δὲ, εὐγενὲς μὲν, κατὰ τὴν τοῦ γένους ἀρετήν· γενναῖον δὲ, κατὰ τὸ μὴ ἐξίστασθαι ἐκ τῆς φύσεως· ὅπερ ὡς ἐπιτοπολὺ οὐ συμβαίνει τοῖς εὐγενέσιν, ἀλλ' εἰσὶν οἱ πολλοὶ εὐτελεῖς· φορὰ γάρ τίς ἐστιν καὶ ἐν τοῖς γένεσιν ἀνδρῶν, ὥσπερ ἐν τοῖς κατὰ τὰς χώρας γιγνομένοις. καὶ ἐνίοτε ἂν ᾖ ἀγαθὸν τὸ γένος, ἐγγίνονται διά τινος χρόνου ἄνδρες περιττοί· κἄπειτα πάλιν ἀναδίδωσιν. ἐξίσταται δὲ, τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη· οἷον, οἱ ἀπ' Ἀλκιβιάδου, καὶ οἱ ἀπὸ Διονυσίου τοῦ προτέρου. τὰ δὲ στάσιμα, εἰς ἀβελτηρίαν καὶ νωθρότητα· οἷον, οἱ ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους.

CAPUT

CAPUT XVI.

De Divitum moribus.

* Τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἐστιν ἰδεῖν ἅπασιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ οὕτω διάκεινται· ὁ γὰρ πλοῦτος, οἷον τιμή τις ἐστι τῆς ἀξίας τῶν ἄλλων. διὸ φαίνεται πάντα ὤνια εἶναι αὐτοῦ. * Καὶ τρυφεροὶ, καὶ σαλάκωνες· τρυφεροὶ μὲν, διὰ τὴν τρυφὴν, καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας· σαλάκωνες δὲ καὶ σόλοικοι διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυμαζόμενον ὑπ' αὐτῶν· καὶ τὸ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους ἃ καὶ αὐτοί. ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσι· πολλοὶ γάρ εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων.

* QUI autem mores à 155
divitiis proveniant,
in promptu eſt omnibus videre. Sunt enī divites contumelioſi, ac ſuperbi. Hanc verò labem inurit eis divitiarum copia: nam ita ſunt affecti, quaſi omnia bona poſſiderent. Sunt enim divitię, quaſi pretium, ac æſtimatio dignitatis omnium aliarum rerum. Unde fit, ut dives omnia ſibi emere, ac parare poſſe
videatur. *Sunt etiam deli- 156
cati, & arrogantes: ac delicati quidem ſunt cùm propter ipſas divitias, in quibus verſantur, tùm quia fęlicitatem ſuam oſtentare gaudent; arrogantes autē, & elati, quoniam omnes ferè in eis rebus verſari ſolent, quas ipſi amant, atque admirantur, & quia putant, alios eadem æmulari, quæ ipſi ſuſpiciunt. Atque hæc jure ſuo quodammodo faciunt; multi ſunt enim, qui illorum ope, qui facultates habent, indigeant. Un-

Unde illud eſt Simonidis
poetæ dictum de ſapienti-
bus, & divitibus. Cum
enim Hieronis uxor ab eo
petiſſet, utrum præſtaret,
divitem ne eſſe, an ſapien-
tem, divitem reſpondit; di-
xit enim, ſe paſſim videre
ſapientes in foribus di-
vitum commorantes. At-
que etiam ideo ſunt arro-
gantes, quia ſe dignos im-
perio cenſent; nam ea ſe
tenere putant, quæ qui
poſſident, aliis imperare
157 digni ſunt. * Verùm (ut in
ſumma dicam) inſipientis
fortunati divitiæ mores
158 exprimunt. * Plurimum
verò differunt mores eo-
rum, qui nuper divites fa-
cti ſunt, ab eis, qui jampri-
dem erant divites: quòd
novi divites magis omni-
bus vitiis, atque illis de-
terioribus cumulati ſunt;
quædam enim eſt quaſi i-
gnorantia divitiarum, nu-
159 per eſſe ditatum. * Et inju-
rias inferunt, non qui-
dem ob malitiam, ſed
vel per contumeliam, vel
per incontinentiam: ut
cum pulſant homines, &
ſtuprum committunt.

ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην, πότερον γενέσθαι κρεῖττον, πλούσιον, ἢ σοφόν, πλούσιον εἰπεῖν· τοὺς γὰρ σοφοὺς ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις, ἔφη, διατρίβοντας. καὶ τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν· ἔχειν γὰρ οἴονται, ὧν ἕνεκεν ἄξιον ἄρχειν. * Καὶ ὡς ἐν κεφαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθος ὁ πλοῦτός ἐστι. * Διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις, καὶ τοῖς πάλαι, τὰ ἤθη. τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους· ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι. * Καὶ ἀδικήματα ἀδικοῦσιν, οὐ κακουργικά, ἀλλὰ τὰ μὲν, ὑβριστικά, τὰ δὲ, ἀκρατευτικά· οἷον εἰς αἰκίαν, καὶ μοιχείαν.

CA-

CAPUT XVII.

De Potentum, & Fortunatorum moribus.

* Ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη· τὰ μὲν γὰρ, τὰ αὐτὰ ἔχει ἡ δύναμις τῷ πλούτῳ, τὰ δὲ, βελτίω· φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέστεροί εἰσι τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων, διὰ τὸ ἐφίεσθαι ἔργων, ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν. * Καὶ σπουδαστικώτεροι, διὰ τὸ ἐν ἐπιμελείᾳ εἶναι, ἀναγκαζόμενοι σκοπεῖν τὰ περὶ τὴν δύναμιν. * Καὶ σεμνότεροι ἢ βαρύτεροι· ποιεῖ γὰρ ἐμφανεστέρους τὸ ἀξίωμα· διὸ μετριάζουσιν· ἔστι δὲ ἡ σεμνότης, μαλακὴ καὶ εὐσχήμων βαρύτης. * Καὶ ἐὰν ἀδικῶσιν, οὐ μικραδικητικοί εἰσιν,

* EODEM modo mores eorum, qui cum imperio ac poteſtate ſunt, majori ex parte ſunt perſpicui. Partim enim iiſdem moribus præditi ſunt, quibus divites, partim melioribus: ſunt enim potentes honoris appetentiores, & animo magis virili, quàm divites: expetunt enim eas res quas propter potentiam tractandi facultatem habent. 160
* Sunt etiam multò magis ſtudioſi propter curam, ac diligentiam, quam habere coguntur, ut potentiam conſervent. 161
* Sunt excelſo potiùs animo, quàm moleſto: dignitas enim eos conſpectiores efficit, atque hac de cauſa modeſtè ſe gerunt. Eſt autem excelſitas animi quædam lenis, & honeſta gravitas. 162
* Quòd ſi fortè potentes injuriam inferant, non in parvis, & minutis rebus, 163

ſed

ſed in magnis obeſſe ſtu-
164 dent. * Fortunæ proſperitas eos mores habet, qui ſigillatim explicati ſunt: nam quæ magnæ proſperitates eſſe videntur, ad hæc, quæ modò diximus, tendunt: & prætereà bonam, magnamque liberorum copiam, & quæ corporis bona ſunt, fortunæ proſperitas adfert. Solent autem homines ſuperbiores, & inconſideratiores ob proſperitatem eſſe: in illo verò uno quod optimum eſt, fortunati excellunt, quòd piè deos colunt, atque in illos benè affecti ſunt, eiſque confidunt propter ea bona, quę beneficio fortunæ conſecuti ſunt. Ac de moribus quidem, qui ab ætate, atque à fortuna proveniunt ſatis dictum eſt, nam quæ ſunt iis, quæ diximus, contraria, facilè ex contrariis intelligi poſſunt, ut qui ſint pauperis, & infortunati, & impotentis mores.

ἀλλὰ μεγαλαδικηπικοί. * Ἡ δ' εὐτυχία τὰ μόρια ἔχει τῶν εἰρημένων τὰ ἤθη· εἰς γὰρ ταῦτα συντείνουσιν αἱ μέγισται δοκοῦσαι εἶναι εὐτυχίαι. καὶ ἔτι εἰς εὐτεκνίαν, καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν. ὑπερηφανώτεροι μὲν οὖν καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν. ἓν δ' ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι, καὶ ἔχουσι πρὸς τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀγαθὰ ἀπὸ τῆς τύχης. περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν, εἴρηται· τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φανερά ἐστιν· οἷον, πένητος καὶ ἀτυχοῦς ἦθος, καὶ ἀδυνάτου.

CA-

CAPUT XVIII.

Epilogantur dicta: oſtenditur agendum eſſe de communibus, & quænam ſint, explicatur.

*ΕΠΕΙ δὲ ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν ἐστί· περὶ ὧν γὰρ ἴσμεν, καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λόγου. ἔστι δὲ, ἄν τε πρὸς ἕνα τις χρώμενος τῷ λόγῳ προτρέπῃ ἢ ἀποτρέπῃ· οἷον οἱ νουθετοῦντες ποιοῦσιν, ἢ πείθοντες· οὐδὲν γὰρ ἧττον κριτής ἐστιν εἷς· ὃν γὰρ δεῖ πεῖσαι, οὗτός ἐστιν, ὡς ἁπλῶς εἰπεῖν, κριτής. ἐάν τε πρὸς ἀμφισβητοῦντα, ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις ὁμοίως. τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι,

165 *ILLUD verò non dubium eſt, quin omnis uſus orationum, quæ perſuadendi vim habent, ad judicium referatur: in iis enim rebus, quas novimus, & de quibus jam judicavimus, non ampliùs opus eſt oratione. Eſt autem judicium etiam, ſiquis cum uno tantùm probabili oratione utatur, vel ſuadendo, vel diſſuadendo, ut qui admonent, aut aliquid perſuadere conantur, facere ſolent: neque enim minus eſt judex, quod unus tantùm ſit: nam quicunque eſt ille, cui aliquid perſuadendum ſit, is (ut in ſumma dicam) judex eſt, ſive contra litigantem quis diſſerat, ſive propoſitam aliquam cauſam defendat: nam oratione uti neceſſe eſt,

atque

atque illa refellere, quæ
contra dici poſſunt; cum
eis enim tanquam cum
adverſario contendit: ea-
dem ratio eſt etiam in
exornationibus. Ad au-
ſcultatorem enim, tan-
quam ad judicem, habe-
tur oratio. Sed omninò
tamen propriè dicitur ille
judex: qui in civilibus
controverſiis de iis, quæ
in quæſtionem veniunt,
ſententiam fert: nam de
controverſiis, quæ in foro
verſantur, & de quibus in
concione conſultant, quo-
modo ſeſe habeant, quæ-
166 ritur. * Quod autem ad
Rerump. mores attinet,
in deliberativo genere ſa-
tis à nobis anteà dictum
eſt. Quare ſimul etiam
declaratum videri poteſt,
quomodo, quibusque ra-
tionibus poſſimus oratio-
ne noſtra ſingularum mo-
res exprimere. Cum au-
tem in unoquoque di-
cendi genere diverſi fines
ſint; & de omnibus eis
ſumptæ ſint, ac decla-
ratæ opiniones, atque
propoſitiones, ex qui-
bus fidem faciunt, & qui
deliberant, & qui lau-
dant, & qui litigant:

καὶ ἀναιρεῖν τὰ ἐναντία, πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται. ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς· ὥσπερ γὰρ πρὸς κριτὴν, τὸν θεωρὸν ὁ λόγος συνέστηκεν. ὅλως δὲ μόνος ὡς ἁπλῶς ἐστι κριτὴς ὁ ἐν τοῖς πολιτικοῖς ἀγῶσι τὰ ζητούμενα κρίνων· τότε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει, καὶ περὶ ὧν βουλεύονται. * Περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν, ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον. ὥστε διωρισμένον ἂν εἴη, πῶς τε, καὶ διὰ τίνων τοὺς λόγους τοὺς ἠθικοὺς ποιησόμεθα. ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων, ἕτερόν τι τὸ τέλος ἦν, περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσὶν, ἐξ ὧν τὰς πίστεις φέρουσι καὶ συμβουλεύοντες, καὶ ἐπιδεικνύοντες, καὶ ἀμφισβητοῦντες.

ἔτι δὲ, ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται. * Λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν· πᾶσι γὰρ ἀναγκαῖον, τὰ περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις· καὶ τοὺς μὲν, ὡς ἔσται· τοὺς δὲ, ὡς γέγονε πειρᾶσθαι δεικνύναι. ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων. χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν, καὶ συμβουλεύοντες ἢ ἀποτρέποντες, καὶ ἐπαινοῦντες ἢ ψέγοντες, καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι. τούτων δὲ διορισθέντων, περὶ τῶν ἐνθυμημάτων κοινῇ πειραθῶμεν εἰπεῖν, εἴ τι ἔχομεν. καὶ περὶ παραδειγμάτων, ὅπως τὰ λοιπὰ προσθέντες, ἀποτελέσωμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. ἔστι δὲ τῶν κοινῶν, τὸ μὲν αὔξειν, οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ὥσπερ εἴρηται.

& prætereà demonſtratum ſit, unde ducantur orationes, quæ benè mores exprimant: * Supereſt, 167
ut ea commemoremus, quæ communia ſunt omnium generum. Neceſſe eſt enim, ut in omni genere dicendi quæratur, quid fieri, aut non fieri poſſit; & hi quidem demonſtrare conentur aliquid futurum, illi verò factum eſſe. Quin etiam de magnitudine rei diſſerere, commune eſt omnium generum. Omnes enim & amplificare, & imminuere ſolent, & ſuadentes, & diſſuadentes, & laudantes, & vituperantes, & accuſantes, & defendentes. Hæc poſtquam explicuerimus; tunc communiter de enthymematibus, ſi quid habemus, dicere conabimur: ac de exemplis etiam, ut quæ reliqua ſunt, adjungentes, incœpto operi finem imponamus. Ex locis autem communibus amplificatio demonſtrativi generis eſt maximè propria, ſicut anteà dictum eſt, quod

quod verò factum eſt, judicialis generis: de factis enim rebus judicium fieri ſolet. Denique, quod fieri poteſt, & futurum eſt deliberantibus convenit.

τὸ δὲ γεγονὸς, τοῖς δικανικοῖς· περὶ τούτων γὰρ ἡ κρίσις· τὸ δὲ δυνατὸν καὶ ἐσόμενον, τοῖς συμβουλευτικοῖς.

CAPUT XIX.

Statuuntur propoſitiones, quibus oſtendi poteſt aliquid eſſe poſſibile, vel impoſſibile, fuiſſe factum, vel non fuiſſe factum, eſſe futurum, vel non eſſe futurum.

168 * PRIMUM igitur de eo, quod fieri, aut non fieri poteſt, verba faciamus. Ac quidem, ſi contrarium ejuſmodi eſt, ut aut eſſe, aut factum eſſe poſſit; etiam alterum contrarium eandem naturam habebit: ut ſi fieri poteſt, ut aliquis bonam valetudinem recuperet; eundem etiam in morbum incidere potuiſſe, certum eſt: eadem enim eſt contrariorum poteſtas, quatenus contraria ſunt.
169 * Et quæ ſimilia ſunt, ſi alterum eorum fieri poteſt, etiam alterum poterit. Et ſi quod difficilius eſt effici poteſt, etiam id, quod eſt facilius, poterit effici. Et ſi quid poteſt fieri bonum, aut pulchrum;

* ΠΡΩ͂ΤΟΝ μὲν οὖν περὶ δυνατῶν καὶ ἀδυνάτων λέγωμεν. ἂν δὴ τὸ ἐναντίον ᾖ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι, καὶ τὸ ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν· οἷον, εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ νοσῆσαι· ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. * Καὶ εἰ τὸ ὅμοιον δυνατὸν, καὶ τὸ ὅμοιον. καὶ εἰ τὸ χαλεπώτερον δυνατὸν, καὶ τὸ ῥᾷον. καὶ εἰ τὸ σπουδαῖον ἢ καλὸν γενέσθαι δυνατόν:

καὶ

καὶ ὅλως γενέσθαι δυνατόν· χαλεπώτερον γὰρ καλὴν οἰκίαν, ἢ οἰκίαν εἶναι. * Καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ τὸ τέλος. οὐδὲν γὰρ γίγνεται, οὐδὲ ἄρχεται γίγνεσθαι τῶν ἀδυνάτων· οἷον, τὸ σύμμετρον τὴν διάμετρον εἶναι. οὔτε ἂν ἄρξαιτο γίγνεσθαι, οὔτε γίγνεται, καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή· ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται. * Καὶ εἰ τὸ ὕστερον τῇ οὐσίᾳ ἢ τῇ γενέσει, δυνατὸν γενέσθαι, καὶ τὸ πρότερον· οἷον, εἰ ἄνδρα γενέσθαι δυνατόν, καὶ παῖδα· πρότερον γὰρ ἐκεῖνο γίγνεται· καὶ εἰ παῖδα, καὶ ἄνδρα· ἀρχὴ γὰρ ἐκείνη. * Καὶ ὧν ἔρως ἢ ἐπιθυμία φύσει ἐστίν· οὐδεὶς γὰρ τῶν ἀδυνάτων ἐρᾷ, οὐδ' ἐπιθυμεῖ ὡς ἐπιτοπολύ. * Καὶ ὧν ἐπιστῆμαί εἰσι καὶ τέχναι,

id etiam ſimpliciter fieri poterit: difficilius eſt enim, domum eſſe pulchram, quàm domum eſſe. * Et quod principium 170
habere poteſt, id etiam finem habebit, nihil enim fit, neque fieri incipit eorum, quæ nullo modo fieri poſſunt: ut quod dimetiens lateri ſit comparabilis, hoc neque initium capit ſui ortus, neque fit. Et quod finem habere poteſt, id etiam principium habebit; nam à principio cuncta proveniunt. * Et 171
ſi quod poſterius natura, aut ortu factum eſſe contingit; etiam id, quod prius eſt, ut, ſi fieri poteſt, aliquem eſſe virum factum; idem etiam puer fieri potuit; nam hoc priùs fieri ſolet. Et contrà, ſi quis puer fieri poteſt, etiam vir fieri poterit; nam illud eſt principium. * Illa quo- 172
que effici poſſunt, quorum amor, & cupiditas à natura inſita eſt; nam plerunque fit, ut nemo diligat, aut cupiat ea, quæ fieri nullo modo poſſunt. * Et ea, quorum 173
ſcientiæ, atque artes ſunt.

natu-

naturam hanc habent, ut
eſſe, & gigni poſſint.
174 * Et ea fieri poſſunt,
qûorum principium ortus
eſt in eis, quæ nos
cogere, aut perſuadere
poſſumus. Hæc autem
ſunt, quibus aut opibus
præſtamus, aut domini
175 ſumus, aut amici. * Et
quorum partes effici poſſunt,
etiam totum:
& contrà, ſi totum
fieri poteſt, etiam partes;
nam, ſi obſtragulum,
& ligula, & ſolea
fieri poſſunt, etiam
calcei poſſunt fieri; &
ſi calcei, poteſt etiam
obſtragulum, & ligula,
176 & ſolea. * Et, ſi genus
fieri poteſt, etiam ſpecies
fieri poterit; & ſi
ſpecies, etiam genus;
ut, ſi navis fieri poteſt,
etiam triremis;
& ſi triremis, etiam
177 navis. * Et ſi alterum
eorum, quæ ſub eandem
rationem cadunt, fieri
poteſt, etiam alterum
poterit, ut, ſi duplum
fieri poteſt, etiam, dimidium
poterit: & ſi dimidium,
etiam duplum.
178 * Et quod ſine arte, atque
apparatu fieri poteſt,

δυνατὸν ταῦτα καὶ εἶναι καὶ γίνεσθαι. *Καὶ ὅσων ἡ ἀρχὴ τῆς γενέσεως ἐν τούτοις ἐστὶν, ἃ ἡμεῖς ἀναγκάσαιμεν ἂν, ἢ πείσαιμεν. ταῦτα δ' ἐστὶν, ὧν κρείττους, ἢ κύριοι, ἢ φίλοι. * Καὶ ὧν τὰ μέρη δυνατὰ, καὶ τὸ ὅλον. καὶ ὧν τὸ ὅλον δυνατὸν, καὶ τὰ μέρη ὡς ἐπιτοπολύ· εἰ γὰρ πρόσχισμα, καὶ κεφαλὶς, καὶ χιτὼν δύναται γενέσθαι, καὶ ὑποδήματα δύναται γενέσθαι· καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα, καὶ κεφαλὶς καὶ χιτών. * Καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος. καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος· οἷον εἰ πλοῖον γενέσθαι δυνατὸν, καὶ τριήρη· καὶ εἰ τριήρη καὶ πλοῖον. * Καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα πεφυκότων, καὶ θάτερον. οἷον, εἰ διπλάσιον, καὶ ἥμισυ· καὶ εἰ ἥμισυ, καὶ διπλάσιον. * Καὶ εἰ ἄνευ τέχνης, ἢ παρασκευῆς δυνατὸν γενέσθαι τι,

μᾶλ-

μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν· ὅθεν καὶ Ἀγάθωνι εἴρηται·

—Καὶ μὴν τὰ μέν γε
τῇ τύχῃ πράσσειν·
Τὰ δ' ἡμῖν ἀνάγκῃ καὶ
τύχῃ προσγίγνεται.

* Καὶ εἰ τοῖς χείροσιν ἢ ἥττοσιν ἢ ἀφρονεστέροις δυνατὸν, καὶ τοῖς ἐναντίοις μᾶλλον· ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι, εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται εὑρεῖν. περὶ δὲ ἀδυνάτων δῆλον, . ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις ὑπάρχει. * Εἰ δὲ γέγονεν, ἢ μὴ γέγονεν, ἐκ τῶνδε σκεπτέον. πρῶτον μὲν γὰρ, εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονε, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον. * Καὶ εἰ τὸ ὕστερον εἰωθὸς γίγνεσθαι, γέγονε, καὶ τὸ πρότερον γέγονεν. οἷον, εἰ ἐπιλέλησται, καὶ ἔμαθέ ποτε τοῦτο.

id magis adhibita arte, ac diligentia fieri poterit. Unde ab Agathone dictum eſt:

Fortuna quædam agenda
nobis objicit,
Quædam ſimul fert caſus,
& neceſſitas.

*Et, ſi quid à deterioribus, 179
vel impotentioribus, vel imprudentioribus fieri poteſt, id multò magis ab iis, qui ſunt his contrarii, fieri poterit, unde dictum illud Iſocratis, qui rem indignam eſſe dixit, & gravem, ſi Euthynus quidem didiciſſet, ipſe verò non poſſet invenire. Quæ verò fieri non poſſunt facilè percipiuntur ex contrariis eorum, quæ dicta ſunt. * Quod ſi quæ- 180
ratur, utrum aliquid factum ſit, an non factum his modis conſiderari poteſt. Primò, ſi quod à natura fieri minus eſt aptum, factum eſt, etiam id erit factum; quod fieri magis eſt aptum. * Et, 181
ſi quod poſterius fieri conſuevit, factum eſt, id etiam, quod prius, factum eſt: ut, ſi quis rem aliquam oblitus eſt, etiam aliquando illam didicit.

182 * Et ſi quis quippiam effi-
cere potuit, & voluit, non
dubium eſt, quin fecerit:
omnes enim, cum aliquid
poſſunt, & volunt, id etiam
efficiunt, cum nihil eis im-
183 pedimento ſit. * Et ſi vo-
luntatem habuerit, nulla-
que res eum externa prohi-
184 buerit. * Et ſi res illa fieri
potuit, & qui feciſſe dici-
185 tur, iratus erat. * Et ſi fa-
cultatem habuit, & concu-
pivit: nam plerique, ſi po-
tuerint, ea faciunt, quo-
rum deſiderio tenentur;
improbi quidem propter
incontinentiam, probi ve-
rò, quia res tantùm ju-
186 ſtas deſiderant. * Et ſi
quid futurum erat, aut
aliquis facere paratus e-
rat: nam probabile eſt,
cum quis facturus fuerat,
187 etiam feciſſe. * Et ſi omnia
facta ſunt, quæ naturæ or-
dine vel ante illud, vel e-
jus gratia fieri ſolent; ut,
ſi fulguravit, etiam tonuit:
& ſi ſolicitavit, etiam
confecit. Et ſi ea facta
ſunt, quæ naturæ ordine
poſteà conſequuntur, vel
quorum gratia fiunt a-
lia; factum etiam illud
eſt, quod eſt prius, &
quod aliorum gratia fit:

* Καὶ εἰ ἐδύνατο καὶ ἐβούλετο, πέπραγε· πάντες γὰρ, ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν· ἐμποδὼν γὰρ οὐδέν. * Ἔτι, εἰ ἐβούλετο, καὶ μηδὲν τῶν ἔξω ἐκώλυε. * Καὶ εἰ δυνατὸν, καὶ ὠργίζετο. * Καὶ εἰ ἐδύνατο, καὶ ἐπεθύμει· ὡς γὰρ ἐπιτοπολὺ, ὧν ὀρέγονται, ἂν δύνωνται, καὶ ποιοῦσιν, οἱ μὲν φαῦλοι, δι' ἀκρασίαν· οἱ δ' ἐπιεικεῖς, ὅτι τῶν ἐπιεικῶν ἐπιθυμοῦσι. * Καὶ εἰ ἔμελλε γίγνεσθαι, καὶ ποιεῖν· εἰκὸς γὰρ τὸν μέλλοντα καὶ ποιῆσαι. * Καὶ εἰ γέγονεν ὅσα πεφύκει πρὸ ἐκείνου, ἢ ἕνεκα ἐκείνου· οἷον, εἰ ἤστραψε, καὶ ἐβρόντησε. καὶ εἰ ἐπείρασε, καὶ ἔπραξε· καὶ εἰ ὅσα ὕστερον πέφυκε γίγνεσθαι, ἢ οὗ ἕνεκα γίγνεται, γέγονε, καὶ τὸ πρότερον, καὶ τούτου ἕνεκα, γέγονεν· οἷον,

οἷον, εἰ ἐβρόντησε, καὶ ἤστραψε· καὶ εἰ ἔπραξε, καὶ ἐπείρασεν. ἔστι δὲ τούτων ἁπάντων, τὰ μὲν, ἐξ ἀνάγκης, τὰ δὲ, ὡς ἐπιτοπολὺ οὕτως ἔχοντα. * Περὶ δὲ τοῦ μὴ γεγονέναι, φανερὸν, ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις. καὶ περὶ τοῦ ἐσομένου, ἐκ τῶν αὐτῶν δῆλον· τό,τε γὰρ ἐν δυνάμει καὶ βουλήσει ὂν, ἔσται, καὶ τὰ ἐν ἐπιθυμίᾳ, καὶ ὀργῇ, καὶ λογισμῷ μετὰ δυνάμεως ὄντα. διὰ ταῦτα καὶ εἰ ἐν ὁρμῇ τοῦ ποιεῖν ἢ μελλήσει, ἔσται· ὡς γὰρ ἐπιτοπολὺ γίγνεται μᾶλλον τὰ μέλλοντα, ἢ τὰ μὴ μέλλοντα, καὶ εἰ προγέγονεν ὅσα πρότερον πέφυκε γίγνεσθαι· οἷον, εἰ συννεφεῖ, εἰκὸς ὗσαι. καὶ εἰ τὸ ἕνεκα τούτου γέγονε, καὶ τοῦτο εἰκὸς γενέσθαι· οἷον, εἰ θεμέλιος, καὶ οἰκία.

ut ſi tonuit, etiam fulguravit, & ſi confecit, etiam ſolicitavit. Ex his autem omnibus aliqua neceſſaria ſunt, aliqua majori ex parte fieri ſolent. * Quod verò non 188
factum eſſe dicitur, facilè probatur ex contrariis eorum, quæ dicta ſunt. Atque ex iiſdem locis intelligitur etiam, quid futurum ſit. Nam quod eſt in poteſtate noſtra, atque voluntate ſitum, id etiam erit. Et quę cupiditas jubet, & ira, & cogitatio, ſi poteſtati conjuncta ſunt, erunt. Prætereà, ſi in procinctu eſt, ut fiat, aut ſi futurum eſt, erit; nam plerunque fiunt ea potiùs, quę futura erant, quàm quæ non futura: & ſi jam omnia extiterunt, quę natura præcedere ſolent: ut, ſi nubes coactæ ſunt, imber erit. Et ſi quod hujus gratia fit, factum eſt, veriſimile eſt etiam, hoc futurum: ut, ſi fundamentum, etiam domus.

CAPUT XX.

Ex iis, quę dicta ſunt in genere deliberativo, dictum autem eſt Capite VII. *Libri* I. *poſſe deſumi propoſitiones ad amplificandum, vel minuendum.*

189 * De magnitudine autem & parvitate rerum, & de majore, & minore, & omninò de magnis & parvis ex iis, quæ jam tradita ſunt, nobis perſpicuum eſſe poteſt. Nam in iis, quæ diximus de genere deliberativo, de magnitudine etiam bonorum, & de majore, ac minore ſimul diximus. Quare, cum in unoquoque genere finis propoſitus bonus ſit, ut utilitas, honeſtas, æquitas; perſpicuum eſt, inde ſumendas cujusque generis amplificationes. At verò præter hæc de magnitudine ſimpliciter, & de exuperantia quærere, inanem eſt ſuſcipere ſermonem:

* Περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων, μείζονός τε, καὶ ἐλάττονος, καὶ ὅλως μεγάλων καὶ μικρῶν, ἐκ τῶν προειρημένων ἡμῖν ἐστι φανερόν. εἴρηται γὰρ ἐν τοῖς συμβουλευτικοῖς περί τε μεγέθους ἀγαθῶν, καὶ περὶ τοῦ μείζονος ἁπλῶς, καὶ ἐλάττονος. ὥστ' ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν. οἷον, τὸ συμφέρον, καὶ τὸ καλὸν, καὶ τὸ δίκαιον· φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξήσεις πᾶσι. τὸ δὲ παρὰ ταῦτά τι ζητεῖν περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς, κενολογεῖν ἐστί.

κυ-

κυριώτερα γάρ ἐστι πρὸς τὴν χρείαν τῶν καθόλου, τὰ καθ' ἕκαστα τῶν πραγμάτων· περὶ μὲν οὖν δυνατοῦ καὶ ἀδυνάτου, καὶ πότερον γέγονεν ἢ οὐ γέγονε, καὶ ἔσται, ἢ οὐκ ἔσται· ἔτι δὲ, περὶ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων, εἰρήσθω ταῦτα.

nam ad uſum majorem adferunt utilitatem, quæ ſigillatim traduntur, quàm quæ generatim, atque univerſè. Ac de eo quidem, quod fieri poteſt, aut non poteſt, & utrum aliquid factum ſit, an non factum, & utrum futurum ſit, an non futurum; denique de magnitudine, & parvitate rerum hæc dicta ſufficiant.

CAPUT XXI.

De exemplis, de eorum ſpeciebus, atque uſu.

* ΛΟΙΠΟ`Ν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν, ἐπείπερ εἴρηται περὶ τῶν ἰδίων. εἰσὶ δ' αἱ κοιναὶ πίστεις, δύο τῷ γένει, παράδειγμα, καὶ ἐνθύμημα· ἡ γὰρ γνώμη, μέρος ἐνθυμήματός ἐστι. πρῶτον μὲν οὖν περὶ παραδείγματος λέγωμεν· ὅμοιον γὰρ ἐπαγωγῇ τὸ παράδειγμα. ἡ δ' ἐπαγωγή, ἀρχή.

* RELIQUUM eſt, 190
ut de probationibus, quæ communes ſunt omnium generum, dicamus, cum jam de propriis dixerimus. Sunt autem communium probationum genera duo, exemplum, atque enthymema: nam ſententia enthymematis pars eſt. Primò igitur de exemplo dicamus, quod inductioni perquàm ſimile eſt; inductio verò quoddam eſt principium.

191 * Duo ſunt exemplorum genera: alterum, quo res geſtas commemoramus: alterum, quo nos ipſi fingimus aliquid perinde ut geſtum. Atque hoc ſecundum genus iterum dividitur in duo, quorum alterum collatio, alterum fabula dicitur: quales ſunt Æſopicæ, & Libycæ fabu-
192 læ. * Eſt autem exemplum, res quædam hujuſmodi, ut ſi quis diceret, oportere contra Perſarum regem arma parare, neque pati, ut in ſuam poteſtatem Ægyptum redigat; etenim anteà Darius non priùs in Græciam trajecit quàm Ægyptum cepiſſet: ſed ea capta trajecit. Atque iterum Xerſes non priùs Græciam invaſit, quàm Ægyptum occupavit: qua cum potitus eſſet, tunc invaſit Græciam. Quare etiam iſte, capta Ægypto, copias in Græciam trajiciet; non igitur hoc illi per-
193 mittendum. * Collatio eſt, qua Socrates frequenter uti ſolebat: ut, ſi quis dicat, magiſtratus ſorte creari non oportere,

Παραδειγμάτων δ' εἴδη δύο ἐστίν· ἓν μὲν γάρ ἐστι παραδείγματος εἶδος, τὸ λέγειν πράγματα προγεγενημένα. ἓν δὲ, τὸ αὐτὸν ποιεῖν. τούτου δὲ ἓν μὲν, παραβολή· ἓν δὲ, λόγοι, οἷον οἱ Αἰσώπειοι, καὶ Λιβυκοί. * Ἔστι δὲ, τὸ μὲν παράδειγμα τοῖον δέ τι, ὥσπερ εἴ τις λέγοι, ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι, καὶ μὴ ἐᾶν Αἴγυπτον χειρώσασθαι· καὶ γὰρ πρότερον Δαρεῖος, οὐ πρότερον διέβη, πρὶν Αἴγυπτον λαβεῖν· λαβὼν δὲ, διέβη. καὶ πάλιν, Ξέρξης οὐ πρότερον ἐπεχείρησε, πρὶν ἢ ἔλαβε· λαβὼν δὲ, διέβη. ὥστε καὶ οὗτος, ἂν λάβῃ, διαβήσεται. διὸ οὐκ ἐπιτρεπτέον. * Παραβολὴ δὲ, τὰ Σωκρατικά· οἷον, εἴ τις λέγοι, ὅτι οὐ δεῖ τοὺς κληρωτοὺς ἄρχειν.

ὅμοιον

ὅμοιον γάρ, ὥσπερ εἴ τις τοὺς ἀθλητὰς κληροίη, μὴ οἳ ἂν δύνωνται ἀγωνίζεσθαι, ἀλλ' οἳ ἂν λάχωσιν· ἢ τῶν πλωτήρων ὅντινα δεῖ κυβερνᾷν κληρώσειεν, ὡς δέον τὸν λαχόντα, ἀλλὰ μὴ τὸν ἐπιστάμενον. * Λόγος δέ, οἷος ὁ Στησιχόρου πρὸς Φάλαριν, καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ· Στησίχορος μὲν γάρ, ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν, καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἆλλα διαλεχθεὶς, εἶπεν αὐτοῖς λόγον, ὡς ἵππος κατεῖχε λειμῶνα μόνος· ἐλθόντος δ' ἐλάφου, καὶ διαφθείροντος τὴν νομὴν, βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα τὸν ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτοῦ κολάσαι τὸν ἔλαφον. ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν,

nam id eſſet ſimile ; ac ſi quis athletas eligeret ſorte , non , qui pugnare valeant , ſed quicunque contigerint : vel ſorte ducta , nautarum aliquem ſumeret, cui navis gubernanda traderetur : tanquam oporteat eum , quem ſors voluerit , non qui peritus ſit , navem gu-
bernare . * Fabula eſt , 194
ut ea Steſichori contra Phalarim, & Æſopi de turbulento oratore . Steſichorus enim , cum Himerenſes ducem exercitus ſui cum ſumma poteſtate Phalarim creaſſent , atque illi cuſtodes corporis dare conſtituiſſent : cum alia multa diſſeruiſſet , tandem eis hanc fabulam narravit . Equus olim pratum ſolus depaſcebat , cum cervus ſuperveniens illi paſcua diſturbavit . Equus verò cervum punire cupiens, quendam hominem interrogavit , an ſibi ſuam operam in puniendo cervo præſtare poſſet ; ille ſe poſſe reſpondit , modò frænum equus reciperet,

ac ſe in dorſum aſcendere pateretur, manu jacula geſtantem. Quam cum equus conditionem accepiſſet, & hominem dorſo recepiſſet; non modò cervum non punivit, ſed in hominis ſervitutem redactus eſt. Vos igirur, inquit, cavete, ne cum velitis hoſtes veſtros ulciſci, idem, quod equus ille, patiamini: jam enim frænum recepiſtis, poſtquam ducem exercitus cum ſumma poſtetate Phalarim elegiſtis. Quod, ſi cuſtodes etiam illi corporis dederitis, & aſcendere permiſeritis; jam in ejus ſervitutem devenietis. Æſopus in Samo, cum oratorem quendam turbulentum defenderet, qui rei capitalis inſimulabatur, & de vita periclitabatur; ita dixit: Vulpes quædam, cum fluvium pertranſire vellet, in voraginem decidit: &, cum exire inde nullo modo poſſet, multa mala diu perpeſſa eſt, plurimæque caninæ muſcæ cuti ejus adhæſerunt.

καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν, ἔχων ἀκόντια· συνομολογήσαντος δὲ, καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι, αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ. οὕτω δὲ καὶ ὑμεῖς, ἔφη, ὁρᾶτε, μὴ τοὺς πολεμίους βουλόμενοι τιμωρήσασθαι, ταὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἤδη ἔχετε, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε, καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι. Αἴσωπος δὲ ἐν Σάμῳ συνηγορῶν δημαγωγῷ κρινομένῳ περὶ θανάτου, ἔφη, ἀλώπεκα διαβαίνουσαν ποταμὸν, ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δὲ ἐκβῆναι, πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς·

ἐχῖ-

ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτὴν, κατοικτείραντα ἐρωτᾶν, εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊσάς· τὴν δὲ οὐκ ἐᾶν· ἐρομένου δὲ διὰ τί, φάναι, ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ, καὶ ὀλίγον ἕλκουσιν αἷμα· ἐὰν δὲ τούτους ἀφέλῃ, ἕτεροι ἐλθόντες πεινῶντες, ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα. ἀτὰρ οὖν καὶ ὑμᾶς, ἔφη, ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάπτει· πλούσιος γάρ ἐστιν. ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες. * Εἰσὶ δ' οἱ λόγοι δημηγορικοὶ, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα, χαλεπόν· λόγους δὲ ῥᾶον· ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς,

cum autem herinaceus per eam regionem vagaretur, atque illam conſpexiſſet, miſericordia motus interrogavit, an caninas muſcas à ſe abigi vellet; illa verò non permiſit; &, cum hujus rei cauſam herinaceus peteret, dixit; quoniam iſtæ jam ſatiatæ ſunt, & parum ſanguinis exugunt: quod ſi tu iſtas abegeris, aliæ fame confectæ ſupervenient, quæ reliquum ſanguinem meum totum abſument. Eodem modo, inquit, ò viri Samii, nihil hic orator nobis amplius nocet. Eſt enim locuples, quod ſi hunc interficiendum curaveritis, alii pauperes ſuccedent, qui depeculantes Remp. pecunias omnes veſtras publicas conſument.
* Sunt autem hujuſmodi 195
fabulæ concionibus accommodatæ; atque hanc in ſe commoditatem habent, quòd arduum eſt, res geſtas, & exempla iis, quæ tractantur ſimilia invenire: fabulas autem, facile eſt: nam eas ita fingere, ſicuti collationes licet;

modo quis id, quod ſimile eſt, perſpicere poſſit: quod ii facilè faciunt, qui ſapientiæ ſtudiis incubuerunt. Ac fabulæ quidem faciliùs excogitantur, ſed in deliberationibus exempla longè ſunt utiliora: nam quæ futura ſunt, plerunque paria, ſimiliaque ſunt iis, quæ jam facta ſunt.
196 * Is autem poterit exemplis, tanquam demonſtrationibus uti, qui argumentorum copiam non habuerit: nam per ea fides fit. Quod ſi quis habet argumenta, debet exemplis pro teſtimoniis uti, quæ tanquam probationes, & concluſiones ſint argumentorum. Nam exempla ſi præponantur argumentis, vim inductionis habent, ſed oratoribus inductio non eſt, niſi paucis admodum locis accommodata. At verò, ſi poſtponantur, teſtimoniorum vim habent; teſtis autem ubique ad perſuadendum aptus eſt. Atque ideo, cum quis exempla proponit, neceſſe eſt, ut multa congerat: quòd ſi proponit; unum ſatis eſt.

ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾷν, ὅπερ ῥᾷόν ἐστιν ἐκ φιλοσοφίας, ῥᾴω μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν λόγων· χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι, τὰ διὰ τῶν πραγμάτων· ὅμοια γὰρ ὡς ἐπιτοπολὺ τὰ μέλλοντα τοῖς γεγονόσι. * Δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι, μὴ ἔχοντα μὲν ἐνθυμήματα, ὡς ἀποδείξεσιν· ἡ γὰρ πίστις διὰ τούτων· ἔχοντα δὲ ὡς μαρτυρίοις, ἐπιλόγοις χρώμενον ἐπὶ τοῖς ἐνθυμήμασι· προτιθέμενα μὲν γὰρ ἔοικεν ἐπαγωγῇ· τοῖς δὲ ῥητορικοῖς οὐκ οἰκεῖον ἐπαγωγή, πλὴν ἐν ὀλίγοις· ἐπιλεγόμενα δὲ, μαρτυρίοις· ὁ δὲ μάρτυς, πανταχοῦ πιθανός. διὸ καὶ προτιθέντι μὲν, ἀνάγκη πολλὰ λέγειν· ἐπιλέγοντι δὲ, καὶ ἓν ἱκανόν.

μάρ-

μάρτυς γὰρ πιστὸς καὶ εἷς χρήσιμος. πόσα μὲν οὖν εἴδη παραδειγμάτων, καὶ πῶς αὐτοῖς, καὶ πότε χρηστέον, εἴρηται.

nam etiam teſtis unus, qui probatæ fidei ſit, multum adjuvat. Quot igitur ſint exemplorum formæ, quomodoque ſit eis utendum, & quo tempore declaratum eſt.

CAPUT XXII.

De ſententiis, de earum ſpeciebus, uſu, atque utilitate.

* ΠΕΡΙ' δὲ γνωμολογίας, ῥηθέντος τί ἐστι γνώμη, μάλιστ' ἂν γένοιτο φανερὸν περὶ ποίων τε καὶ πότε, καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις. ἔστι δὲ γνώμη, ἀπόφανσις, οὐ μέντοι περὶ τῶν καθ' ἕκαστον, οἷον, ποῖός τις Ἰφικράτης· ἀλλὰ καθόλου· οὔτε περὶ πάντων καθόλου, οἷον, ὅτι τὸ εὐθὺ καμπύλῳ ἐναντίον, ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσὶ, καὶ αἱρετὰ ἢ φευκτά ἐστι πρὸς τὸ πράττειν.

* QUOD autem ad ſen- 197
tentias dicendas attinet, cum, quid ſententia ſit, expoſitum fuerit, ſimul perſpicuum erit, quibus de rebus, quo tempore, quibusque perſonis conveniat in oratione ſen-
tentias proferre. * Sen- 198
tentia igitur eſt enuntiatio, non quidem ſingularum rerum, aut hominum, ut qualis ſit Iphicrates, verùm generis univerſi: neque tamen omnium rerum abſolutè, generatimque, ut, ſi quis rectum curvo contrarium eſſe dixerit, ſed earum rerum omnium, quæ ad humanas actiones pertinent, & quas in agendo vel expetimus, vel declinamus.

Quare, cum enthymemata nihil aliud ferè ſint, quàm argumentationes, ſi quis in ejuſmodi rebus, vel concluſiones, vel principia enthymematum ſine argumentatione ſumat, erunt ſententiæ, qualis eſt illa;

Quicunque prudens eſt vir, is ne liberos
Optet ſuos nimis ſcientes effici;

hæc quidem eſt ſententia. Quod ſi quis adjungat cauſam, & cur ita ſit, explicet; jam totum ſimul erit enthymema: ut,

Nam preter eam, cui applicant ſe ignaviam,
Parant ſibi livorem acerbum civium.

& illa;

Nemo beatus rebus eſt in omnibus.

rurſus illa;

Nemo omnium omninò virorum liber eſt,

eſt ſententia, ſed ſi jungatur cum ſequenti, fiet enthymema.

Fortunæ enim aut ſervus, aut pecuniæ.

ὥς᾽ ἐπεὶ τὰ ἐνθυμήματα ὁ περὶ τοιούτων συλλογισμός ἐστι χεδὸν, τά τε συμπεράσματα τῶν ἐνθυμημάτων, καὶ αἱ ἀρχαὶ, ἀφαιρεθέντος τοῦ συλλογισμοῦ, γνῶμαί εἰσιν· οἷον,

Χρὴ δ᾽ οὔποθ᾽ ὅςις ἀρτίφρων πέφυκ᾽ ἀνὴρ,
Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

τοῦτο μὲν οὖν γνώμη, προςεθείσης δὲ τῆς αἰτίας, καὶ τοῦ διὰ τί, ἐνθύμημά ἐστι τὸ ἅπαν· οἷον,

Χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας,
Φθόνον πρὸς ἀςῶν ἀλφάνουσι δυσμενῆ.

καὶ τὸ,

Οὐκ ἔςιν ὅςις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.

καὶ τὸ,

Οὐκ ἔςιν ἀνδρῶν ὅςις ἔς᾽ ἐλεύθερος·

γνώμη· πρὸς δὲ τῷ ἐχομένῳ, ἐνθύμημα.

Ἢ χρημάτων γὰρ δοῦλός ἐςιν, ἢ τύχης.

*Εἰ δή ἐστι γνώμη τὸ εἰρημένον, ἀνάγκη τέτταρα εἶναι γνώμης εἴδη· ἢ γὰρ μετ' ἐπιλόγου ἔσται, ἢ ἄνευ ἐπιλόγου. ἀποδείξεως μὲν οὖν δεόμεναί εἰσιν, ὅσαι παράδοξόν τι λέγουσιν, ἢ ἀμφισβητούμενον· ὅσαι δὲ μηδὲν παράδοξον, ἄνευ ἐπιλόγου· τούτων δ' ἀνάγκη, τὰς μὲν, διὰ τὸ προεγνῶσθαι, μηδὲν δεῖσθαι ἐπιλόγου· οἷον,

Ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ.

φαίνεται μὲν γὰρ τοῖς πολλοῖς οὕτω· τὰς δ' ἅμα λεγομένας, δήλας εἶναι ἐπιβλέψασιν· οἷον,

Οὐδεὶς ἐραστὴς, ὅστις οὐκ ἀεὶ φιλεῖ.

τῶν δὲ μετ' ἐπιλόγου, αἱ μὲν, ἐνθυμήματος μέρος εἰσίν· ὥσπερ,

Χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων, ——

* Quòd ſi ea eſt ſententiæ natura, quam diximus; neceſſe eſt; quatuor eſſe ſententiæ ſpecies: vel enim rationem adjunctam habet, vel ſine adjecta ratione profertur. Atque illæ rationis, ac probationis egent, quæ vel admirabile quippiam, vel controverſum enunciant. Quæ verò nihil alienum à multorum opinionibus habent, nullius rationis indigent. Ex his quædam ſunt, quæ neceſſariò nullam rationem requirunt; eoque ab omnibus cognoſcuntur; ut illa; 199

Corpus habere benè conſtitutum optimum eſt; ut nobis quidem videtur,

in hanc enim ſententiam plerique omnes conſentiunt. Quædam verò, ſimul ac enunciantur, perſpicuæ ſunt eis, qui advertunt: ut illa;

Nemo eſt amans, qui ſempiternè non amat.

Earum autem, quæ rationis egent, aliquæ ſunt enthymematis partes; ut illa;

Quicunque prudens eſt vir,

& quæ ſequuntur. Aliquæ verò vim habent enthymematis, unde vocantur enthymematicæ; neque tamen ſunt enthymematis partes, quæ quidem etiam magnoperè præcel-
200 lunt. * Tales ſunt illæ, in quibus ejus, quod dicitur, cauſa apparet: quemadmodum illa;

Ne immortale odium mortali pectore ſerves.

nam ſi quis ita enuntiet: *Ne immortale odium ſerves*, erit ſententia. Id verò, quod adjungitur, *Mortali in pectore*, cauſam exprimit. Eodem modo etiam illa:

Eum mortalia curare decet, qui mortalis eſt, non immortalia.

Ex iis, quæ dicta ſunt, jam perſpicuum eſt, quæ ſententiæ ſpecies ſint, & quibus rebus ſingulæ conveniant.
201 * Quoties enim de illis ambigitur, aut aliquid præter opinionem continent, tunc ſemper addenda eſt ratio: ſed vel præponere licet rationem,

αἱ δ' ἐνθυμηματικαὶ μὲν, οὐκ ἐνθυμήματος δὲ μέρος· αἵπερ καὶ μάλιστα εὐδοκιμοῦσιν. *Εἰσὶ δ' αὗται, ἐν ὅσαις ἐμφαίνεται τοῦ λεγομένου τὸ αἴτιον· οἷον ἐν τῷδε,

Ἀθάνατον ὀργὴν μὴ φύλαττε θνητὸς ὤν.

τὸ μὲν γὰρ φάναι, Μὴ δεῖν ἀεὶ φυλάττειν τὴν ὀργὴν, γνώμη· τὸ δὲ προσκείμενον, Θνητὸν ὄντα, τὸ διὰ τί λέγει. ὅμοιον δὲ καὶ τὸ,

Θνατὰ χρὴ τὸν θνατὸν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν.

φανερὸν οὖν ἐκ τῶν εἰρημένων πόσα τε εἴδη γνώμης, καὶ περὶ ποῖον ἕκαστον ἁρμόττει. *Περὶ μὲν γὰρ τῶν ἀμφισβητουμένων, ἢ παραδόξων, μὴ ἄνευ ἐπιλόγου, ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον,

γνώ-

γνώμῃ χρῆσθαι τῷ συμπεράσματι· οἷον, εἴ τις εἴποι· ἐγὼ μὲν οὖν, ἐπεὶ οὔτε φθονεῖσθαι δεῖ, οὔτ' ἀργὸν εἶναι, οὔ φημι χρῆναι παιδεύεσθαι· ἢ τοῦτο προειπόντα, ἐπειπεῖν τὰ ἔμπροσθεν. περὶ δὲ τῶν μὴ παραδόξων, ἀδήλων δὲ, προστιθέντα τὸ διότι στρογγυλώτατα. ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ τὰ Λακωνικὰ ἀποφθέγματα, καὶ τὰ αἰνιγματώδη· οἷον, εἴ τις λέγει ὅπερ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν. *Ἁρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβύτερον. περὶ δὲ τούτων ὧν ἔμπειρός τις ἐστίν· ὡς τὸ μὲν μὴ τηλικοῦτον ὄντα γνωμολογεῖν, ἀπρεπὲς, ὥσπερ καὶ τὸ μυθολογεῖν· τὸ δὲ περὶ ὧν ἄπειρος, ἠλίθιον, καὶ ἀπαίδευτον.

&, uti ſententia pro concluſione, ut, ſi quis ita dicat: ego quidem, quoniam declinare invidiam oportet, atque ignaviæ nomen fugere, dico, ſapientiæ ſtudiis operam dare non oportere: vel ipſam enuntiare ſententiam, deinde rationem addere. Quoties autem non ſunt quidem præter opinionem, ſed aliquid obſcuritatis habent; tunc rotundè, & concinnè ratio eſt adjungenda. Convenient etiam hujuſmodi locis apopthegmata Laconica, & quæ per enigmata proferuntur, ut, ſi quis idem diceret, quod Steſichorus apud Locrenſes dixit, non oportere contumelioſos eſſe, ne cicadæ humi canant. * Seniori 202
autem homini potiſſimùm convenit ſententias dicere, atque illi præcipuè, qui magnum rerum uſum habeat: indecorum eſt enim puero ſententias dicere, ſicuti etiam fabulas comminiſci. De iis verò quenquam dicere, quorum ignarus eſt, ſtulti, ac rudis ingenii proprium eſt.

hu-

hujus autem rei ſignum eſt, quòd agreſtes homines maximè ſententias loquuntur, & facilè de re
203 qualibet enuntiant. * Generatim autem aliquid proferre, quod nequaquam generale ſit, maximè convenit in conqueſtione, atque amplificatione: & hoc vel in principio, vel poſtquam aliquid concluſum fuerit.
204 * Licebit etiam uti pervulgatis, communibusque ſententiis, ſi cauſæ noſtræ profuerint: nam, quia communes ſunt, tanquam omnium conſenſu probatæ, rectè ſe habere videntur; ut ſi quis, adhortetur ad periculum ſubeundum eos, qui litare non potuerint, & id dicat.

Augurium, ut patriam ſerves, bellare, ſecundum eſt:

& qui concitat inferiores,

Mars eſt communis;

& qui adhortatur ad filios inimicorum etiam innocentes interficiendos:

Stultus qui natos, occiſo patre, relinquit.

quædam etiam proverbia vim ſententiarum habent,

σημεῖον δ' ἱκανόν· οἱ γὰρ ἀγροῖκοι μάλιστα γνωμοτύποι εἰσὶ, καὶ ῥαδίως ἀποφαίνονται. * Καθόλου δὲ μὴ ὄντος καθόλου εἰπεῖν, μάλιστα ἁρμόττει ἐν σχετλιασμῷ, καὶ δεινώσει· καὶ ἐν τούτοις, ἢ ἀρχόμενον, ἢ ἀποδείξαντα. * Χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλλημέναις καὶ κοιναῖς γνώμαις, ἂν ὦσι χρήσιμαι· διὰ γὰρ τὸ εἶναι κοιναὶ, ὡς ὁμολογούντων ἁπάντων, ὀρθῶς ἔχειν δοκοῦσιν, οἷον παρακαλοῦντι εἰς τὸ κινδυνεύειν μὴ θυσαμένους,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

καὶ ἐπὶ τὸ ἥττους ὄντας,

Ξυνὸς ἐνυάλιος.

καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ τέκνα καὶ μηδὲν ἀδικοῦντα·

Νήπιος, ὃς πατέρα κτείνας, παῖδας καταλείπει.

ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί εἰσιν; οἷον

οἷον παροιμία, Ἀττικὸς πάροικος. *Δεῖ δὲ τὰς γνώμας λέγειν, καὶ παρὰ τὰ δεδημοσιευμένα· λέγω δὲ δεδημοσιευμένα· οἷον τὸ, Γνῶθι σαυτόν· καὶ τὸ, Μηδὲν ἄγαν· ὅταν ἢ τὸ ἦθος φαίνεσθαι μέλλῃ βέλτιον, ἢ παθητικῶς εἰρημένον ἐστίν. ἔστι δὲ, παθητικῶς μὲν, εἴ τις ὀργιζόμενος φαίη ψεῦδος εἶναι, ὡς δεῖ γιγνώσκειν αὐτόν· οὗτος γοῦν εἰ ἐγίγνωσκεν αὐτὸν, οὐκ ἄν ποτε στρατηγεῖν ἠξίωσε. τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ, ὥσπερ φασὶ, φιλεῖν ὡς μισήσοντα, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντα. δεῖ δὲ τῇ λέξει τὴν προαίρεσιν δηλοῦν. εἰ δὲ μὴ, τὴν αἰτίαν ἐπιλέγειν· οἷον, ἢ οὕτως εἰπόντα, ὅτι δεῖ φιλεῖν. οὐχ ὥσπερ φασὶν, ἀλλ' ὡς ἀεὶ φιλήσοντα.

ut illud proverbium; *Atticus inquilinus*. *Licet e- 205
tiam ſententias, proferre contra illas, quæ jampridem ſunt pervulgatæ, voco autem pervulgatas, ut illa eſt; *Noſce te ipſum*, & illa; *Nequid nimis*. Atque hoc tunc faciendum eſt; cum vel is, qui dicit, ex ea re melior eſſe videbitur, vel aliqua perturbatione commotus erit; eſt autem cum animi perturbatione dictum, ut ſi quis iratus affirmet, falſum eſſe, quod ſe ipſum noſcere oporteat. Nam hic inquiet, ſi ſe ipſum noviſſet, nunquam exercitum ducere ſe dignum eſſe cenſuiſſet. Melior eſſe videbitur, qui dixerit non eſſe verum, quod ajunt; ita amare oportere, ut aliquando ſis oſurus, ſed potiùs oportere ita odiſſe, ut ſis amaturus. Sed oportet oratione patefacere, quid ipſi ſentiamus. Quod ſi non contingat, cauſam addere oportet: ut, ſi vel ita dicamus. Amare oportet, non quemadmodum ajunt, ſed tanquam ſis ſemper amaturus, illud

illud enim alterum inſidiatoris eſt vel hoc modo ; nequaquam mihi placere poteſt id , quod vulgò dicitur ; verum enim amicum ita amare oportet , tanquam perpetuò ſis amaturus ; ſed neque illud probo ; *Ne quid nimis* : nam improbos homines ſupra modum odiſ-
206 ſe convenit . * Magnam autem in dicendo utilitatem adferunt ſententiæ propter inanem auditorum lætitiam, & opinionem ; gaudent enim ſi quis generatim locutus , eas opiniones tetigerit, quas ipſi ſigillatim habent. Quod autem dico , clariùs exponam , ſimul autem perſpicuum erit, quomodo ipſas opiniones venari oporteat . Nam ſententia , quemadmodum anteà dictum eſt , generalis eſt enuntiatio , qui verò audiunt , tunc lætantur, cum id generatim dicitur , quod ipſi anteà in parte verum eſſe credebant : ut ſi quis malos vicinos , aut filios improbos habeat , eum ſanè probabit , qui dixerit :

ἐπιβούλου γὰρ θάτερον , ἢ ὧδε· οὐκ ἀρέσκει δέ μοι τὸ λεγόμενον· δεῖ γὰρ τόν γ' ἀληθινὸν φίλον, ὡς φιλήσοντα αἰεὶ φιλεῖν . καὶ οὐδὲ τὸ Μηδὲν ἄγαν· δεῖ γὰρ τούς γε κακοὺς ἄγαν μισεῖν . * Ἔχουσι δ' εἰς τοὺς λόγους βοήθειαν μεγάλην , μίαν μὲν δὴ διὰ τὴν φορτικότητα τῶν ἀκροατῶν · χαίρουσι γὰρ , ἐάν τις καθόλου λέγων , ἐπιτύχῃ τῶν δοξῶν , ἃς ἐκεῖνοι κατὰ μέρος ἔχουσιν . ὃ δὲ λέγω , δῆλον ἔσται ὧδε . ἅμα δὲ καὶ πῶς δεῖ αὐτὰς θηρεύειν . ἡ μὲν γὰρ γνώμη , ὥσπερ εἴρηται , καθόλου ἀπόφανσίς ἐστι . χαίρουσι δὲ καθόλου λεγομένου , ὃ κατὰ μέρος προϋπολαμβάνοντες τυγχάνουσιν · οἷον , εἴ τις γείτοσι τύχῃ κεχρημένος , ἢ τέκνοις φαύλοις , ἀποδέξαιτ' ἂν τοῦ εἰπόντος ,

ΟΥ-

Οὐδὲν γὰρ γειτονίας χαλεπώτερον· ἤ, Ὅτι οὐδὲν ἠλιθιώτερον τεκνοποιΐας. ὥστε δεῖ στοχάζεσθαι, πῶς τυγχάνουσι, ποῖα προϋπολαμβάνοντες. εἶθ' οὕτω περὶ τούτων καθόλου λέγειν. ταύτην δὲ δεῖ μίαν χρῆσιν ἔχειν τὸ γνωμολογεῖν. καὶ ἑτέραν κρείττω. ἠθικοὺς γὰρ ποιεῖ τοὺς λόγους. ἦθος δ' ἔχουσι λόγοι, ἐν ὅσοις δήλη ἡ προαίρεσις. αἱ δὲ γνῶμαι πᾶσαι τοῦτο ποιοῦσι, διὰ τὸ ἀποφαίνεσθαι τὸν τὴν γνώμην λέγοντα καθόλου περὶ τῶν προαιρετῶν· ὥστε ἂν χρησταὶ ὦσιν αἱ γνῶμαι, καὶ χρηστοήθη φαίνεσθαι ποιοῦσι τὸν λέγοντα· περὶ μὲν οὖν γνώμης, καὶ τί ἐστι, καὶ πόσα εἴδη αὐτῆς, καὶ πῶς χρηστέον αὐταῖς, καὶ τίνα ὠφέλειαν ἔχει, εἰρήσθω τοσαῦτα.

Nihil eſt vicinitate moleſtius: aut, *Nihil ſtultius, quàm liberos procreare*. Quare diligenter oportet aliqua ratione conjicere, quid ſentiant, exiſtimentque auditores, deinde generatim illud enuntiare. Atque hæc quidem una eſt utilitas, quæ ex ſententiis dicendis percipitur. Eſt etiam altera longè melior, quòd ſententię moratas orationes efficiunt. Orationes autem mores habere dicuntur, in quibus dicentis ſenſus appetitur. Quod in omnibus ſententiis dicendis accidit, eo quòd qui ſententiam dicit, generatim enuntiat, quid ipſe de rebus expetendis ſentiat. Quare, ſi bonæ ſententiæ fuerint, probum etiam oratorem videri faciunt. Atque hæc quidem de ſententia, & quid ipſa ſit, & quot ejus ſint ſpecies, & quomodo ſit utendum ea, quamque utilitatem habeat, dicta ſufficiant.

CAPUT XXIII.

De enthymemate, de locis, quibus enthymemata conficienda ſint.

207 * DE argumentis verò jam generatim primò dicamus, quemadmodum ea quærere oporteat: deinde ſigillatim etiam eorum locos explicemus: ſunt enim hæ duæ inter ſe diſtinctæ ſpecies. 208 * Quòd autem enthymema ſyllogiſmus quidam ſit, anteà dictum eſt, & quomodo ſit ſyllogiſmus, & in quo differat à dialecticis: neque enim, quę remota ſunt, neque cuncta in colligendo ſumere oportet: illud enim obſcurum eſt propter diſtantiam, hoc autem garrulitatis eſt, eo quòd perſpicua dicuntur. Atque hæc etiam cauſa eſt, cur imperiti homines apud plebem faciliùs, quàm eruditi, quod volunt, perſuadeant; quemadmodum poetæ quoque teſtantur, imperitos in corona plebiorum elegantiùs dicere:

* ΠΕΡῚ δὲ ἐνθυμημάτων καθόλου τε εἴπωμεν, τίνα τρόπον δεῖ ζητεῖν· καὶ μετὰ ταῦτα, τοὺς τόπους· ἄλλο γὰρ εἶδος ἑκατέρου τούτων ἐστίν. * Ὅτι μὲν οὖν τὸ ἐνθύμημα συλλογισμός τίς ἐστιν, εἴρηται πρότερον. καὶ πῶς συλλογισμὸς, καὶ τί διαφέρει τῶν διαλεκτικῶν· οὔτε γὰρ πόρρωθεν, οὔτε πάντα δεῖ λαμβάνοντα συνάγειν· τὸ μὲν γὰρ, ἀσαφὲς, διὰ τὸ μῆκος· τὸ δὲ, ἀδολεσχία, διὰ τὸ φανερὰ λέγειν· τοῦτο γὰρ αἴτιον καὶ τοῦ πιθανωτέρους εἶναι τοὺς ἀπαιδεύτους τῶν πεπαιδευμένων ἐν τοῖς ὄχλοις, ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ᾽ ὄχλῳ μουσικωτέρους λέγειν.

οἱ

οἱ μὲν γὰρ τὰ κοινὰ καὶ καθόλου λέγουσιν· οἱ δ', ἐξ ὧν ἴσασι, καὶ τὰ ἐγγύς. ὥστ' οὐκ ἐξ ἁπάντων τῶν δοκούντων, ἀλλ' ἐκ ὡρισμένων λεκτέον· οἷον, ἢ τοῖς κρίνουσιν, ἢ οὓς ἀποδέχονται. καὶ τοῦτο δ', ὅτι οὕτω φαίνεται, δῆλον εἶναι ἢ πᾶσιν, ἢ τοῖς πλείστοις: καὶ μὴ μόνον συνάγειν ἐκ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκ τῶν ὡς ἐπιτοπολύ. * Πρῶτον μὲν οὖν δεῖ λαβεῖν, ὅτι περὶ οὗ δεῖ λέγειν καὶ συλλογίζεσθαι, εἴτε πολιτικῷ συλλογισμῷ, εἴθ' ὁποιῳοῦν, ἀναγκαῖον καὶ τούτου ἔχειν τὰ ὑπάρχοντα, ἢ πάντα, ἢ ἔνια· μηδὲν γὰρ ἔχων, ἐξ οὐδενὸς ἂν ἔχοις συνάγειν· λέγω δὲ, οἷον, πῶς ἂν δυναίμεθα συμβουλεύειν Ἀθηναίοις, εἰ πολεμητέον,

docti enim viri ad res ſuas probandas communibus, & generalibus utuntur: indocti verò ſumunt ea, quæ cognita habent, atque in promptu ſunt. Quare non ex omnibus, quæ probabilia videntur, ſed ex certis, ac definitis ſumenda ſunt argumenta, ut ex eis, quæ vel diſceptatores ipſi probant, vel ii, quorum ſententiam ſequuntur, & illud perſpicuum eſſe debet, vel omnibus, vel maximæ parti ita eis videri. Neque tantùm ex neceſſariis colligendum eſt, ſed etiam ex eis, quæ plerunque fiunt.

* Atque illud primò ſciendum eſt, neceſſe eſſe, ut 209
qui de aliqua re dicturus eſt, & argumentaturus, vel oratorio ſyllogiſmo, vel quocunque alio, quæ in ea re ſunt, cognita, & perſpecta habeat vel omnia, vel ſaltem aliqua; nam ſi nihil cognitum habueris, nihil erit unde argumentari poſſis. Dico autem hoc modo, ut ſi conſilium dandum ſit Athenienſibus, utrum bellum ſuſcipiendum ſit,

nec

nec ne, quomodo id facere poterimus, niſi copias eorum cognitas habuerimus? utrum navales ſint, an pedeſtres, an utriuſque generis, & quantæ ſint: deinde quæ ſint eorum vectigalia, qui amici, qui inimici: prætereà, quæ bella jam anteà geſſerint, & quomodo, cæteraque ejus generis. Et ſi laudandi fuerint, quomodo id præſtabimus, niſi navalem eorum pugnam, & victoriam apud Salaminem inſulam, aut terreſtre prælium in Marathone cognitum habuerimus; aut, quæ pro ſalute filiorum Herculis geſſerunt, & ſi quid eſt aliud hujus generis? omnes enim à bonis, quæ inſunt in aliquibus vel ineſſe videntur, laudare conſueverunt. Eodem modo ex contrariis vituperant: advertunt enim, ſi quid in eis turpe eſt, aut ineſſe videtur; ut quod Athenienſes reliquos Grecos in ſervitutem redegerunt, & quòd Æginetas, & potidæatas, qui cum ipſis contra barbarum pugnaverant,

ἢ μὴ πολεμητέον, μὴ ἔχοντες τίς ἡ δύναμις αὐτῶν, πότερον ναυτικὴ, ἢ πεζικὴ, ἢ ἄμφω· καὶ αὕτη πόση, καὶ πρόσοδοι τίνες· ἢ φίλοι, καὶ ἐχθροί· ἔτι δὲ, τίνας πολέμους πεπολεμήκασι, καὶ πῶς, καὶ τἄλλα τὰ τοιαῦτα. καὶ ἐπαινεῖν, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἢ τὴν ἐν Μαραθῶνι μάχην, ἢ τὰ ὑπὲρ Ἡρακλειδῶν πραχθέντα; ἢ ἄλλο τι τῶν τοιούτων· ἐκ γὰρ τῶν ὑπαρχόντων ἢ δοκούντων ὑπάρχειν καλῶν, ἐπαινοῦσι πάντες. ὁμοίως δὲ καὶ ψέγουσιν ἐκ τῶν ἐναντίων, σκοποῦντές τι ὑπάρχει τοιοῦτον αὐτοῖς, ἢ δοκεῖ ὑπάρχειν· οἷον, ὅτι τοὺς Ἕλληνας κατεδουλώσαντο, καὶ τοὺς πρὸς τὸν βάρβαρον συμμαχεσαμένους,

καὶ ἀριστεύσαντας ἠν-
δραποδίσαντο Αἰ-
γινήτας, καὶ Ποτιδαιά-
τας, καὶ ὅσα ἄλλα τοι-
αῦτα, καὶ εἴ τι ἄλλο ἁ-
μάρτημα τοιοῦτον ὑπ-
άρχει αὐτοῖς. ὡς δ' αὔ-
τως καὶ οἱ κατηγοροῦντες,
καὶ οἱ ἀπολογούμενοι, ἐκ
τῶν ὑπαρχόντων σκοπού-
μενοι κατηγοροῦσι καὶ
ἀπολογοῦνται. οὐδὲν δὲ
διαφέρει περὶ Ἀθη-
ναίων, ἢ Λακεδαιμο-
νίων, ἢ ἀνθρώπου, ἢ θεοῦ,
ταὐτὸ τοῦτο δρᾶν· καὶ
γὰρ συμβουλεύοντι τῷ
Ἀχιλλεῖ, καὶ ἐπαινοῦντα
καὶ ψέγοντι, καὶ κατηγο-
ροῦντι καὶ ἀπολογούμενον
ὑπὲρ αὐτοῦ, τὰ ὑπάρχον-
τα, ἢ δοκοῦντα ὑπάρ-
χειν, ληπτέον, ἵν' ἐκ τού-
των λέγωμεν, ἐπαινοῦντες
ἢ ψέγοντες, εἴ τι κα-
λὸν ὑπάρχει ἢ αἰσχρόν.
κατηγοροῦντες δὲ ἢ ἀ-
πολογούμενοι, εἴ τι δί-
καιον ἢ ἄδικον· συμ-
βουλεύοντες δὲ, εἴ τι
συμφέρον ἢ βλαβερόν.

& ſe ſtrenuè fortiterque geſſerant, ſibi ſervire coegerunt, & ſi qua ſunt hujuſmodi. Præterea quærunt etiam, an in aliquem alium errorem, aut peccatum univerſa civitas delapſa ſit. Idem quoque in accuſando, ac defendendo fieri ſolet: nam ea ſpectantes, quæ inſunt, accuſant, & defendunt. Nihil autem intereſt, ſive de Athenienſibus, ſive de Lacedæmoniis, ſive de aliquo deo, ſive de homine agatur: etenim ſi Achilli conſilium dare voluerimus, aut eum laudare, aut vituperare, aut accuſare, aut defendere; quæ ipſius perſonæ hærent, aut hærere videntur, ſumenda ſunt: ut de illis dicamus. Quòd ſi laudamus, aut vituperamus, ſpectare oportet, ſi quid in eo ſit honeſtum, aut turpe: ſi accuſamus, aut defendimus, ſi quid juſtum, aut injuſtum: ſi conſilium damus, ſi quid eſt, quod prodeſſe, aut obeſſe poſſit.

Idem

Idem etiam in qualibet re faciendum eſt, ut ſi quæratur, utrum bona ſit juſtitia, an non bona, ex iis, quæ ipſi juſtitiæ, aut bono inſunt, colligere oportet. Quare cum omnes ita demonſtrare videantur, ſive accuratiùs, ſive negligentiùs argumententur, neque enim ex omnibus ſine diſcrimine, ſed ex iis, quæ ſingulis rebus adſunt, propoſitiones ſumunt, & hoc cum ratione faciunt: quoniam perſpicuum eſt, aliter fieri nullo modo

210 poſſe. * Haud dubium eſſe poteſt, quin ſit neceſſarium, quemadmodum in Topicis dictum eſt, in ſingulis rebus delectas habere propoſitiones earum rerum, quæ ſæpè accidunt, ac maximè opportunæ ſunt. Atque etiam in rebus, quæ nuper evenerunt, idem ordo ſervandus eſt: neque enim reſpicere oportet ad ea, quæ ſunt infinita; ſed quæ rebus illis adhærent, de quibus eſt oratio; atque illa potiſſimùm colligere, quæ ad rem ipſam quàm proximè accedant:

ὁμοίως δὲ τούτοις καὶ περὶ πράγματος ὁτουοῦν· οἷον περὶ δικαιοσύνης, ἢ ἀγαθὸν ἢ μὴ ἀγαθόν, ἐκ τῶν ὑπαρχόντων τῇ δικαιοσύνῃ, ἢ τῷ ἀγαθῷ. ὥστ' ἐπεὶ καὶ πάντες οὕτω φαίνονται ἀποδεικνύντες, ἄν τε ἀκριβέστερον, ἄν τε μαλακώτερον συλλογίζονται· οὐ γὰρ ἐξ ἁπάντων λαμβάνουσιν, ἀλλ' ἐκ τῶν περὶ ἕκαστον ὑπαρχόντων, καὶ διὰ τοῦ λόγου· δῆλον γὰρ ὅτι ἀδύνατον ἄλλως δεικνύναι. *Φανερὸν ὅτι ἀναγκαῖον, ὥσπερ ἐν τοῖς Τοπικοῖς, πρῶτον περὶ ἕκαστον ἔχειν ἐξειλεγμένα περὶ τῶν ἐνδεχομένων, καὶ τῶν ἐπικαιροτάτων. περὶ δὲ τῶν ἐξ ὑπογυίου γιγνομένων, ζητεῖν τὸν αὐτὸν τρόπον, ἀποβλέποντα μὴ εἰς ἀόριστα, ἀλλ' εἰς τὰ ὑπάρχοντα, περὶ ὧν ὁ λόγος· καὶ περιγράφοντα, ὅτι πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος.

ὅσῳ

ὅσῳ μὲν γὰρ ἂν πλείω ἔχῃ τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷδιον δεικνύναι· ὅσῳ δ' ἐγγύτερον, τοσούτῳ οἰκειότερα, καὶ ἧττον κοινά. * Λέγω δὲ, κοινὰ μὲν, τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι ἄνθρωπος, καὶ ὅτι τῶν ἡμιθέων, καὶ ὅτι ἐπὶ τὸ Ἴλιον ἐστρατεύσατο· ταῦτα γὰρ καὶ ἄλλοις ὑπάρχει πολλοῖς, ὥστ' οὐδὲν μᾶλλον ὁ τοιοῦτος Ἀχιλλέα ἐπαινεῖ ἢ Διομήδην. ἴδια δὲ, ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν, ἢ τῷ Ἀχιλλεῖ, οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώων· καὶ τὸν Κύκνον, ὃς ἐκώλυσεν ἅπαντας ἀποβαίνειν, ἄτρωτος ὤν· καὶ ὅτι νεώτατος, καὶ οὐκ ἔνορκος ὢν ἐστράτευσε· καὶ ὅσα ἄλλα τοιαῦτα· εἷς μὲν οὖν τρόπος τῆς ἐκλογῆς, καὶ πρῶτος οὗτος ὁ τοπικός.

quantò enim plura quis habuerit eorum, quæ rebus adſunt, tantò faciliùs demonſtrabit. Et quantò ea propinquiora fuerint: tantò ad probandum erunt accommodatiora, & minus communia. * Voco 211
autem communia hoc modo; ut, ſi quis Achillem laudet, quòd homo fuerit, & quòd ex numero ſemideorum, & quòd ad bellum Trojanum profectus ſit; hæc enim aliis etiam multis acciderunt. Quare qui hæc commemorat, non magis Achillem, quàm Diomedem laudaret. Proprià verò illa dico, quæ nemini alii contigerunt; ut quòd Hectorem Trojanorum optimum interfecerit, & Cygnum, qui cum vulnerari non poſſet; Græcos omnes exire de navi prohibebat; & quòd omnium eſſet maximè juvenis, & quòd jurejurando non aſtrictus, ad id bellum profectus ſit, & alia, quę ſunt hujus generis. Atque hic quidem unus eſt, ac primus delectus habendi locus, iis ſimilis, qui in Topicis traduntur.

212 * Quæ verò ſint enthymematum elementa, jam dicamus. Elementum autem, & locum enthymematis pro eodem capio. Primùm igitur dicamus, de quibus neceſſe eſt primùm dicere. Nam enthymematum ſunt ſpecies duæ: quædam enim demonſtrant, aliquid eſſe, aut non eſſe; quædam autem refellunt. Quæ ita inter ſe differunt, ſicut in Dialecticis elenchus, & ſyllogiſmus. Atque illud enthymema demonſtrare dicitur, quod ex conceſſis propoſitionibus concludit: illud autem refellere dicitur, quod ex propoſitionibus non conceſſis concludit. Ac jam ferè ſingulis in dicendi generibus declarati ſunt à nobis utiles, ac neceſſarii loci: nam in unoquoque genere delectæ ſunt à nobis propoſitiones, & oſtenſum, ex quibus locis argumenta ſumantur de bono & malo, de honeſto & turpi, de juſto, & injuſto. Quin etiam de moribus, & animi commotionibus,

τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν. στοιχεῖον δὲ λέγω καὶ τόπον ἐνθυμήματος τὸ αὐτό· πρῶτον δ' εἴπωμεν, περὶ ὧν ἀναγκαῖον εἰπεῖν πρῶτον· ἔστι γὰρ τῶν ἐνθυμημάτων εἴδη δύο· τὰ μὲν γὰρ, δεικτικά ἐστιν, ὅτι ἔστιν ἢ οὐκ ἔστι· τὰ δὲ, ἐλεγκτικά. καὶ διαφέρει ὥσπερ ἐν τοῖς Διαλεκτικοῖς ἔλεγχος καὶ συλλογισμός. ἔστι δὲ, τὸ μὲν δεικτικὸν ἐνθύμημα, τὸ ἐξ ὁμολογουμένων συνάγειν· τὸ δὲ ἐλεγκτικὸν, τὸ τὰ ἀνομολογούμενα συνάγειν. σχεδὸν μὲν οὖν ἡμῖν περὶ ἑκάστων τῶν εἰδῶν τῶν χρησίμων καὶ τῶν ἀναγκαίων ἔχονται οἱ τόποι· ἐξειλεγμέναι γὰρ αἱ προτάσεις περὶ ἕκαστόν εἰσιν. ὥστ' ἐξ ὧν δεῖ φέρειν τὰ ἐνθυμήματα τόπων, περὶ ἀγαθοῦ ἢ κακοῦ, ἢ καλοῦ ἢ αἰσχροῦ, ἢ δικαίου ἢ ἀδίκου· καὶ περὶ τῶν ἠθῶν καὶ παθημάτων,

καὶ

καὶ ἕξεων ὡσαύτως εἰλημμένοι ἡμῖν ὑπάρχουσι πρότερον οἱ τόποι. ἔτι δὲ καὶ ἄλλον τρόπον καθόλου περὶ ἁπάντων λάβωμεν, καὶ λέγωμεν, παρασημαινόμενοι τοὺς ἐλεγκτικοὺς καὶ τοὺς ἀποδεικτικοὺς, καὶ τοὺς τῶν φαινομένων ἐνθυμημάτων, οὐκ ὄντων δὲ ἐνθυμημάτων. ἐπείπερ οὐδὲ συλλογισμῶν. δηλωθέντων δὲ τούτων, περὶ τῶν λύσεων καὶ ἐνστάσεων διορίσωμεν, πόθεν δεῖ πρὸς τὰ ἐνθυμήματα φέρειν.

& habitus eodem modo locos anteà declaravimus. Nunc verò alio modo generatim, atque universè de omnibus agamus: & dicamus accuratè, qui loci ſint ad refellendum, & qui ad demonſtrandum accommodati: nec non unde ducantur ea, quæ ſpeciem quidem habent enthymematum; licèt revera non ſint enthymemata; quoniam neque ſyllogiſmi ſunt. His autem declaratis, definiemus etiam, unde ſolutiones, & objectiones ad argumenta labefactanda ſumi poſſint.

CAPUT XXIV.

De locis, ex quibus vera enthymemata conficiuntur.

* ἜΣΤΙ δὲ εἷς μὲν τόπος τῶν δεικτικῶν, ἐκ τῶν ἐναντίων· δεῖ γὰρ σκοπεῖν εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει· ἀναιροῦντα μὲν, εἰ μὴ ὑπάρχει·

* ATQUE unus quidem eorum, quæ 213
demonſtrant, enthymematum locus eſt à contrariis; ſpectare enim oportet, an contrario contrarium inſit: nam ſi non inſit, erit negandum: ſi au-

ſi autem inſit, erit affirmandum: ut, ſi quis probet, temperatè vivere bonum eſſe; quoniam intemperantem agere vitam noxium eſt: vel, quemadmodum in oratione Meſſeniaca, Nam, ſi bellum præſentium malorum cauſa eſt, ea per pacem emendare, ac corrigere opus eſt, & illud:

κατασκευάζοντι δὲ, εἰ ὑπάρχει· οἷον, ὅτι τὸ σωφρονεῖν, ἀγαθόν. τὸ γὰρ ἀκολασταίνειν, βλαβερόν. ἢ ὡς ἐν τῷ Μεσσηνιακῷ· εἰ γὰρ ὁ πόλεμος αἴτιος τῶν παρόντων κακῶν, μετὰ τῆς εἰρήνης δεῖ ἐπανορθώσασθαι.

Si injuſta in illum eſt omnis iracundia,
Qui quempiam læſit per imprudentiam;
Non eſt habenda ei ulla jure gratia,
Neceſſitate qui coactus profuit.

Εἴπερ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν
Ἀκουσίως, δίκαιον εἰς ὀργὴν πεσεῖν·
Οὐδ᾽ ἄν γ᾽ ἀναγκασθείς τις εὖ δράσῃ τινὰ,
Προσῆκόν ἐστι τῷ δ᾽ ὀφείλεσθαι χάριν.

& illud:

Falſum quod eſt, ut ſæpè fit probabile
Dicendo, ſic plerunque contrà uſuvenit,
Ut vera non queant probari ullo modo.

Ἀλλ᾽ εἴπερ ἐστὶν ἐν βροτοῖς ψευδηγορεῖν
Πιθανὸν, νομίζειν χρή γε καὶ τοὐναντίον,
Ἄπιστ᾽ ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς

214 * Alius locus eſt à caſibus ſimilibus: nam eodem modo vel ineſſe, vel non ineſſe oportet: ut ſi quis probare velit, non omne juſtum eſſe bonum;

* Ἄλλος ἐκ τῶν ὁμοίων πτώσεων· ὁμοίως γὰρ δεῖ ὑπάρχειν, ἢ μὴ ὑπάρχειν· οἷον, ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν.

καὶ

καὶ γὰρ ἂν τὸ δικαίως· νῦν δ' οὐχ αἱρετὸν δικαίως ἀποθανεῖν. * Ἄλλος ἐκ τῶν πρὸς ἄλληλα. εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ τὸ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι. καὶ εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι· οἷον, ὡς ὁ τελώνης Διομέδων περὶ τῶν τελῶν. εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι. καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι· καὶ εἰ τῷ ποιήσαντι, καὶ τῷ πεπονθότι. ἔστι δ' ἐν τούτῳ παραλογίσασθαι· εἰ γὰρ δικαίως ἀπέθανε, δικαίως πέπονθεν. ἀλλ' ἴσως οὐχ ὑπὸ σοῦ. διὸ δεῖ σκοπεῖν χωρὶς, εἰ ἄξιος ὁ παθὼν παθεῖν, καὶ ὁ ποιήσας ποιῆσαι. εἶτα χρῆσθαι, ὁποτέρως ἁρμόττει· ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτο·

nam etiam quicquid juſtè fit, bonum eſſet, nunc autem juſtè mori,
non eſt expetendum. * A- 215
lius locus eſt ab iis, quæ ſub eandem rationem cadunt: nam, ſi eorum alteri contigerit vel honeſtè, vel juſtè aliquid facere; etiam alteri perpeti: &, ſi uni juſſiſſe; etiam alteri paruiſſe: ut Diomedon publicanus de vectigalibus dixit. Si enim vobis ea vendere non turpe eſt; neque nobis emere. Et ſi qui damnum accepit, honeſtè, & juſtè multatus eſt, ita etiam qui damnum illud dedit: & contrà, ſi qui damnum dedit, honeſtè, & juſtè fecit; ita etiam qui paſſus eſt. Sed in loco poteſt exiſtere captio; ſi enim quiſpiam juſtè necatus eſt, etiam juſtè paſſus eſt; verùm à te fortaſſe pati non debuit. Atque ideò ſeparatim conſiderare oportet, an qui paſſus eſt, pati dignus erat, & quod fecit, facere debebat: deindè ita eis uti, ſicuti cauſa poſtulat; nam interdum hæc inter ſe diſcrepant.

Neque quicquam prohibet, quin diſcrepare poſſint; ut in Alcmæone Theodectis:

Quis non tua ſcelus parentis oderat?

at ille reſpondit,

Oportere ſeorſum hac, diſtinctèque conſiderare;

cumque Alpheſibœa rogaret, quomodò? ſubjunxit ille:

Dignam mori illam cenſuerunt, non tamen
A me necandam.

Et quemadmodum in judicio Demoſthenis, & eorum, qui Nicanorem occiderant; poſtquàm enim juſtè interfeciſſe judicati ſunt; etiam ille juſtè necatus exiſtimatus eſt. Et de illo, qui Thebis necatus eſt, de quo judicium eſt conſtitutum, utrum mori dignus eſſet; tanquam non injuſtum ſit, eum interficere, qui mori
216 dignus ſit. * Alius locus eſt ex majore, & minore, ut: Si ne dii quidem omnia ſciunt; multò minus homines: hoc autem eſt hujuſmodi.

καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τοῦ Θεοδέκτου.

Μητέρα δὲ τὴν σὴν οὔτις ἐστύγει βροτῶν;

φησὶ δ' ἀποκρινόμενος,

Ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν.

ἐρομένης δὲ τῆς Ἀλφεσιβοίας πῶς; ὑπολαβὼν φησὶ,

Τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν.

καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα· ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ ἐκέλευε κρῖναι, εἰ δικαίως ἦν ἀποθανεῖν, ὡς οὐκ ἄδικον ὂν ἀποκτεῖναι τὸν δικαίως ἀποθανόντα. * Ἄλλος ἐκ τοῦ μᾶλλον καὶ ἧττον. οἷον, εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασι, σχολῇ οἵ γε ἄνθρωποι· τοῦτο γάρ ἐστιν,

εἰ

εἰ ᾧ μᾶλλον ἂν ὑπάρχοι, μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ᾧ ἧττον. τὸ δ', ὅτι τοὺς πλησίον τύπτει, ὅσγε καὶ τὸν πατέρα τύπτει, ἐκ τοῦ, εἰ τὸ ἧττον ὑπάρχει· καὶ τὸ μᾶλλον ὑπάρχει· καθ' ὁπότερον ἂν δέῃ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει. εἴθ' ὅτι οὔ. ἔτι εἰ μήτε μᾶλλον, μήτε ἧττον· ὅθεν εἴρηται,

Si res non ineſt in eo, in quo magis eſſe deberet; perſpicuum eſt, neque in eo eſſe, in quo minus eſſe debet. Illud autem: Qui patrem cædit, etiam propinquos cæderet, ex minore eſt; nam, ſi id ineſt, quod minus eſſe debet; etiam id inerit, quod magis eſſe conſuevit. Hic autem locus in utranque partem valet; ſive rem ineſſe demoſtrandum eſt, ſive non ineſſe; item etiam, ſi neque magis, neque minus, unde illud dictum eſt;

Καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ.
Οἰνεὺς δ' ἄρ' οὐχί, τὸν Ἑλλάδος ἀπολέσας
Κλεινὸν γόνον;

Dicendus eſt ergo miſer parens tuus,
Qui filios amiſerit; non autem erit
Oeneus miſer, cui Græcia flos totius,
Extinctus eſt natus.

καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' Ἀλέξανδρος. καί, εἰ μὴ οἱ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος. καί, εἰ Πάτροκλον Ἕκτωρ, καὶ Ἀχιλλέα Ἀλέξανδρος. καί, εἰ μηδ' οἱ ἄλλοι τεχνῖται φαῦλοι, οὐδ' οἱ φιλόσοφοι.

&, Si non injuſtè geſſit Theſeus, neque Alexander, & Si Tyndaridæ non injuſtè geſſerunt, neque Alexander, & Si Hector juſtè Patroclum interemit; etiam Achillem Alexander: & ſi alii artifices non ſunt improbi, neque philoſophi;

 & ſi

& ſi imperatores non habentur mali, quamvis ſæpè vincantur; ita neque ſophiſtæ. Si privatus quiſque gloriæ veſtræ debet eſſe ſtudioſus, etiam vos debetis Græcorum gloriam
217 curare. * Alius locus eſt à tempore, quod ſpectandum eſt; ut Iphicrates in oratione contra Harmodium: ſi priùs, quàm hæc gererem, poſtulaſſem à vobis, ut mihi ſtatuam erigeretis; ſi ea confeciſſem, nonne eam mihi decreviſſetis? nunc poſtquam confeci, non decernetis? ne igitur committatis, ut quod beneficium expectantes pollicemini, id accepto beneficio, auferatis; & rurſus, ſi quis Thebanis diceret, debere eos aditum in Atticam Philippo tradere; nam, ſi hoc petiſſet, priuſquàm contra Phocenſes eis auxilium tuliſſet; certè polliciti fuiſſent. Abſurdum igitur erit, ſi, quoniam illis fidem habuit, neque id contendit, ei nunc tranſitum non
218 dederint. * Alius locus ſumitur ex iis, quæ contra nos dicuntur; cum ea vertimus in adverſarium.

καὶ, εἰ μὴ δ' οἱ στρατηγοὶ φαῦλοι, ὅτι ἡττῶνται πολλάκις, οὐδ' οἱ σοφισταί. καὶ, ὅτι εἰ δεῖ τὸν ἰδιώτην τῆς ὑμετέρας δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων. * Ἄλλος, ἐκ τοῦ τὸν χρόνον σκοπεῖν, οἷον, ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν, ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ', ἆρ' οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν, ὑπισχνεῖσθε· παθόντες δ', ἀφαιρεῖσθε. καὶ πάλιν πρὸς τὸ Θηβαίους Φίλιππον διϊέναι εἰς τὴν Ἀττικὴν, ὅτι εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν. ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ ἐπίστευσε, μὴ διοίσουσιν. * Ἄλλος ἐκ τῶν εἰρημένων καθ' αὑτοὺς πρὸς τὸν εἰπόντα·

Δια-

Διαφέρει δὲ ὁ τόπος, οἷον ἐν τῷ Τεύκρῳ, ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος, εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν· οὐ φάσκοντος δὲ, εἶτα εἶπε, σὺ μὲν Ἀριστοφῶν ὢν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης; δεῖ δ' ὑπάρχειν μᾶλλον ἂν δοκοῦντα ἀδικῆσαι ἐκεῖνον· εἰ δὲ μὴ, γελοῖον ἂν φανείη, εἰ πρὸς Ἀριστείδην κατηγοροῦντα, τοῦτό τις ἂν εἴποιεν, ἀλλὰ πρὸς ἀπιστίαν τοῦ κατηγόρου· ὅλως γὰρ βούλεται ὁ κατηγορῶν, βελτίων εἶναι τοῦ φεύγοντος. τοῦτ' οὖν ἐξελέγχειν ἀεί. καθόλου δ' ἄτοπος οὗτός ἐστιν, ὅταν τις ἐπιτιμᾷ ἄλλοις, ἃ αὐτὸς ποιῇ, ἢ ποιήσειεν ἄν, ἢ προτρέπει ποιεῖν ἃ αὐτὸς μὴ ποιεῖ, μηδὲ ποιήσειεν ἄν. * Ἄλλος ἐξ ὁρισμοῦ· οἷον, ὅτι τὸ Δαιμόνιον οὐδέν ἐστιν, ἀλλ' ἢ θεὸς, ἢ θεοῦ ἔργον.

Locus autem hic multum excellit, ut in Teucro. Quo loco uſus eſt Iphicrates contra Ariſtophontem, eum interrogans, an ipſe accepta pecunia naves proditurus eſset; quod cum ille negaſſet; ergo inquit, quod tu, cum ſis Ariſtophon, non feciſſes, ego Iphicrates feci? ſed oportet adverſarium videri procliviorem ad injuſtitiam, alioqui res ridicula videretur; ut ſi quis hoc contra Ariſtidem accuſantem diceret. Sed ad accuſatoris perfidiam hoc referendum eſt; omninò enim debet accuſator eſſe reo melior, hoc autem ſemper coarguere oportet. Generatim autem abſurdus eſt homo ille, qui in aliis ea reprehendit quæ vel ipſe facit, vel nactus occaſionem faceret, vel qui aliis ea ſuadet, quæ ipſe nec facit, nec ullo modo faceret. * Alius locus à de- 219
finitione, ut, Dæmonium nihil aliud eſt, quàm vel Deus, vel Dei opus.

qui verò putat aliquod opus eſſe Dei, neceſſe eſt, illum etiam Deos eſſe putare. Et quod Iphicrates dixit: Ille maximè generoſus eſt, qui optimus: etenim in Harmodio & Ariſtogitone nihil antè generoſum fuit, quàm generosè ſe geſſerunt; Et, quòd ipſe propinquior eſſet. Nam res, inquit, meæ geſtæ magis ſunt propinquæ factis Harmodii, & Ariſtogitonis, quàm tuæ: &, quemadmodum Alexandro ſcriptum eſt, omnes in hac eſſe ſententia, ut intemperantes eos exiſtiment, qui non unius corporis pulchritudine frui contenti ſunt. Unde etiam Socrates dixit, ad Archelaum ſe proficiſci nolle; propterea quòd contumelia ſit, beneficia non poſſe reddere, non aliter atque non poſſe injurias ulciſci. Omnes enim iſti rem ipſam definientes, & quid ſit, aperientes, concludunt
210 ea, quæ volunt. * Alius locus eſt, cum aperitur, quot modis aliquid dicatur; ut in Topicis de eo,

καίτοι ὅστις οἴεται θεοῦ ἔργον εἶναι, τοῦτον ἀνάγκη οἴεσθαι καὶ θεοὺς εἶναι· καὶ ὡς ὁ Ἰφικράτης, ὅτι γενναιότατος ὁ βέλτιστος· καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον ὑπῆρχε γενναῖον, πρὶν γενναῖόν τι πρᾶξαι. καὶ ὅτι συγγενέστερος αὐτός. τὰ γοῦν ἔργα συγγενέστερά ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος, ἢ τὰ σά· καὶ ὡς ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι πάντες ἂν ὁμολογήσειαν τοὺς μὴ κοσμίους οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν· καὶ διὸ Σωκράτης οὐκ ἔφη βαδίζειν ὡς Ἀρχέλαον· ὕβριν γὰρ ἔφη εἶναι, τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως εὖ παθόντα, ὥσπερ καὶ κακῶς· πάντες γὰρ οὗτοι ὁρισάμενοι, καὶ λαβόντες τὸ τί ἐστι, συλλογίζονται περὶ ὧν λέγουσιν. * Ἄλλος ἐκ τοῦ ποσαχῶς, οἷον ἐν τοῖς Τοπικοῖς.

περὶ

περὶ τοῦ ὀρθῶς. * Ἄλλος ἐκ διαιρέσεως· οἷον, εἰ πάντες τριῶν ἕνεκεν ἀδικοῦσιν· ἢ τοῦδε γὰρ ἕνεκα, ἢ τοῦδε, ἢ τοῦδε· καὶ διὰ μὲν τὰ δύο, ἀδύνατον· διὰ δὲ τὸ τρίτον, οὐδ᾽ αὐτοί φασιν. * Ἄλλος ἐξ ἐπαγωγῆς· οἷον, ἐκ τῆς Πεπαρηθίας, ὅτι περὶ τῶν τέκνων αἱ γυναῖκες πανταχοῦ διορίζουσι τἀληθές. τοῦτο μὲν γὰρ Ἀθήνῃσι Μαντίᾳ τῷ ῥήτορι ἀμφισβητοῦντι πρὸς τὸν υἱὸν ἡ μήτηρ ἀπέφηνε· τοῦτο δὲ Θήβῃσιν Ἰσμηνίου καὶ Στίλβωνος ἀμφισβητούντων, ἡ Δωδωνὶς ἀπέδειξεν Ἰσμηνίου τὸν υἱόν. καὶ διὰ τοῦτο Θεσσαλίσκον Ἰσμηνίου ἐνόμιζον. καὶ πάλιν ἐκ τοῦ νόμου τοῦ Θεοδέκτου, εἰ τοῖς κακῶς ἐπιμεληθεῖσι τῶν ἀλλοτρίων ἵππων, οὐ παραδιδόασι τοὺς οἰκείους, οὐδὲ τοῖς ἀναστρέψασι τὰς ἀλλοτρίας ναῦς· οὐκοῦν εἰ ὁμοίως ἐφ᾽ ἁπάντων, καὶ τοῖς κακῶς φυλάξασι τὴν ἀλλοτρίαν, οὐ χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν.

quod rectè factum dicitur. * Alius locus à diviſione; ut ſi omnes, qui injuriam faciunt, trium rerum aliqua impelluntur; vel hac, vel iſta, vel illa: & duabus rebus impelli nullo modo potuit: de tertia verò neque ipſi adverſarii inſimulant. 221 * Alius locus ab inductione, ut illud ex Peparethia: matres de filiis ubique verum diſcernere: nam Athenis, cum Mantias orator de filio dubitaret, illi mater indicavit: & Thebis, cum Iſmenias, & Stilbo de filio contenderent Dodonis Iſmeniæ filium eſſe dixit; itaque poſteà Theſſaliſcum Iſmeniæ cenſuerunt. Et quo Theodectes uſus eſt in lege: ſi nemo proprios equos eis committit, qui negligenter alienos curarunt; neque quiſquam naves ſuas eis tradit, qui alienas everterunt. Et ſi hoc in rebus omnibus ita ſe habet; non debemus eis uti in ſalute noſtra tuenda, qui ſalutem alienam malè defenderunt. 222

Et quo Alcidamus utitur, ut probet ſapientes ab omnibus honorari: Parii enim Archilochum, quamvis maledicus eſſet, honorarunt, & Chii Homerum, quamvis eorum civis non eſſet: & Mithylenæi Sapphonem, quanquam eſſet mulier: & Lacedæmonii Chilonem in ſenatum elegerunt; cum tamen ad literarum ſtudia duriores eſſent: & Itali Pythagoram, & Lampſaceni Anaxagoram peregrinum hominem ſepulchro decorarunt, & in hunc uſque diem colunt. Atque Athenienſes, Solonis legibus utentes beati fuere: & Lacedæmonii, dum Lycurgi legibus uſi ſunt: & apud Thebanos, cum primùm civitatis principes ſtudio ſapientiæ ſe dare cœperunt, ſtatim beata civitas extitit.
223 * Alius locus à rebus judicatis aut iiſdem, aut ſimilibus, aut contrariis, & præcipuè, ſi omnes ſemper ita judicarunt: ſin minus, ſaltem quàm plurimi,

καὶ ὡς Ἀλκιδάμας, ὅτι πάντες τοὺς σοφοὺς τιμῶσι· Πάριοι γοῦν Ἀρχίλοχον, καίπερ βλάσφημον ὄντα, τετιμήκασι· καὶ Χῖοι Ὅμηρον, οὐκ ὄντα πολίτην· καὶ Μιτυληναῖοι, Σαπφὼ, καίπερ οὖσαν γυναῖκα· καὶ Λακεδαιμόνιοι, Χίλωνα τῶν γερόντων ἐποίησαν, ἥκιστα φιλολόγοι ὄντες· καὶ Ἰταλιῶται, Πυθαγόραν· καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα ἔθαψαν, καὶ τιμῶσιν ἔτι καὶ νῦν· καὶ Ἀθηναῖοι τοῖς Σόλωνος χρησάμενοι νόμοις, εὐδαιμόνησαν· καὶ Λακεδαιμόνιοι, τοῖς Λυκούργου· καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο, καὶ εὐδαιμόνησεν ἡ πόλις. * Ἄλλος ἐκ κρίσεως περὶ τοῦ αὐτοῦ, ἢ ὁμοίου, ἢ ἐναντίου· μάλιστα μὲν, εἰ πάντες καὶ αἰεί· εἰ δὲ μὴ, ἀλλ' οἵ γε πλεῖστοι,

ἢ σο-

ἢ σοφοὶ, ἢ πάντες, ἢ οἱ πλεῖστοι, ἢ ἀγαθοί. ἢ εἰ αὐτοὶ οἱ κρίνοντες, ἢ οὓς ἀποδέχονται οἱ κρίνοντες, ἢ οἷς μὴ οἷόν τε ἐναντίον κρίνειν· οἷον τοῖς κυρίοις, ἢ οἷς μὴ καλὸν τὰ ἐναντία κρίνειν· οἷον θεοῖς, ἢ πατρὶ, ἢ διδασκάλοις· ὥσπερ τὸ εἰς Μιξιδημίδην εἶπεν Αὐτοκλῆς· εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι δίκην, Μιξιδημίδῃ δ᾽ οὔ; ἢ ὥσπερ Σαπφὼ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν· ἢ ὡς Ἀρίστιππος πρὸς Πλάτωνα ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς ᾤετο, ἀλλὰ μὴν ὅγ᾽ ἑταῖρος ἡμῶν, ἔφη, οὐθὲν τοιοῦτον· λέγων τὸν Σωκράτην· καὶ Ἡγήσιππος ἐν Δελφοῖς ἐπηρώτα τὸν θεὸν,

aut qui ſapientes ſunt vel omnes, vel major eorum pars, aut qui probi viri ſunt: vel, ſi ipſi judices aliàs ita ſtatuerunt, vel ii, quorum judicium ipſi judices ſequuntur: vel ſi ita illi judicarunt, contra quos ſtatuere nihil licet, ut qui domini ſunt, aut quibus non honeſtum eſt contradicere, quales ſunt Dei, parentes, magiſtri, quemadmodum in Mixidemidem Autocles dixit. Si Eumenides ſibi honeſtum eſſe duxerunt, in Ariopago cauſam ſuam tractari; Mixidemides non honeſtum ſibi ducet? vel, quemadmodum Sappho dixit, mori omninò eſſe miſerum: quoniam etiam Dei ita judicarunt; niſi enim ita eſſet, mori voluiſſent: vel quemadmodum Ariſtippus contra Platonem, qui neſcio quid (ut illi videbatur) arrogantiùs dixerat: atqui ſodalis noſter nihil unquam hujuſmodi protulit; Socratem verò innuebat. Et Hegeſippus in Delphis Apollinem interrogavit;

cum jam oraculum Olympici Jovis audiiſſet, an eadem illi, quæ patri viderentur, tanquam turpe eſſet, contraria ſentire. Et quod de Helena ſcripſit Iſocrates; eam eſſe raræ virtutis: quoniam Theſeus ita judicavit. Et de Alexandro, quem tres deæ judicem elegerunt; & de Evagora, quòd vir eſſet eximius; quoniam, ut ait idem Iſocrates, Conon, fractis opibus, alios omnes poſthabuit, atque ad Evagoram profectus
224 eſt. * Alius locus ab enumeratione partium: ſicut etiam in Topicis: ſi anima motus eſt, quinam eſt motus? vel enim hic, vel ille. Et illud exemplum ex Theodectis Socrate: quod fanum violavit? quem Deum non coluit eorum, quos civitas
225 veneratur? * Alius à conſequentibus, quoniam in plurimis rebus accidit, ut eas bonum, & malum aliquod conſequatur, ex eo quod ſequitur, licet ſuadere, aut diſſuadere,

κεχρημένος πρότερον Ὀλυμπίασιν, εἰ αὐτῷ ταὐτὰ δοκεῖ ἅπερ τῷ πατρὶ, ὡς αἰσχρὸν ὂν τἀναντία εἰπεῖν. καὶ περὶ τῆς Ἑλένης, ὡς Ἰσοκράτης ἔγραψεν, ὅτι σπουδαία, εἴπερ Θησεὺς ἔκρινε. καὶ περὶ Ἀλεξάνδρου, ὃν αἱ θεαὶ προέκριναν. καὶ περὶ Εὐαγόρου, ὅτι σπουδαῖος, ὥσπερ Ἰσοκράτης φησί. Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους παραλιπὼν, ὡς Εὐαγόραν ἦλθεν. * Ἄλλος ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς Τοπικοῖς, ποία κίνησις ἡ ψυχή· ἥδε γὰρ, ἢ ἥδε. παράδειγμα ἐκ τοῦ Σωκράτους τοῦ Θεοδέκτου, εἰς ποῖον ἱερὸν ἠσέβηκε· τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει; * Ἄλλος, ἐπειδὴ ἐπὶ τῶν πλείστων συμβαίνει, ὥστε ἕπεσθαί τι αὐτοῖς ἀγαθὸν καὶ κακὸν, ἐκ τοῦ ἀκολουθοῦντος, προτρέπειν ἢ ἀποτρέπειν.

καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι, καὶ ἐπαινεῖν, ἢ ψέγειν· οἷον τῇ παιδείᾳ τὸ φθονεῖσθαι ἀκολουθεῖ κακόν· τὸ δὲ σοφὸν εἶναι, ἀγαθόν· οὐ τοίνυν δεῖ παιδεύεσθαι· φθονεῖσθαι γὰρ οὐ δεῖ. δεῖ μὲν οὖν παιδεύεσθαι· σοφὸν γὰρ εἶναι δεῖ. ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη προσλαβοῦσα τὸ δυνατὸν, καὶ τἆλλα, ὡς εἴρηται. * Ἄλλος, ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ, καὶ τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπ' ἀμφοῖν χρῆσθαι· διαφέρει δὲ, ὅτι ἐκεῖ μὲν τὰ τυχόντα ἀντιτίθεται· ἐνταῦθα δὲ, τἀναντία· οἷον ἱέρεια οὐκ εἴα τὸν υἱὸν δημηγορεῖν· ἐὰν μὲν γὰρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποί σε μισήσουσιν·

accuſare, aut defendere, laudare, aut vituperare: ut Eruditionem conſequitur invidia, quod eſt malum: & ſapientia, quod eſt bonum, Non eſt igitur ſcientiis danda opera: quoniam invidiam ſubire non oportet. Imò verò ſcientiis opera danda eſt; quoniam ſapientem fieri oportet. Hic locus in arte Calippi præcipuè tractatur, in qua ſumitur etiam, quod fieri poteſt, & alia, de quibus à nobis jam anteà dictum eſt.
* Alius etiam à conſe- 226
quentibus, quando ex duobus contrariis, quæ conſequuntur, aut ſuadere, aut diſſuadere opus fuerit, & eo, qui diximus, modo in utranque partem uti. Differt autem hic locus à ſuperiore; quoniam in eo quæcunque evenerint, opponuntur; hic autem tantùm ea, quæ contraria ſunt: ut Sacerdos quædam filium ſuum in concione verba facere, & agere cum populo prohibebat. Nam, ſi juſta dixeris, diebat: homines te odio proſequentur: ſi ve-

ſi verò injuſta, deos offendes. Imò verò, dicet aliquis, concionari oportet: nam, ſi juſta dixeris, deos tibi concilias: ſin injuſta, homines. Hoc autem idem eſt cum eo, quod vulgò dicitur, *Oleum, & Salem oportet emere*. Et hæc ratio blæſoſis, hoc eſt inverſio, vocatur; cum duorum contrariorum utrunque, bonum, & malum conſequitur, ita, ut utraque ſint utriſque
227 contraria. * Alius eſt locus: quando quidem homines non eadem palàm, & occultè probare ſolent: ſed palàm quidem juſta, & honeſta maximè laudant, occultè verò magis utilia cupiunt, cum ex his quiſpiam conatur alterum concludere. Atque hic quidem locus præter cæteros, qui contra communem opinionem proferuntur, pluri-
228 mum valet. * Alius locus, cum eadem ex proportione conveniunt: ut Iphicrates, cum ejus filium, qui magno quidem erat corpore, ſed adhuc ætate puerili, cogere vellent onera publica ſuſtinere;

ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. δεῖ μὲν οὖν δημηγορεῖν· ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε φιλήσουσιν· ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι. τοῦτο δ' ἐστὶ ταὐτὸ τῷ λεγομένῳ, τὸ ἔλος πρίασθαι καὶ τοὺς ἅλας. καὶ ἡ βλαίσωσις τοῦτ' ἐστιν, ὅταν δυοῖν ἐναντίοιν ἑκατέρῳ ἀγαθὸν καὶ κακὸν ἕπηται, ἐναντία ἑκάτερα ἑκατέροις. *Ἄλλος, ἐπεὶ οὐ ταὐτὰ φανερῶς ἐπαινοῦσι καὶ ἀφανῶς· ἀλλὰ φανερῶς μὲν, τὰ δίκαια καὶ τὰ καλὰ, ἐπαινοῦσι μάλιστα· ἰδίᾳ δὲ, τὰ συμφέροντα μᾶλλον βούλονται, ἐκ τούτων πειρᾶσθαι συνάγειν θάτερον· τῶν γὰρ παραδόξων οὗτος ὁ τόπος κυριώτατός ἐστιν. *Ἄλλος, ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν· οἷον, ὁ Ἰφικράτης τὸν υἱὸν αὐτοῦ νεώτερον ὄντα τῆς ἡλικίας, ὅτε μέγας ἦν, λειτουργεῖν ἀναγκαζόντων, εἶπεν,

εἶπεν, ὅτι εἰ τοὺς μεγάλους τῶν παίδων ἄνδρας νομίζουσι, τοὺς μικροὺς τῶν ἀνδρῶν παῖδας εἶναι ψηφιοῦνται· καὶ ὁ Θεοδέκτης ἐν τῷ νόμῳ, ὅτι, πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον Στράβακα καὶ Χαρίδημον διὰ τὴν ἐπιείκειαν· φυγάδας δ' οὐ ποιήσετε, τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένους; * Ἄλλος, ἐκ τοῦ τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν· ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά· οἷον Ξενοφάνης ἔλεγεν, ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς, τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει, μὴ εἶναί ποτε τοὺς θεούς. καὶ ὅλως δὲ, τὸ συμβαῖνον ἐξ ἑκατέρου, λαμβάνειν ὡς ταὐτὸ αἰεί· μέλλετε δὲ κρίνειν οὐ περὶ Σωκράτους, ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν.

dixit; ſi pueros, qui magno ſunt corpore, viros exiſtimatis, ergo etiam viros, qui puſillo corpore ſunt, pueros exiſtimare debetis. Et quo Theodectes uſus eſt in lege. Nam ſi propter modeſtiam probitatemque mercenarios milites civitate donatis, ut Strabacem, & Charidemum; non eos milites mercenarios exterminabitis, qui nefaria ſcelera perpetrarunt? * Alius locus ab even- 228
tu, ſi idem eſt, ut etiam eadem eſſe dicantur ea, à quibus id evenit: ut, quod Xenophanes dicebat, eodem modo impios eſſe illos, qui dicerent, deos eſſe natos, atque eos, qui dicerent, deos interire. Nam utroque modo fit, ut aliquando dei non ſint, & omninò, quod evenit, ex utroque probare oportet, unum, atque idem eſſe: ut, non enim de Socrate, ſed de toto hoc ſtudio judicaturi eſtis, utrum philoſophiæ danda ſit opera, nec ne:

&

& terram, & aquam dare, eſſe idem, quod ſervire; & communis pacis fieri participes, idem eſſe, atque imperatum facere. Cum autem alterutrum ſumi poſſit, id erit ſumendum, quod
230 nobis utile eſt. * Alius locus eſt ex eo, quòd iidem non eadem ſemper eligunt aut anteà, aut poſteà; ſed diverſis temporibus diverſa: ut in illo eſt enthymemate. Si, cum in exilio eſſemus, pugnavimus, ut in patriam rediremus; nunc poſtquam reverſi ſumus, in exilium abibimus, ne pugnemus? aliquando enim in patria manere pugnando elegerunt, aliquando verò patria potiùs diſcedere, quàm pugnare voluerunt. * A-
231 lius locus eſt, cum quis dicit aliquid ejus gratia eſſe; aut factum eſſe, cujus gratia neque eſt, neque factum eſt: ut, ſi quis alicui quid donaret, ut illud deinde idem auferens, dolorem inureret: unde etiam illud dictum eſt:

καὶ ὅτι τὸ διδόναι γῆν καὶ ὕδωρ, δουλεύειν ἐστί. καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης, ποιεῖν τὸ προσταττόμενον. ληπτέον δ' ὁπότερον ἂν ᾖ χρήσιμον. * Ἄλλος, ἐκ τοῦ μὴ ταὐτὸ τοὺς αὐτοὺς αἰεὶ αἱρεῖσθαι, ὕστερον ἢ πρότερον, ἀλλ' ἀνάπαλιν· οἷον τόδε τὸ ἐνθύμημα, εἰ φεύγοντες μὲν ἐμαχόμεθα, ὅπως κατέλθωμεν, κατελθόντες δὲ, φευξόμεθα, ὅπως μὴ μαχώμεθα; ὁτὲ μὲν γὰρ τὸ μένειν ἀντὶ τοῦ μάχεσθαι ᾑροῦντο; ὁτὲ δὲ τὸ μὴ μάχεσθαι ἀντὶ τοῦ μὴ μένειν. * Ἄλλος, τὸ οὗ ἕνεκα ἂν εἴη, εἰ μὴ γένοιτο, τούτου ἕνεκα φάναι εἶναι, ἢ γεγονέναι. οἷον, εἰ δοίη ἄν τις τινὶ, ἵνα ἀφελόμενος λυπήσῃ· ὅθεν καὶ τοῦτ' εἴρηται.

Πολ-

Πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φέρων,	*Felicitates, atque opes dat maximas*
Μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα	*Fortuna multis, non quòd illos diligat,*
Τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας.	*Sed de gradu præſtantiore ut decidant.*

καὶ τὸ ἐκ τοῦ Μελεάγρου τοῦ Ἀντιφῶντος, & illud ex Antiphontis Meleagro,

Οὐχ ἵνα κτάνωσι θῆρ', ὅπως δὲ μάρτυρες	*Non tàm necandi cauſa apri convenerant,*
Ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα.	*Quàm maximè virtutis ut teſtes forent Meleagri apud Græcos.*

καὶ τὸ ἐκ τοῦ Αἴαντος τοῦ Θεοδέκτου· ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα, οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν· ἐνδέχεται γὰρ τούτου ἕνεκα ποιῆσαι. * Ἄλλος κοινὸς καὶ τοῖς ἀμφισβητοῦσι, καὶ τοῖς συμβουλεύουσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα, καὶ ὧν ἕνεκα καὶ πράττουσι, καὶ φεύγουσι· ταῦτα γάρ ἐστιν, ἃ ἐὰν μὲν ὑπάρχῃ, δεῖ πράττειν· οἷον, εἰ δυνατὸν, καὶ ῥᾴδιον,

& illud ex Theodactis Ajace, quod Diomedes Ulyſſem ſocium elegerat, non quòd eum honoraret; ſed ut comes ſe eſſet inferior. Nam etiam hac de cauſa à Diomede illud fieri potuit. * Alius locus eſt 232 communis diſceptantium, & deliberantium: ut ea conſideremus, quæ vel impellere, vel retrahere poſſunt, & quorum cauſa ſolent homines aliquid aut efficere, aut evitare: hæc enim ſi adſunt, rem aggredi oportet; ut ſi fieri poteſt, ſi facile eſt, ſi uti-

ſi utile vel ſibi, vel amicis, vel noxium, & perniciosum inimicis, aut ſi minor eſt pœna, quàm id, quod expetunt: nam his rationibus ſuadere ſolent, & contrariis diſſuadere. Quin ex jiſdem & accuſant, & defendunt: quibus enim argumentis diſſuadent, jiſdem etiam defendunt, & quibus ſuadent, etiam accuſant. Uno verò loco tota Pamphili, & Calippi ars continetur.

233 * Alius locus ex iis, quæ fieri quidem videntur, ſed ſua ſponte incredibilia ſunt; quoniam non crederentur, niſi aut jam eſſent, aut propè eſſent. Imò magis credi debent: homines enim aut ea, quæ vera ſunt, aut veriſimilia credunt. Quod verò incredibile eſt, neque veriſimile, & tamen fit, id ut verum ſit neceſſe eſt: neque enim, quia veriſimile ſit, aut probabile, ita videtur, ſicut Androcles Pittheus dixit, cum legem reprehenderet,

καὶ ὠφέλιμον ἢ αὐτῷ, ἢ φίλοις· ἢ βλαβερὸν ἐχθροῖς, καὶ ἐπιζήμιον, ἢ ἐλάττων ἡ ζημία τοῦ πράγματος. καὶ προτρέπονται δ' ἐκ τούτων, καὶ ἀποτρέπονται ἐκ τῶν ἐναντίων· ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ κατηγοροῦσι, καὶ ἀπολογοῦνται· ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται· ἐκ δὲ τῶν προτρεπόντων, κατηγοροῦσιν. ἔστι δ' ὁ τόπος οὗτος, ὅλη τέχνη ἥτε Παμφίλου, καὶ ἡ Καλλίππου. * Ἄλλος, ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι, ἀπίστων δὲ, ὅτι οὐκ ἂν ἔδοξαν, εἰ μὴ ἦν, ἢ ἐγγὺς ἦν· καὶ ὅτι μᾶλλον· ἢ γὰρ τὰ ὄντα, ἢ τὰ εἰκότα ὑπολαμβάνουσιν· εἰ οὖν ἄπιστον, καὶ μὴ εἰκὸς, ἀληθὲς ἂν εἴη. οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν, δοκεῖ οὕτως· οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ

ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι, δέονται οἱ νόμοι νόμου τοῦ διορθώσοντος. καὶ γὰρ οἱ ἰχθύες ἁλός· καίτοι οὐκ εἰκὸς, οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός. καὶ τὰ στέμφυλα ἐλαίου· καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον γίνεται, ταῦτα δεῖσθαι ἐλαίου. * Ἄλλος ἐλεγκτικὸς, τὸ τὰ ἀνομολογούμενα σκοπεῖν, εἴ τι ἀνομολογούμενον ἐκ πάντων καὶ χρόνων, καὶ πράξεων, καὶ λόγων, χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος· οἷον, καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, συνώμοσε δὲ τοῖς τριάκοντα· χωρὶς δ' ἐπὶ αὑτοῦ, καὶ φησὶ μὲν εἶναί με φιλόδικον, οὐκ ἔχει δὲ ἀποδεῖξαι δεδικασμένον οὐδεμίαν δίκην· χωρὶς δ' ἐπὶ αὑτοῦ, καὶ τοῦ ἀμφισβητοῦντος· καὶ οὗτος μὲν οὐ δεδάνεικε πώποτε οὐδέν. ἐγὼ δὲ καὶ πολλοὺς λέλυμαι ὑμῶν.

& ei dicenti obſtreperent. Egent leges alia lege, quæ corrigat: nam & piſces ſalis egent. Atqui veriſimile non eſt neque probabile, cum in ſalſo piſces nutriantur, ſalis indigere. Atqui etiam olivæ egent oleo, cum tamen hoc incredibile ſit, ut ex quibus oleum conficitur, illæ oleo indigeant. * Alius locus 234
ad refellendum accommodatus, cum inter ſe diſſidentia ſpectamus, ſi quid in adverſarii perſona poſſimus invenire, quod diſſideat ex omnibus ejus temporibus, actionibus, orationibus, ut: Iſte quidem ſe vobis amicum eſſe ait, ſed tamen cum xxx. tyrannis conjuravit: aut etiam ſeorſum in perſona noſtra, ut; Iſte quidem ait, me ſectatorem eſſe litium, ſed tamen non poteſt oſtendere quenquam, à me unquam in judicium vocatum. Partim verò in noſtra, atque in adverſarii perſona; ut, Iſte neminem unquam ſua pecunia ſublevavit; ego autem multos veſtrum ab hoſtibus captos redemi.

*Alius

235 * Alius locus eſt, cum ho-
mines, vel res non viden-
tur affines ei culpæ, cu-
jus accuſantur, cauſa ejus
criminis, quod præter o-
pinionem accidit, expli-
care. Eſt enim aliquid,
propter quod ita videa-
tur, ut; Mulier quædam,
cum ſe filio ſubjeciſſet, ut
eum blandiùs ſalutaret,
viſa eſt ſtuprum cum ado-
leſcente illo commiſiſſe,
ſed explicata cauſa, ſta-
tim crimen ſolutum eſt.
Et in Ajace Theodectis
Ulyſſes Ajaci cauſam ex-
plicat, cur, cum ipſe eſ-
ſet Ajace fortior, non ta-
236 men eſſe videretur. * A-
lius locus eſt à cauſa, ut,
ſi cauſa extiterit, factum
eſſe dicatur; ſi non exti-
terit, non eſſe factum;
nam ſimul eſt cauſa cum
eo, cujus eſt cauſa, & ſine
cauſa nihil eſt, ut Leoda-
mas in defenſione ſua di-
xit, cum enim Traſybulus
eum accuſaret, ac diceret,
ejus nomen tanquam infa-
mis, & hoſtis in columna,
quæ in arce erat, olim in-
ciſum fuiſſe, ſed ab eo, cum
triginta rerum potirentur,
fuiſſe abraſum, reſpondit,
illud non eſſe veriſimile:

* Ἄλλος τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις, καὶ πράγμασι, μὴ δοκοῦσι τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου. ἔστι γάρ τι δι' ὃ φαίνεται· οἷον ὑποβεβλημένης τινὸς τὸν αὐτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι, ἐδόκει συνεῖναι τῷ μειρακίῳ· λεχθέντος δὲ τοῦ αἰτίου, ἐλύθη ἡ διαβολή· καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου, Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος, οὐ δοκεῖ. * Ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἐστί· κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν· ἅμα γὰρ τὸ αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄνευ αἰτίου οὐδέν ἐστιν· οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου, ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει· ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριάκοντα, οὐκ ἐνδέχεσθαι ἔφη·

μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς τριάκοντα, ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον. * Ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται, ὧν ἢ συμβουλεύει, ἢ πράττει ἢ πέπραχε σκοπεῖν· φανερὸν γὰρ, ὅτι εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν· οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται. ἔστι δὲ τοῦτο ψεῦδος. πολλάκις γὰρ ὕστερον γίνεται δῆλον, πῶς ἦν πρᾶξαι βέλτιον· πρότερον δὲ, ἄδηλον. * Ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν· οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν, εἰ θύωσι τῇ Λευκοθέᾳ, καὶ θρηνῶσιν, ἢ μὴ, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι, μὴ θρηνεῖν· εἰ δ' ἄνθρωπον, μὴ θύειν. *Ἄλλος τόπος, τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν, ἢ ἀπολογεῖσθαι·

nam mihi, inquit, xxx. tyranni magis credidiſſent, ſi, quas cum populo geſſiſsem inimicitias, in columna ſcriptas vidiſsent. * Alius locus 237
eſt videre, an melius alia ratione ac via potuiſſent ea geri, quæ vel ſuadet facienda eſse, vel facit, vel jam fecit. Perſpicuum eſt enim, niſi ita ſit, eum non feciſse; nam nemo ſciens, volensque ea, quæ deteriora ſunt, eligit. Sed hoc falſum eſt, ſæpè enim accidit, ut quod facere melius erat, poſteà cognoſcatur, cum incertum eſſet anteà. * Alius locus eſt vi- 238
dere, an quicquam geri debeat, quod rebus jam geſtis contrarium ſit; ut Xenophanes, cum ab eo petiiſſent Eleatæ, utrum cum Matutæ ſacrificarent, lugerent, necne; conſuluit, ut ſi deam illam eſſe putarent, ne lugerent; ſi hominem, ne ſacrificarent. * Alius 239
locus eſt ex iis, quæ malè facta ſunt, vel accuſare; vel defendere: ut in

ut in Carcini Medea, quidam eam accuſant, quòd filios interfecerit, quoniam illi nuſquam apparebant; in hoc enim peccarat Medea, quòd filios ſuos amandaſset. Sed ipſa ſe defendit, quòd non filios, verùm ipſum Jaſonem interfeciſſet. Nam omninò peccaſsem, inquit, niſi hoc feciſsem, cum illud alterum perpetraſsem. Hic autem locus, atque hæc ſpecies argumentandi totam priorem Theodori artem continet.
240 * Alius locus eſt à nomine, ut quo Sophocles uſus eſt:

Ferrina verè dicere, nam ferrea es.

& quemadmodum in deorum laudibus canere conſueverunt, & quemadmodum Conon Thraſybulum à nomine, temerarium in conſiliis capiendis appellabat. Et Herodicus Thraſymacho dixit; ſemper Thraſymachus. Et Polo, ſemper Polus es. Et Draconem legiſlatorem inſimulabat;

οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ, οἱ μὲν κατηγοροῦσιν, ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς· ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἡ δ' ἀπολογεῖται, ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινε· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν. ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος, καὶ τὸ εἶδος, ὅλη ἡ πρότερον Θεοδώρου τέχνη. *Ἄλλος ἀπὸ τοῦ ὀνόματος· οἷον, ὡς ὁ Σοφοκλῆς,

Σαφῶς Σιδηρῶ καὶ φοροῦσα τοὔνομα.

καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν· καὶ ὡς Κόνων Θρασύβουλον θρασύβουλον ἐκάλει, καὶ Ἡρόδικος Θρασύμαχον, αἰεὶ θρασύμαχος εἶ· καὶ Πῶλον, αἰεὶ σὺ πῶλος εἶ· καὶ Δράκοντα τὸν νομοθέτην.

ὅτι

ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι, ἀλλὰ δράκοντος· χαλεποὶ γάρ· καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην,

Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.

καὶ ὡς Χαιρήμων,

Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος.

*Εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν ἀποδεικτικῶν διὰ τὸ, συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα· παράλληλα δὲ φανερὰ εἶναι τῷ ἀκροατῇ μᾶλλον. *Πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν, θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι, μὴ τῷ ἐπιπολῆς εἶναι· ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' ἑαυτοῖς χαίρουσι προαισθανόμενοι· καὶ ὅσων τοσοῦτον ὑστερίζουσιν, ὥσθ' ἅμα εἰρημένων γνωρίζειν.

quod ejus leges non hominis, ſed Draconis eſſent; erant enim aſperæ. Et quemadmodum Hecuba apud Euripidem contra Venerem dixit:

Accommodatum nomen eſt tibi indutum,
Regina cum dementia tu ſola ſis.

& quemadmodum Chæremon,

Pentheus futuræ ſortis agnomen tulit.

*Enthymemata verò, quę redarguunt, magis excellunt, quàm ea, quæ demonſtrant; propterea quòd parvo, anguſtoque in loco contraria colligunt, quæ inter ſe collata ſtatim auditori certiora fiunt. 241

*Omnium autem argumentationum & quæ refellunt, & quæ demonſtrant, illa maximè commovere animum ſolent, quæ cum proferri incipiunt, intelliguntur, non tamen quia fiat in promptu; nam ſimul etiam ipſi ſecum gaudent auditores, cum vim argumenti præſentiunt. Probantur etiam illa argumenta, quæ ſimul ac dicta ſunt; intelliguntur. 242

CAPUT XXV.

De locis, ex quibus enthymemata apparentia, ſeu ſophiſtica conficiuntur.

243 * SED, quoniam plerunque accidit, ut aliquis verè ſit ſyllogiſmus, aliquis non verè, ſed tantùm ſyllogiſmi ſpeciem habeat, neceſſe eſt, ut idem etiam de enthymemate eveniat, ut aliquod verè ſit enthymema, aliquod non verè, ſed tantùm eſſe videatur, cum præſertim enthymema ſyllogiſmus quidam ſit. Loci verò fallacium enthymematum hi ſunt.

244 * Ac primus quidem eſt in elocutione, cujus una pars eſt (ut in diſſerendi ratione docuimus) cum quis etiam ſi non collegerit, tamen extremam partem aſſeveranter concludit, ut: Non eſt igitur hoc, & hoc, quare neceſſe eſt, ut hoc, atque hoc ſit. Quin enthymema videtur, quoties quis oratione contorta, & ex contrariis conflata utitur;

* Ἐπεὶ δ' ἐνδέχεται, τὸν μὲν εἶναι συλλογισμὸν, τὸν δὲ μὴ εἶναι μὲν, φαίνεσθαι δὲ, ἀνάγκη καὶ ἐνθύμημα, τὸ μὲν, εἶναι ἐνθύμημα, τὸ δὲ, μὴ εἶναι, φαίνεσθαι δέ· ἐπείπερ τὸ ἐνθύμημα, συλλογισμός τις. τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυμημάτων·

* Εἷς μὲν, ὁ παρὰ τὴν λέξιν, καὶ τούτου ἓν μὲν μέρος, ὥσπερ ἐν τοῖς Διαλεκτικοῖς, τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν· οὐκ ἄρα τὸ, καὶ τό· ἀνάγκη ἄρα τὸ, καὶ τό. καὶ τὸ τοῖς ἐνθυμήμασι τὸ συνεστραμμένως καὶ ἀντικειμένως εἰπεῖν, φαίνεται ἐνθύμημα.

ἡ γὰρ

ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος. καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως. ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον, τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν, ὅτι τοὺς μὲν ἔσωσε, τοῖς δ' ἑτέροις ἐτιμώρησε, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν· ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων ἀπεδείχθη· συντεθέντων δὲ φαίνεται καὶ ἐκ τούτων τι γίγνεσθαι. * Ἓν δὲ, τὸ παρὰ τὴν ὁμωνυμίαν, ὡς τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή· τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή· ἢ εἴ τις τὸν κύνα ἐγκωμιάζων, τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνει, ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφη,

Ὦ μάκαρ ὅντε μεγάλας θεοῦ κύνα
Παντοδαπὸν καλέουσιν Ὀλύμπιοι.

nam hujuſmodi elocutio ſedes eſt enthymematis. Hæc verò fallacia ſimilis eſt ei, quæ in Dialecticis à forma dictionis vocatur. Eſt autem in hac re utile, ut quis dicendo videatur concludere, multarum argumentationum capita ſimul proferre, ut: Nos quidem ſervavit, alios punitus eſt, Græcos in libertatem vindicavit; nam unumquodque capitum horum ex aliis probatum eſt. Cum autem ſimul omnia componuntur, videtur ex eis aliquid conſici.
* Altera pars naſci- 245
tur ex multiplici nominis ſignificatione; ut, ſi quis diceret, murem magna virtute præditum eſſe, à quo præſtantiſſima omnium ſacra denominata ſunt; nam myſteria ſunt omnium aliorum ſacrorum præſtantiſſima: vel, ſi quis canem laudans etiam eum, qui in eſt cœlo celebraret, aut Panadeum, quoniam Pindarus dixit;

Beate, quem magna deæ
Varium vocant dei canem.

vel quòd nullum habere canem indecorum eſt. Quare perſpicuum eſt, canem eſſe honorificum, & ſi quis diceret, Mercurium deorum omnium maximè liberalem eſſe: ſolus enim dicitur communis Mercurius: & ſi quis diceret, orationem eſſe rem præſtantiſſimam, quòd boni viri non pecuniis, ſed oratione digni ſint; nam eſſe dignum oratione non uno modo dicitur.
246 * Alius locus eſt, cum quis, quod ſejunctum eſt, dicendo componit: aut, quod compoſitum eſt, ſejungit; quoniam enim idem videtur, cum tamen non idem ſæpenumerò, ſit, id amplectendum eſt, quod utilius eſſe videtur. Eſt autem hæc Euthydemi ratio, ut, Scis triremem in Piræo eſſe, nam utrunque ſeparatim novit: & ſi quis dicat, eum, qui ſcit elementa, ſcire etiam carmen, nam carmen idem eſt: &, Si duplum eſt inſalubre, neque ſimplum erit ſalubre,

ἢ ὅτι τὸ μηδένα εἶναι κύνα, ἀτιμώτατόν ἐστιν· ὥστε τὸ κύνα, δῆλον ὅτι τίμιον. καὶ τὸ κοινωνικὸν φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν· μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς. καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων, ἀλλὰ λόγου εἰσὶν ἄξιοι· τὸ γὰρ λόγου ἄξιον, οὐχ ἁπλῶς λέγεται: * Ἄλλος, τὸ διῃρημένον συντιθέντα λέγειν, ἢ τὸ συγκείμενον διαιροῦντα. ἐπεὶ γὰρ ταὐτὸν δοκεῖ εἶναι οὐκ ὂν ταὐτὸν πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν. ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος· οἷον τὸ εἰδέναι, ὅτι τριήρης ἐν Πειραιεῖ ἐστιν· ἕκαστον γὰρ οἶδε. καὶ τὸν τὰ στοιχεῖα ἐπιστάμενον, ὅτι τὸ ἔπος οἶδε· τὸ γὰρ ἔπος τὸ αὐτό ἐστι. καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι·

ἀπ-

ἄτοπον γὰρ, εἰ τὰ δύο ἀγαθὰ, ἓν κακόν ἐστιν. οὕτω μὲν οὖν ἐλεγκτικόν· ὧδε δὲ δεικτικόν ἐστιν· οὐ γάρ ἐστιν ἓν ἀγαθὸν, δύο κακά. ὅλος δὲ ὁ τόπος παραλογιστικός. πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσε· συντίθησι γάρ. ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστι,

Δίκαιόν ἐστιν ἥ τις ἂν
κτείνῃ πόσιν, ἀποθνήσκειν ταύτην.
Καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν.

οὐκοῦν καὶ ταῦτα πέπρακται· συντεθέντα γὰρ ἴσως, οὐκέτι δίκαιον. εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν· ἀφαιρεῖται γὰρ τὸ ὑπό τινος. * Ἄλλος δὲ τόπος, τὸ δεινώσει κατασκευάζειν, ἢ ἀνασκευάζειν. τοῦτο δ' ἐστὶν, ὅταν μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα.

nam abſurdum eſt, ſi ambo ſunt bona, unum eſſe malum. Atque hoc quidem modo in refellendo valet, illo verò in demonſtrando: neque enim ex duobus malis unum bonum eſſe poteſt. Totus autem hic locus captioſus eſt. Tale eſt illud Polycratis in Thraſybuli laudem, quòd Thraſybulus xxx. tyrannos ſuſtuliſſet, conjungit enim: atque illud Theodectis in Oreſte, ex diviſione prolatum:

Eam, maritum quæ necavit, emori,
Patriſque mortem vindicare filium,
Juſtum eſt,

ut hæc effecta ſunt. Nam hæc ſi conjungantur, fortaſsè non erunt juſta. Poteſt etiam hæc à defectione fallaci progredi, quoniam ablatum eſt à quo. * Alius 247
locus eſt, cum quis amplificatione utitur in confirmando, aut refellendo, hoc eſt, cum rem ipſam amplificat; antequam factam eſſe oſtendat.

Reus enim, cum crimen amplificat, inducit opinionem, quòd ipſe non commiſerit: accuſator contrà, cum indignatur, facit, ut reus feciſſe videatur. Hoc igitur non eſt verum enthymema: decipitur enim auditor, & factum, aut non factum credit, quamvis nihil fuerit demonſtratum.
248 * Alius locus eſt à ſigno, nam hoc etiam veram concludendi rationem non ſervat; ut, ſi quis diceret in civitatibus utiles eſſe amatores: nam Harmodii, atque Ariſtogitonis amor Hipparchum tyrannum ſuſtulit: vel, ſi quis probare vellet, Dionyſium eſſe furem, eo quòd improbus ſit: hoc enim nihil concludit: neque enim quilibet improbus eſt fur; ſed contrà potiùs, omnis fur eſt improbus.
249 * Alius locus eſt ab accidente: ut, quod ait Polycrates in laudem murium, quòd auxilio fuerint, devoratis arcuum nervis: vel, ſi quis diceret, ad cœnam vocari rem eſſe honorificentiſſimam:

ποιεῖ γὰρ φαίνεσθαι, ἢ ὡς οὔτε πεποίηκεν, ὅταν ὁ τὴν αἰτίαν ἔχων, αὔξῃ· ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται, οὔκουν ἐστὶν ἐνθύμημα· παραλογίζεται γὰρ ὁ ἀκροατής, ὅτι ἐποίησεν, ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου. * Ἄλλος, τὸ ἐκ σημείου· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο, οἷον εἴ τις λέγοι, ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον· καὶ εἴ τις λέγοι, ὅτι κλέπτης Διονύσιος· πονηρὸς γάρ· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο· οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός. * Ἄλλος, διὰ τὸ συμβεβηκός· οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς. ἢ εἴ τις φαίη, τὸ ἐπὶ δεῖπνον κληθῆναι, τιμιώτατον·

διὰ

διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ᾽ ὡς ἀτιμαζόμενος ἐμήνισε· συνέβη δὲ τοῦτο ἐπὶ τοῦ μὴ κληθῆναι. * Ἄλλος, τὸ παρὰ τὸ ἑπόμενον· οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος· ὑπεριδὼν γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβε καθ᾽ αὑτόν· ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι, καὶ οὗτος μεγαλόψυχος δόξειεν ἄν. καὶ ἐπεὶ καλλωπιστὴς, καὶ νύκτωρ πλανᾶται, μοιχὸς, ὅτι καὶ οἱ μοιχοὶ τοιοῦτοι. ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται· καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν. ὅπου ἂν θέλωσιν· ὅτι γὰρ τοῖς δοκοῦσιν εὐδαιμονεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ὑπάρχει ταῦτα, δόξειεν ἂν εὐδαιμονεῖν. διαφέρει δὲ τῷ πῶς· διὸ καὶ εἰς τὴν ἔλλειψιν ἐμπίπτει.

Achilles enim cum in Tenedo vocatus ad cœnam non fuiſſet, Græcis magnoperè ſuccenſuit. At ille, tanquam contemptus, & ignominia affectus, ſuccenſuit, quòd accidit, quia non invitatus ad cœnam fuerat. * Alius locus eſt à conſequente; ut in Alexandro, quòd vir eſset excelſo animo, quia ſolus in Ida monte relicta æqualium conſuetudine, vitam ageret: nam, quia excelſo animo viri tales ſunt, etiam hic talis videri poſset: &, quia veſtitu nimio indulget, & noctu vagatur, adulter eſt: tales enim ſunt adulteri. Eodem modo, ſi quis mendicos diceret eſſe beatos, quòd in ſacris locis ſuo arbitrio canunt, & ſaltant; atque exules itidem beatòs, quòd ubicunque terrarum voluerint, domicilium habere poſſunt: quoniam enim hæc ii facere poſsunt, qui beati videntur, etiam, qui hæc faciunt, beati videri poſſunt. Differt autē quomodò hęc fiant: atq; ideò etiā in defectionem incidit;

250

251 * Alius locus eſt, cum eam dicimus eſſe cauſam, quæ cauſa non eſt; ut, quod una cum facto, aut poſt accidit, nam illud ita accipiunt, quaſi propter factum evenerit. Et hoc ii præcipuè utuntur, qui in Rep. verſantur: ut Demades ajebat, Demoſthenem in adminiſtratione Reip. malorum omnium cauſam, & auctorem fuiſse. Nam poſtquam is ad Remp. acceſſit, bellum exortum eſt.

252 * Alius locus eſt, cum nec quando, nec quomodò res geſta ſit, explicatur: ut, ſi quis dicat; ab Alexandro juſtè Helenam abductam fuiſse; quoniam illi pater optionem dederat, ut quem vellet, ſequeretur: neque enim ſemper eodem modo, ſed initio tantùm optionem dedit, quo tempore pater eam in poteſtate habebat: vel, ſi quis dicat cædere liberos homines, eſse contumeliam; neque enim hoc quocumque modo verum eſt, ſed quando quis injuriosè cædere cœperit.

* Ἄλλος, παρὰ τὸ ἀναίτιον ὡς αἴτιον· οἷον τῷ ἅμα, ἢ μετὰ τοῦτο γεγονέναι. τὸ γὰρ μετὰ τοῦτο, ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις: οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος. * Ἄλλος, παρὰ τὴν ἔλλειψιν τοῦ πότε, καὶ πῶς· οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην· αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός: οὐ γὰρ αἰεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος· ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους, ὕβριν εἶναι· οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων.

* Ἔπ

* Ἔτι ὥσπερ ἐν τοῖς ἐριστικοῖς παρὰ τὸ ἁπλῶς, καὶ μὴ ἁπλῶς, ἀλλά τι γίγνεται φαινόμενος συλλογισμός· οἷον ἐν μὲν τοῖς Διαλεκτικοῖς, ὅτι ἐστὶ τὸ μὴ ὂν, ὄν. ἔστι γὰρ τὸ μὴ ὂν, μὴ ὄν· καὶ ὅτι ἐπιστητὸν τὸ ἄγνωστον· ἔστι γὰρ ἐπιστητὸν τὸ ἄγνωστον, ὅτι ἄγνωστον. οὕτω καὶ ἐν τοῖς Ῥητορικοῖς ἐστὶ φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκὸς, ἀλλά τι εἰκός. ἔστι δὲ τοῦτο οὐ καθόλου, ὥσπερ καὶ Ἀγάθων λέγει,

Τάχ' ἄν τις εἰκὸς αὐτὸ
τοῦτ' εἶναι λέγοι
Βροτοῖσι πολλὰ τυγ-
χάνειν οὐκ εἰκότα·

γίγνεται γὰρ τὸ παρὰ τὸ εἰκὸς, ὥστε εἰκὸς καὶ τὸ παρὰ τὸ εἰκός· εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκὸς,

* Præterea, ſicut in con- 253
tentioſis diſputationibus fit adumbratus, falſusque ſyllogiſmus, cum abſolutè, ſimpliciterque ponitur aliquid, quod non ſimpliciter, ſed cum aliqua adjunctione poni debet, ut apud Dialecticos probatur id, quod non eſt eſſe. Quod enim non eſt, eſt id, quod non eſt, & quod percipi non poteſt, ſcientia comprehendi poreſt: ſcitur enim id percipi non poſſe, quod non poteſt percipi. Sic etiam in Rhetoricis fit adumbratum enthymema, falſumque, cum id ſimpliciter eſſe veriſimile ponitur, quod aliqua ex parte tantùm eſt veriſimile. Hoc autem generatim non fit, ſicut etiam Agathon ait:

Veriſimilia forſan. quis
eſſe diceret;
Multa evenire, quæ eſſe
non veri ſolent
Similia.

fit enim aliquando id, quod non erat veriſimile. Quare veriſimile eſt etiam, præter veriſimile. Quod ſi ità eſt, id etiam, quod veriſimile non eſt,

O 5 ve-

veriſimile erit; ſed non tamen ſimpliciter verum, ſicut in contentioſis diſputationibus, cum non additur, ex qua parte, & quo cum collata, & quo in loco gignitur, captio; ita etiam in hac arte: cum de veriſimili verba fiunt, quòd non ſimpliciter, ſed aliquo modo ſit veriſimile. Ex hoc autem loco ars Coracis eſt conſcripta. Nam, ſi reus affinis non eſt culpæ, cujus accuſatur: ut, ſi fuerit infirmo corpore, qui putaſſe dicitur, facilè defenditur: non enim eſt veriſimile. Quod ſi culpę affinis eſt, ut ſi fuerit robuſtus: dicetur non eſſe veriſimile: quoniam ſciebat ille, ſi feciſſet, veriſimile viſum iri. Eodem modo etiam in aliis. Nam vel affinem eſſe culpæ, vel non affinem oportet: utraque autem videntur eſſe veriſimilia: ſed alterum tantùm eſt veriſimile, alterum verò non ſimpliciter veriſimile eſt, ſed quemadmodum diximus. Et hoc eſt, quod jactant, cauſam inferiorem dicendo ſuperiorem fieri poſſe.

εἰκὸς, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν, τὸ κατά τι καὶ πρός τι, καὶ πῆ, οὐ προστιθέμενα, ποιεῖ συκοφαντίαν, καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς, ἀλλά τι εἰκός. ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη συγκειμένη· ἄν τε γὰρ μὴ ἔνοχος ᾖ τῇ αἰτίᾳ, οἷον ἀσθενὴς ὢν, αἰκίζων φεύγει, οὐ γὰρ εἰκός· κἂν ἔνοχος ὢν, οἷον ἂν ἰσχυρὸς ὤν· οὐ γὰρ εἰκὸς, ὅτι εἰκὸς ἔμελλε δόξειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἢ γὰρ ἔνοχον ἀνάγκη, ἢ μὴ ἔνοχον εἶναι τῇ αἰτίᾳ. φαίνεται μὲν οὖν ἀμφότερα εἰκότα. ἔστι δὲ τὸ μὲν, εἰκὸς, τὸ δὲ οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ εἴρηται· καὶ τὸ, τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν, τοῦτ' ἐστί.

καὶ ἐντεῦθεν δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι τὸ Πρωταγόρου ἐπάγγελμα· ψεῦδός τε γάρ ἐστι, καὶ οὐκ ἀληθὲς, ἀλλὰ φαινόμενον εἰκὸς, καὶ ἐν οὐδεμιᾷ τέχνῃ, ἀλλ' ἐν Ῥητορικῇ καὶ ἐριστικῇ. καὶ περὶ μὲν ἐνθυμημάτων, καὶ τῶν ὄντων, καὶ τῶν φαινομένων εἴρηται. περὶ δὲ λύσεων, ἐχόμενόν ἐστι τῶν εἰρημένων εἰπεῖν.

Unde homines jure optimo Protagoræ profeſſionem æquo animo ferre non poterant; falſum eſt enim, non autem verum: ſed tantùm veriſimile, videtur, neque in ulla arte reperitur, præterquam in Rhetorica, & Sophiſtica. Ac de argumentationibus quidem, & quæ veræ ſunt, & quæ tantùm apparent, hactenus dictum eſt; ſequitur ut dicamus etiam, qua ratione diſſolvi poſſint.

CAPUT XXVI.

De ſolutione ſingulorum enthymematum.

* ἜΣΤΙ δὲ λύειν ἢ ἀντισυλλογισάμενον, ἢ ἔνστασιν ἐνεγκόντα. τὸ μὲν οὖν ἀντισυλλογίζεσθαι, δῆλον, ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν· οἱ μὲν γὰρ συλλογισμοὶ, ἐκ τῶν ἐνδόξων· δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐστίν.

* DUOBUS autem modis argumen- 254
tationes diſſolvuntur, vel contrà argumentando, vel reprehendendo. Perſpicuum eſt autem ex iiſdem locis in contrariis partibus diſputandi facultatem ſuppeditari; nam argumentationes ex probabilibus ducuntur: verùm probabilia ſæpè ſunt inter ſe contraria,

255 *Reprehenſiones verò (ſicut in Topicis traditur) quatuor modis adferuntur: vel enim ab ipſa re, vel à ſimili, vel à contrario, vel à rebus judicatis. Dico autem ab ipſa re, ut, ſi quis concluſerit, amorem eſſe bonum, duobus modis adfertur reprehenſio: vel generatim, atque univerſè, cum quis dicit, omnem indigentiam eſſe malam: vel ſigillatim, atque ex parte, quoniam vulgò non diceretur Caunius amor, niſi etiam amores quidam eſſent improbi. In contrariis adfertur reprehenſio, ut, ſi concluſum ſit, à bono viro cunctos amicos beneficiis accumulari. Sed neque improbus (dicet aliquis) cunctos amicos incommodis afficit: in ſimilibus autem, ut, ſi concluſum ſit, eos, qui injuriam acceperunt, ſemper odio proſequi: ſed neque ii, qui beneficium acceperunt, ſemper diligunt. Res verò judicatæ ſumuntur à præclaris, & illuſtribus viris; ut, ſi quis concluſit,

αἱ δ' ἐνστάσεις φέρονται, καθάπερ καὶ ἐν τοῖς Τοπικοῖς, τετραχῶς· ἢ γὰρ ἐξ ἑαυτοῦ, ἢ ἐκ τοῦ ὁμοίου, ἢ ἐκ τοῦ ἐναντίου, ἢ ἐκ τῶν κεκριμένων. λέγω δὲ, ἀφ' ἑαυτοῦ μὲν, οἷον εἰ περὶ ἔρωτος εἴη ἐνθύμημα, ὡς σπουδαῖος, ἡ ἔνστασις διχῶς· ἢ γὰρ καθόλου εἰπόντι, ὅτι πᾶσα ἔνδεια πονηρόν· ἢ κατὰ μέρος, ὅτι οὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες. ἀπὸ δὲ τοῦ ἐναντίου, ἔνστασις φέρεται· οἷον, εἰ τὸ ἐνθύμημα ἦν, ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ· ἀλλ' οὐδ' ὁ μοχθηρὸς, κακῶς· ἀπὸ δὲ τῶν ὁμοίων, εἰ ἦν τὸ ἐνθύμημα, ὅτι οἱ κακῶς πεπονθότες αἰεὶ μισοῦσιν, ὅτι ἀλλ' οὐδ' οἱ εὖ πεπονθότες αἰεὶ φιλοῦσιν. αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν, οἷον, εἴ τις ἐνθύμημα εἶπεν,

ὅτι

ἐπὶ τοῖς μεθύουσι δεῖ συγγνώμην ἔχειν· ἀγνοοῦντες γὰρ ἁμαρτάνουσιν· ἔνστασις ὅτι, οὐκοῦν ὁ Πιττακὸς αἰνετός. οὐ γὰρ ἂν μείζους ζημίας ἐνομοθέτησεν, ἐάν τις μεθύων ἁμαρτάνῃ. * Ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων· τὰ δὲ τέτταρα ταῦτά ἐστιν, εἰκός, παράδειγμα, τεκμήριον, σημεῖον· ἔστι δὲ, τὰ μὲν ἐκ τῶν ὡς ἐπιτοπολὺ ἢ ὄντων, ἢ δοκούντων, συνηγμένα ἐνθυμήματα ἐκ τῶν εἰκότων. * Τὰ δὲ δι' ἐπαγωγῆς, διὰ τοῦ ὁμοίου, ἢ ἑνὸς, ἢ πλειόνων, ὅταν λαβὼν τὸ καθόλου. εἶτα συλλογίσηται τὰ κατὰ μέρος διὰ παραδείγματος· τὰ δὲ, δι' ἀναγκαίου καὶ ὄντος, διὰ τεκμηρίου. * Τὰ δὲ, διὰ τοῦ καθόλου, ἢ τοῦ ἐν μέρει ὄντος, ἐάν τε ὂν, ἐάν τε μή; διὰ σημείων· τὸ δὲ, εἰκὸς, οὐ τὸ ἀεὶ, ἀλλὰ τὸ ὡς ἐπιτοπολύ· φανερὸν ὅτι,

ebriis ignoſci oportere, quoniam imprudentes peccant, adfertur reprehenſio; non igitur eſſet Pittacus laudandus, qui majores pœnas in ſuis legibus propoſuit, ſi quis ebrius
peccaſſet. * Et quoniam 256
ea, ex quibus enthymemata fiunt, quatuor numero ſunt, probabile, exemplum, indicium, ſignum; nam enthymemata, quæ conſtant ex eis, quæ plerunque ita fiunt, vel fieri videntur, ea ſunt ex
probabilibus. * Quæ 257
autem inductione conſtant, ex uno ſimili, vel pluribus, hoc eſt, cum quis, poſito generali, vult illud ex ſingulis probare, ſunt ab exemplo; quæ verò conſtant ex neceſſario ſigno, ſunt ab indicio:
* Quæ denique fiunt vel 258
ex generali ſigno, vel ſingulari, ſive illud verum ſit, ſive non, ſunt à ſigno, ſed probabile non ſemper verum eſt, licet plerunque fiat: perſpicuum eſt,

nos hujuſmodi enthymemata ſemper evertere poſſe, atque illis occurrere: quæ reprehenſio erit quidem apparens, non tamen ſemper vera: nam qui occurrit, non ideò refellit, quia non ſit probabile, ſed quia non ſit neceſſarium. Atque ideò propter fallacem hanc concludendi rationem argumentis magis abundat defenſor, quàm accuſator; quoniam accuſator veriſimilibus utitur ad probandum. Sed non idem eſt, ſolvere aliquod argumentum, quod non ſit veriſimile, & quod non ſit neceſſarium: quod enim plerunque fit, ſemper refelli poteſt; aliter non eſſet veriſimile, ſed ſempiternum, & neceſſarium. Judex autem exiſtimat, cum ita refutatum ſit, aut non eſſe veriſimile, aut nihil ad judicium ſuum pertinere: ſed fallaci concluſione decipitur, (ut diximus) neque enim oportet ipſum tantùm ex neceſſariis judicare, ſed etiam ex ſimilibus:

τὰ τοιαῦτα μὲν τῶν ἐνθυμημάτων αἰεί ἐστι λύειν, φέροντα ἔνστασιν· ἡ δὲ λύσις φαινομένη, ἀλλ' οὐκ ἀληθὴς αἰεί· οὐ γὰρ ὅτι οὐκ εἰκὸς, λύει ὁ ἐνιστάμενος, ἀλλ' ὅτι οὐκ ἀναγκαῖον, διὸ καὶ αἰεί ἐστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν· ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν, δι' εἰκότων ἀποδείκνυσιν. ἔστι δὲ οὐ ταὐτὸ λύσαι, ἢ ὅτι οὐκ εἰκὸς, ἢ ὅτι οὐκ ἀναγκαῖον· ἀεὶ δὲ ἔχει ἔνστασιν τὸ ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ἂν ἦν εἰκὸς, ἀλλ' ἀεὶ καὶ ἀναγκαῖον· ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτως ἐλύθη, ἢ οὐκ εἰκὸς εἶναι, ἢ οὐκ αὐτῷ κριτέον, παραλογιζόμενος, ὥσπερ ἐλέγομεν· οὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων·

τοῦτο γάρ ἐστι τὸ γνώμῃ τῇ ἀρίστῃ κρίνειν. οὔκουν ἱκανὸν ἂν λύσῃ, ὅτι οὐκ ἀναγκαῖον, ἀλλὰ δεῖ λύειν, ὅτι οὐκ εἰκός. τοῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπιτοπολύ. ἐνδέχεται δὲ εἶναι τοιαύτην διχῶς, ἢ τῷ χρόνῳ, ἢ τοῖς πράγμασι· κυριώτατα δὲ, εἰ ἀμφοῖν. εἰ γὰρ τὰ πλεονάκις οὕτω, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον. λύεται δὲ καὶ τὰ σημεῖα, καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις· ὅτι γὰρ ἀσυλλόγιστόν ἐστι πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν Ἀναλυτικῶν. πρὸς δὲ τὰ παραδειγματώδη, ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα· ἐάν τε γὰρ ἔχωμέν τι, οὐχ οὕτω λέλυται. ὅτι οὐκ ἀναγκαῖον, ἢ καὶ τὰ πλείω καὶ πλεονάκις ἄλλως.

& hoc eſt, quod dicitur, æquiſſima ſententia judicare. Non igitur ſatis eſt, ſi defenſor docuerit, non eſſe neceſsarium, ſed oportet, ut oſtendat etiam non eſse veriſimile. Hoc autem fiet, ſi in reprehenſione docuerit, rem plerunque aliter fieri ſolere. Poteſt autem duobus modis adferri reprehenſio: vel à tempore, vel à rebus: quod ſi utrunque conjungatur, tunc erit firmiſſima: nam ſi plerunque res ita fit, hoc erit magis veriſimile. Reprehenduntur etiam ſigna, & argumenta, quę à ſignis ducuntur, etiam ſi extent, apertaque ſint, quemadmodum anteà dictum eſt: nam in Analyticis declaratum eſt, nullum ſignum vim habere concludendi. Atque etiam exemplorum eadem reprehenſio eſt, quæ veriſimilium: nam, ſi unum tantùm proferre poterimus aliter factum, ſoluta eſt argumentatio; quoniam non eſt necefsaria, quamvis & plura, & ſæpiùs aliter facta fuerint. At ve-

At verò, ſi plura fuerint, & ſæpiùs eodem modo facta, contendendum eſt, id, de quo agitur, vel non eſse ſimile, vel non ſimiliter factum, vel denique aliquo modo ab aliis differre. * Indicia
259 verò, & propriæ notæ argumenta nequaquam in eo reprehendi poſſunt, quòd non rectè concludant, quod ex iis, quæ dicta ſunt in Analyticis, perſpicuum eſt. Reſtat igitur, ut demonſtremus, id non eſse verum, quod dicitur. Quod ſi certum eſt eſse verum, & eſse propriam rei notam, nullo modo labefactari poteſt; jam enim omnia demonſtratione clara ſunt.

ἐὰν δὲ καὶ τὰ πλείω καὶ τὰ πλεονάκις οὕτω, μαχητέον, ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον, ἢ οὐχ ὁμοίως, ἢ διαφοράν γέ τινα ἔχει. * Τὰ δὲ τεκμήρια, καὶ τεκμηριώδη ἐνθυμήματα, κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λύσαι. δῆλον δὲ καὶ τοῦθ' ἡμῖν ἐκ τῶν Ἀναλυτικῶν. λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι. εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει, καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο· πάντα γὰρ γίγνεται ἀποδείξει ἤδη φανερά.

CAPUT XXVII.

Amplificationem, ac diminutionem neque eſſe enthymematum elementa, neque enthymemata.

260 * JAM verò amplificatio, & diminutio non ſunt enthymematis elementa. Idem enim ego elementum, & locum appello.

* ΤΟ δ' αὔξειν καὶ μειοῦν, οὐκ ἔστιν ἐνθυμήματος στοιχεῖον· τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον·

ἔστι

ἔστι γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει. τὸ δ' αὔξειν καὶ μειοῦν, ἐστὶν ἐνθυμήματα πρὸς τὸ δεῖξαι, ὅτι μέγα ἢ μικρὸν, ὥσπερ καὶ ὅτι ἀγαθὸν ἢ κακὸν, ἢ δίκαιον ἢ ἄδικον, καὶ τῶν ἄλλων ὁτιοῦν. ταῦτα δ' ἐστὶ πάντα, περὶ ἃ οἱ συλλογισμοὶ, καὶ τὰ ἐνθυμήματα· ὥστ' εἰ μηδὲ τούτων ἕκαστον ἐνθυμήματος τόπος, οὐδὲ τὸ αὔξειν καὶ τὸ μειοῦν. * ΟΥ'δὲ τὰ λυτικὰ, ἐνθυμήματός εἶδός τί ἐστιν ἄλλο τῶν κατασκευαστικῶν· δῆλον γὰρ, ὅτι, λύει μὲν, ἢ ὁ δείξας, ἢ ὁ ἔνστασιν ἐνεγκών· ἀνταποδεικνύουσι δὲ τὸ ἀντικείμενον· οἷον, εἰ ἔδειξεν ὅτι γέγονεν, οὗτος ὅτι οὐ γέγονεν· εἰ δ' ὅτι οὐ γέγονεν, οὗτος ὅτι γέγονεν.

Eſt autem elementum ſive locus, in quem multæ argumentationes incidunt: amplificatio verò & diminutio ſunt argumentationes ad aliquid oſtendendum, quod ſit magnum, aut parvum, quemadmodum etiam, quod ſit bonum, aut malum, quod juſtum, aut injuſtum, & in cæteris eodem modo. Hæc autem omnia ſunt, in quibus ſyllogiſmi, atque enthymemata verſantur. Quòd ſi nullum horum eſt locus enthymematis, neque amplificatio, aut diminutio erit locus. * Neque argumenta, quibus refellimus, diverſam habent ſpeciem ab iis, quibus confirmamus. 261
Perſpicuum eſt enim, duobus modis argumentum ſolvi, vel per demonſtrationem, vel per reprehenſionem: per demonſtrationem, ut, cum probatur contrarium; exempli gratia, ſi quis demonſtravit, rem factam eſse, qui ſolvere vult, oſtendit, non eſse factam. Et contrà, ſi quis oſtendit non eſse factam, qui vult ſolvere, factam eſse demonſtrat.

Qua-

Quare non eſt in argumentandi ratione diſſerentia; ambo enim iiſdem utuntur; cum aut eſse, aut non eſse argu-
262 mentantur. * Reprehenſio verò non eſt enthymema, ſed, quemadmodum in Topicis docetur, nihil aliud eſt reprehenſio, quàm opinionem aliquam in medium adferre, qua planum fiat, non eſſe benè concluſum, aut aliquid ſumptum, quod
263 falſum ſit. * At de exemplis quidem, & ſententiis, & argumentationibus, & denique de iis, quæ ad ſenſus animi proferendos pertinent, qua ratione poſſimus eis abundare, & quomodò ea ſolvere valeamus; ſatis dictum eſt. Reliquum eſt, ut etiam de elocutione, & diſpoſitione verba faciamus.

ὥστε, αὕτη μὲν οὐκ ἂν εἴη ἡ διαφορά· τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι· ὅτι γὰρ οὐκ ἔστιν, ἢ ἔστιν, ἐνθυμήματα φέρουσιν. * Ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα, ἀλλὰ καθάπερ ἐν τοῖς Τοπικοῖς τὸ εἰπεῖν δόξαν τινά, ἐξ ἧς ἔσται δῆλον, ὅτι οὐ συλλελόγισται, ἢ ὅτι ψεῦδός τι εἴληφεν. * Ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν, καὶ ἐνθυμημάτων, καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν, ὅθεν τε εὐπορήσομεν, καὶ ὡς αὐτὰ λύσομεν, εἰρήσθω ἡμῖν τοσαῦτα. λοιπὸν δὲ διελθεῖν περὶ λέξεως, καὶ τάξεως.

IN

IN LIBRUM TERTIUM RHETORICORUM ARISTOTELIS ARGUMENTUM.

LIBER tertius, quo univerſum Rhetoricæ opus abſolvitur, dividitur in tres partes, in prima diſſerit de elocutione ad perſuadendum accommodata, de duobus elocutionis virtutibus, nimirùm perſpicuo, & decoro, de quatuor cauſis, ex quibus elocutio redditur frigida, de ſimilitudine, ſive imagine, & de ſeptem aliis virtutibus elocutionis; in ſecunda de diſpoſitione, dicendique ratione, tàm deliberativo, quàm Judiciali, & demonſtrativo generi accommodata; in tertia de partibus orationis, proœmio, ſive exordio, criminum, argumentorumque refutatione, narratione, confirmatione, & peroratione.

CAPUT

CAPUT I.

De Elocutione, & actione, eorumque inventione, & utilitate.

DIVISIO CAPITIS IN PARTES QUINQUE.

1 *Agendum eſſe in hoc libro de Elocutione, & diſpoſitione.*

2 *Priùs traditam fuiſſe inventionem, deinde elocutionem, ſub qua diſpoſitio continetur, nondum autem pronuntiationem.*

3 *Tantam eſſe utilitatem actionis, ut potius penè ſit præſtare actione, quàm elocutione.*

4 *Maximam eſſe Elocutionis utilitatem, quia in hac univerſa Rhetoricę ars poſita eſt, quod in actione non contingit, quia à Natura potiſſimùm exoritur.*

5 *Priùs fuiſſe inventam elocutionem Poeticam, quàm oratoriam.*

Tex. 1 1 * CUM tria ſint, quæ in doctrina dicendi pertractare oporteat: primum unde probationes ducantur, alterum qua ſit utendum elocutione, tertium quomodo partes orationis diſponendæ ſint: jam de probationibus dictum eſt, & oſtenſum, quot ſint illa, ex quibus ducantur: diximus enim eſſe tria, atque ea, quæ ſint explicuimus,

α. * ἘΠΕΙΔῊ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον· ἓν μὲν, ἐκ τίνων αἱ πίστεις ἔσονται· δεύτερον δὲ, περὶ τὴν λέξιν· τρίτον δὲ, πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου· περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσὶ, καὶ ταῦτα ποῖα

καὶ

καὶ διὰ τί τοσαῦτα μόνα· ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι, πείθονται πάντες. εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα, πόθεν δεῖ πορίζεσθαι· ἔστι γὰρ, τὰ μὲν, εἴδη τῶν ἐνθυμημάτων, τὰ δὲ, τόποι. περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν· οὐ γὰρ ἀπόχρη τὸ ἔχειν ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν· καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον.

β. * Τὸ μὲν οὖν πρῶτον, ἐζητήθη κατὰ φύσιν, ὅπερ πέφυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν· δεύτερον δὲ, τὸ ταῦτα τῇ λέξει διαθέσθαι· τρίτον δὲ τούτων, ὃ δύναμιν μὲν ἔχει μεγίστην,

& cur eum numerum non excedant: omnes enim, qui de aliqua re judicaturi ſunt, vel quia ipſi affecti ſunt aliquo modo, vel quia putant, eos, qui dicunt, dignos eſſe, quibus fides habeatur, vel quia claris argumentis probatum eſt, in perſuaſionem inducuntur; dictum eſt etiam, unde trahantur enthymemata: ſunt enim, quæ dicuntur enthymematum ſpecies; ſunt etiam qui loci nominantur. Reliquum eſt, ut de elocutione dicamus, neque enim ſatis eſt ea tenere, quæ dicenda ſunt; ſed etiam ſcire oportet, quomodo ſint dicenda: hoc enim multum etiam prodeſt ad efficiendum, ut oratio benè morata videatur.

2 * Ac primò quidem, ut ordo naturæ poſtulat, quæſitum eſt id, quod re ipſa primum erat, unde res ipſę probabilitatem habeant, ſecundo loco quæſitum eſt, quomodo in oratione, & elocutione res inventæ diſponantur. Tertiū id eſt, quod horum omnium vim habet maximam. 2

ſed

ſed nondum à quoquam pertractatum eſt, quod ad actionem, & pronunciationem facit. Quæ res etiam à tragicis, atque epicis poetis ſerò animadverſa eſt; nam initio poetæ ipſi tragœdias ſuas agebant. Perſpicuum eſt autem, etiam in arte dicendi tale aliquid eſſe, quod ad actionem pertinet, quale in arte poetica, de qua re cùm alii quidam ſtudioſè pertractarunt, tùm præcipuè Glauco Tejus.

3 3 * Eſt autem actio in voce poſita: quomodo ſcilicet vocem ipſam variare opus ſit, ad ſingulos animi motus exprimendos; nam aliquandò magna, aliquandò parva, aliquandò media opus eſt: & quomodo ſonis vocis, & acuto, & gravi, & flexo ſit utendum: quibus prætereà numeris in unoquoque dicendi genere. Tria ſunt enim, quæ conſiderant ii, qui in hoc ſtudio verſantur, hoc eſt, magnitudo, ſonus, numerus, quibus qui benè utuntur, ii ferè ſolent ex certaminibus victoriam reportare.

οὔπω δ᾽ ἐπικεχείρηται τὰ περὶ τὴν ὑπόκρισιν. καὶ γὰρ εἰς τὴν τραγικὴν, καὶ ῥαψῳδίαν ὀψὲ παρῆλθεν· ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον. δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικήν ἐστι τὸ τοιοῦτον, ὥσπερ καὶ περὶ τὴν ποιητικήν· ὅπερ ἕτεροί τινες ἐπραγματεύθησαν, καὶ Γλαύκων ὁ Τήϊος.

γ΄. * Ἔστι δὲ, αὕτη μὲν ἐν τῇ φωνῇ, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος· οἷον, πότε μεγάλῃ, καὶ πότε μικρᾷ, καὶ πότε μέσῃ, καὶ πῶς τοῖς τόνοις· οἷον ὀξείᾳ, καὶ βαρείᾳ, καὶ μέσῃ· καὶ ῥυθμοῖς τίσι πρὸς ἕκαστα· τρία γάρ ἐστι περὶ ὧν σκοποῦσι· ταῦτα δ᾽ ἐστὶ, μέγεθος, ἁρμονία, ῥυθμός. τὰ μὲν οὖν ἆθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσι·

καὶ

καὶ καθάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταὶ, καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας, διὰ τὴν μοχθηρίαν τῶν πολιτῶν. οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν, ἐπεὶ καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθε.

δ'. * Καὶ δοκεῖ φορτικὸν εἶναι, καλῶς ὑπολαμβανόμενον· ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ ῥητορικὴν, οὐκ ὀρθῶς ἔχοντες, ἀλλ' ὡς ἀναγκαίου τὴν ἐπιμέλειαν ποιητέον· ἐπεὶ τό γε δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον, ἢ ὡς μήτε λυπεῖν, μήτε εὐφραίνειν· δίκαιον γὰρ αὐτοῖς ἀγωνίζεσθαι τοῖς πράγμασιν, ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι, περίεργά ἐστιν· ἀλλ' ὅμως μέγα δύναται, καθάπερ εἴρηται, διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν.

& quemadmodum in arte poetica plus hoc tempore valent hiſtriones, quàm poetæ, ſic etiam in civilibus controverſiis, quod vitio fit Rerump: nondum tamen de iis, quæ ad actionem ſpectant, ars ulla conſcripta eſt, quod non mirùm eſt; cum etiam illa, quibus ornatur oratio, ſerò in lucem venerint.

4 * Et ſanè, ſi quis rectè reputet, tota res levis ac importuna eſt: verùm cum omnis ars dicendi ad opiniones hominum accommodetur, ei curam, & ſtudium impendere debemus, non tanquam rectę, honeſtęque rei, ſed tanquam neceſſariæ: nam certè æquum erat, ut nihil aliud in oratione quæreretur, quàm ut iis, qui audiunt, nec moleſtiam, nec lætitiam adferremus. Juſtum eſt enim, ipſis tantùm rebus in judicio contendere. Cætera verò omnia, quæ præter probationes adhibentur, ſupervacanea ſunt, ſed tamen, ut anteà dictum eſt, propter auditoris vitium plurimum valent. 4

Quin

Quin eloquendi ratio, genusque dicendi quiddam neceſſarium habet in omni diſciplina: aliquantum enim intereſt ad rem explicandam, hoc, an illo dicendi genere quis utatur, non tamen tantum, quantum in hac arte. Verùm hæc ex opinione pendent, & auditoris gratia quæruntur; itaque nemo geometriam hoc modo docere inſtituit. Ars igitur illa, cum in lucem venerit, idem efficiet, quod ars hiſtrionica. Quidam tamen hactenus nonnihil de ea præcipere tentarũnt, ut Thraſymachus in miſerationibus. Atque hoc quidem, quod ad agendum attinet, à natura potiùs habetur, & parvo eget artificio; quod autem ad ornandam orationem ſpectat, id jam artis indiget. Quare qui hoc facere poſſunt, eodem modo victoriam ex contentionibus reportant; ſicut oratores illi, qui plurimum in actione valent; nam, quæ ſcribuntur orationes magis ornatu ipſo verborum, quàm ſententiis valent.

τὸ μὲν οὖν τῆς λέξεως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ· διαφέρει γάρ τι πρὸς τὸ δηλῶσαι, ὡδὶ ἢ ὡδὶ εἰπεῖν· οὐ μέντοι τοσοῦτον, ἀλλ᾽ ἄπαντα φαντασία ταῦτά ἐστι, καὶ πρὸς τὸν ἀκροατήν· διὸ οὐδεὶς οὕτω γεωμετρεῖν διδάσκει· ἐκείνη μὲν οὖν ὅταν ἔλθῃ, ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ. ἐγκεχειρήκασι δὲ ἐπ᾽ ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινες, οἷον Θρασύμαχος ἐν τοῖς ἐλέοις· καὶ ἔστι φύσεως τὸ ὑποκριτικὸν εἶναι, καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον. διὸ καὶ τοῖς τοῦτο δυναμένοις γίγνεται πάλιν ἆθλα, καθάπερ καὶ τοῖς κατὰ τὴν ὑπόκρισιν ῥήτορσιν· οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι διὰ τὴν λέξιν, ἢ διὰ τὴν διάνοιαν.

ε. * Ἡρ.

έ. * Ἤρξαντο μὲν οὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταί· τὰ γὰρ ὀνόματα μιμήματά ἐστιν. ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν· διὸ καὶ αἱ τέχναι συνέστησαν, ἥτε ῥαψῳδία, καὶ ἡ ὑποκριτική, καὶ ἄλλαι γε. ἐπεὶ δ᾽ οἱ ποιηταὶ λέγοντες εὐήθη, διὰ τὴν λέξιν ἐδόκουν πορίσασθαι τήνδε τὴν δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου. καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων, τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα. τοῦτο δ᾽ οὐκ ἔστιν, ἀλλ᾽ ἑτέρα λόγου καὶ ποιήσεως λέξις ἐστί. δηλοῖ δὲ τὸ συμβαῖνον· οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες, ἔτι χρῶνται τὸν αὐτὸν τρόπον· ἀλλ᾽ ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν,

5 * Cœperunt autem primi poetæ, ſicuti conſentaneum eſt, aliquid de elocutione tractare: ſunt enim nomina ſimulacra quædam: atque in nobis nulla pars eſt, quæ magis, quàm vox, ad imitandum apta ſit: unde etiam artes confectæ ſunt, ut epica, & hiſtrionica, atque aliæ. Et, quoniam poetæ, qui plerunque res inſulſas proferunt propter elocutionem, gloriam, & honorem acquiſiviſſe videbantur; ideò factum eſt, ut elocutio poetica primùm probaretur, qualis eſt Gorgiæ. Quin etiam hoc tempore multi imperiti homines exiſtimant, tales oratores optimè loqui: ſed hoc minimè verum eſt; alia eſt enim oratoria, alia poetica elocutio, quod ex ipſo eventu poteſt intelligi. Neque enim qui tragœdias conſcribunt, adhuc eo dicendi genere utuntur; ſed, quemadmodum tetrametros verſus reliquerunt, & ad jambos ſe contulerunt; 5

eo quòd ex omni metrorum genere jambicum eſt orationi ſolutæ ſimillimum ; ſic etiam ea verba reliquerunt , quę à communi loquendi conſuetudine abhorrent, & omnem illum ornatum abjecerunt, quo priſci poetæ tragici utebantur , & quo adhuc utuntur ii, qui verſus heroicos pangunt. Itaque ridiculum eſt , eos imitari, qui ipſi non ampliùs eo dicendi genere utuntur. Quare perſpicuum eſt , non eſſe nobis omnia diligenter explicanda , quæ ad elocutionem attinent ; ſed tantùm quæ ad elocutionem oratoriam , de qua ſermonem inſtituimus : nam de illa altera diximus in iis, quæ de arte Poetica ſunt à nobis pertractata : maneant igitur illa firma.

διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων· οὕτω καὶ τῶν ὀνομάτων ἀφήκασιν, ὅσα παρὰ τὴν διάλεκτόν ἐστιν· οἷς δ' οἱ πρῶτον ἐκόσμουν, καὶ ἔτι νῦν οἱ τὰ ἑξάμετρα ποιοῦντες, ἀφήκασι· διὸ γελοῖον μιμεῖσθαι τούτους, οἳ αὐτοὶ οὐκ ἔτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ· ὥστε φανερὸν, ὅτι οὐχ ἅπαντα ὅσα περὶ λέξεώς ἐστιν εἰπεῖν, ἀκριβολογητέον ἡμῖν· ἀλλ' ὅσα περὶ τοιαύτης, οἵας λέγομεν. περὶ δ' ἐκείνης εἴρηται ἐν τοῖς περὶ ποιητικοῖς. ἔστω οὖν ἐκεῖνα τεθεωρημένα.

CAPUT II.

De duabus virtutibus elocutionis; perſpicuo, & decoro.

DIVISIO CAPITIS IN PARTES SEPTEM.

1 *Summam eſſe in Elocutione perſpicui, & decori neceſſitatem.*

2 *Ad reddendam orationem perſpicuam utendum eſſe nominibus propriis, ad reddendam decoram, utendum eſſe nominibus peregrinis.*

3 *Eſſe diſcrimen carminis à ſoluta oratione in uſu elocutionis peregrina.*

4 *Oratorem ita debere ſectari peregrinum ſermonem, ut id lateat Auditorem, & naturaliter loqui videatur.*

5 *Ex peregrinis nominibus translata, & metaphorica eſſe maximè ad orationem ſolutam accomodata.*

6 *Quomodo, & ex quibus metaphora, ac translata ſumenda ſint.*

7 *Qualibus appoſitis epithetis, & diminutivis ſit utendum.*

ά.* ΚΑΙ ὡρίσθω λέξεως ἀρετὴ, σαφῆ εἶναι· σημεῖον γὰρ ὅτι ὁ λόγος, ἐὰν μὴ δηλοῖ, οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον· καὶ μήτε ταπεινὴν, μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν·

1.* HOC autem in loco definitum ſit, elocutionis virtutem eſſe ſplendorem, cujus rei ſignum eſt, quòd, niſi oratio ſit clara, & aperta, finem ſuum non aſſequetur. Sed nec humilis, nec nimis elata eſſe debet, verùm ipſis rebus conveniens: Nam

Nam poetica locutio non humilis quidem eſt, ſed tamen ſolutæ orationi non convenit.

7 2 * Ex nominibus autem, & verbis illa præcipuè dilucidam orationem efficiunt, quæ propria ſunt: non humilem autem, ſed excultam, & ornatam alia reddunt, de quibus in arte Poetica dictum eſt: nam verborum immutatio facit orationem videri grandiorem. Quemadmodum enim erga peregrinos, & erga cives affecti ſunt homines; ita etiam erga orationem. Quare peregrinam reddere oportet orationem: res enim externas homines admirantur; quod autem gignit admirationem, ſuave eſt.

8 3 * Ac in poetarum quidem ſcriptis multa ſunt, quæ hoc efficiunt: ſed ibi ea conveniunt: nam res, & perſonæ, de quibus agunt poetæ, valdè à cæteris remotæ ſunt, ſed in oratione ſoluta multò paucioribus uti licet ornamentis; cum etiam ipſum argumentum multò ſit inferius. Quàm enim eſſet indecorum,

ἡ γὰρ ποιητικὴ ἴσως οὐ ταπεινή, ἀλλ' οὐ πρέπουσα τῷ λόγῳ.

β'. * Τῶν δ' ὀνομάτων καὶ ῥημάτων, σαφῆ μὲν ποιεῖ τὰ κύρια· μὴ ταπεινὴν δὲ, ἀλλὰ κεκοσμημένην, τἆλλα ὀνόματα, ὅσα εἴρηται ἐν τοῖς περὶ ποιητικῆς· τὸ γὰρ ἐξαλλάξαι ποιεῖ φαίνεσθαι σεμνοτέραν· ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι, καὶ πρὸς τοὺς πολίτας, τὸ αὐτὸ πάσχουσι καὶ πρὸς τὴν λέξιν. Διὸ δεῖ ποιεῖν ξένην τὴν διάλεκτον. θαυμασταὶ γὰρ τῶν ἀπόντων εἰσίν· ἡδὺ δὲ τὸ θαυμαστόν.

γ'. * Ἐπὶ μὲν οὖν τῶν μέτρων πολλά τε ποιεῖ τοῦτο, καὶ ἁρμόττει ἐκεῖ· πλέον γὰρ ἐξέστηκε, περὶ ἃ, καὶ περὶ οὓς ὁ λόγος· ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολλῷ ἐλάττοσιν. ἡ γὰρ ὑπόθεσις ἐλάττων, ἐπεὶ καὶ ἐνταῦθα

εἰ

εἰ δοῦλος καλλιεπεῖτο, ἢ λίαν νέος, ἀπρεπέστερον· ἢ περὶ λίαν μικρῶν· ἀλλ' ἔστι καὶ ἐν τούτοις ἐπισυστελλόμενον καὶ αὐξανόμενον τὸ πρέπον.

δ΄. * Διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως, ἀλλὰ πεφυκότως· τοῦτο γὰρ πιθανόν· ἐκεῖνο δὲ, τοὐναντίον· ὡς γὰρ πρὸς ἐπιβουλεύοντα διαβάλλονται, καθάπερ πρὸς τοὺς οἴνους τοὺς μεμιγμένους· καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν· ἡ μὲν γὰρ, τοῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ', ἀλλότριαι. κλέπτεται δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων συνθῇ· ὅπερ Εὐριπίδης ποιεῖ, καὶ ὑπέδειξε πρῶτος.

ε΄. * Ὄντων δὲ ὀνομάτων

ſi ſervus, aut valdè juvenis elegantiori ſermone uteretur, aut, cum quis de valdè exiguis rebus verba facit? eſt enim etiam in ſoluta oratione decorum, quod & contrahi, & dilatari debeat.

4 * Quare danda eſt opera, ut id clàm fiat: ne videamur fictè, atque artificiosè dicere, ſed ut nobis dictat ipſa natura; ſic enim erit probabilis oratio, illo verò modo totum accidit contrarium: nam oratorem, tanquam inſidiatorem, ſuſpectum habent non aliter, atque permixta vina. Debet igitur eſſe oratio, qualis eſſe Theodori vox videbatur, ad aliorum hiſtrionum vocem comparata: nam ejus ipſius, qui dicebat, illa eſſe videbatur, voces autem reliquorum alienæ. Facilè verò artificium occultatur, ſi quis è communi ſermonis conſuetudine verba ſeligens, orationem ſuam componat: quod Euripides obſervat, & primus hanc rationem oſtendit. 9

5 *Cum aūt è nominibus, 10

& verbis oratio conſtituatur, & nominum tot ſint ſpecies, quot in arte Poetica declaratum eſt, rariùs orator, & paucioribus in locis uti debet peregrinis, & junctis nominibus, & fictis: ubi verò liceat uti, poſteà dicemus. Cur autem iis abſtinere debeat, jam dictum eſt: nempe quia magis, quàm oporteat, orationem immutant. Propria verò tantùm nomina, & ſua, & tranſlata ad ſolutam orationem exornandam ſunt utilia; cujus rei ſignum eſt, quòd his ſolis omnes utuntur: nam in loquendo translatis, & ſuis, & propriis nominibus quilibet utitur. Quare dubium eſſe non poteſt, quin ſi quis hoc rectè fecerit, conſequatur, ut & peregrina videatur ejus oratio, & ars lateat, & apertè dicat, quæ locutionis oratoriæ virtus eſt. Ex nominibus ea, quæ ſunt ambigua, ſophiſtæ conveniunt; ex eis enim fallaciter concludit.

καὶ ῥημάτων, ἐξ ὧν ὁ λόγος συνέστηκε, τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα τεθεώρηται ἐν τοῖς περὶ ποιήσεως· τούτων γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι, καὶ πεποιημένοις, ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον· ὅπου δὲ, ὕστερον ἐροῦμεν· τό, τε διὰ τί εἴρηται, ὅτι τὸ μεῖζον γὰρ ἐξαλλάττει τοῦ πρέποντος· τὸ δὲ κύριον, καὶ τὸ οἰκεῖον, καὶ μεταφοραὶ μόναι χρήσιμοι πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν· σημεῖον δὲ, ὅτι τούτοις μόνοις πάντες χρῶνται· πάντες γὰρ μεταφοραῖς διαλέγονται, καὶ τοῖς οἰκείοις, καὶ τοῖς κυρίοις· ὥστε δῆλον ὡς ἐὰν εὖ ποιῇ τις, ἔσται τε ξενικὸν, καὶ λανθάνειν ἐνδέχεται, καὶ σαφηνιεῖ. αὕτη δ' ἦν ἡ τοῦ ῥητορικοῦ λόγου ἀρετή. τῶν δ' ὀνομάτων, τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι· παρὰ ταύτας γὰρ κακουργεῖ·

τῷ

τῷ ποιητῇ δὲ συνωνυμίαι· λέγω δὲ κύριά τε καὶ συνώνυμα, οἷον τὸ πορεύεσθαι, καὶ τὸ βαδίζειν· ταῦτα γὰρ ἀμφότερα, καὶ κύρια καὶ συνώνυμα ἀλλήλοις· τί μὲν οὖν τούτων ἕκαστόν ἐστι, καὶ πόσα εἴδη μεταφορᾶς, καὶ ὅτι τοῦτο πλεῖστον δύναται, καὶ ἐν ποιήσει, καὶ ἐν λόγοις, αἱ μεταφοραὶ, εἴρηται, καθάπερ ἐλέγομεν ἐν τοῖς περὶ ποιητικῆς. τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτὴν, ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων. καὶ τὸ σαφὲς, καὶ τὸ ἡδὺ, καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορὰ, καὶ λαβεῖν οὐκ ἔστιν αὐτὴν παρ' ἄλλου.

ϛ'. * Δεῖ δὲ καὶ τὰ ἐπίθετα, καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν· τοῦτο δ' ἔσται ἐκ τοῦ ἀναλόγου· εἰ δὲ μὴ, ἀπρεπὲς φανεῖται, διὰ τὸ παράλληλα τὰ ἐναντία μάλιστα φαίνεσθαι.

quæ verò cognominata ſunt, poetæ ſunt utilia: voco autem propria, & cognomitata, ut eo, & proficiſcor: nam hæc ambo propria ſunt, & inter ſe cognominata. Quid igitur hæc ſingula verba ſint, & quot ſint translationis ſpecies, & quem fructum poetæ, & oratori ferant tranſlationes, dictum eſt (ut anteà monuimus) in arte Poetica. Tantò autem majorem induſtriam in tranſferendis nominibus oratio ſoluta poſtulat, quantò pauciora ad exornandum adjumenta, quàm verſus, habet, cum præſertim orationem dilucidam, & jucundam, & peregrinam tranſlatio faciat, neque eam ab alia re quiſpiam accipere poſſit.

6 * Oportet autem & addita ad nomen, & 11
& translationes accommodatas ſumere, hoc autem fiet, ſi proportio conſervabitur; ſin minus indecorum apparebit; contraria neque inter ſe collata maximè perſpiciuntur,

ſed videre oportet, ſicuti juveni purpura, ita ſeni quid conveniat; neque enim eadem eum ve-
12 ſtis decet. * Et ſi quem exornare volueris ab eis, quæ ſunt in eodem genere præſtantiſſima, translationem ſumere debes: ſi verò vituperare, ab eis, quæ ſunt deterrima. Dico autem hoc modo, quoniam contraria ſunt in eodem genere, ut, ſi quis dicat, mendicantem deprecari, deprecantem verò mendicare, quoniam utrunque eſt petere, certè id faciet, quod ante dictum eſt: quemadmodum Iphicrates Calliam vocabat metragyrtem, non autem daduchum. At ille reſpondit profanum eſſe Iphicratem, nam ſi initiatus fuiſſet, eum non metragyrtem, ſed daducum appellaſſet; ambo enim hæc nomina ſunt miniſtrorum magnæ Deæ, ſed alterum honeſtum eſt, alterum abjectum; & eos, qui Dionyſii ſodales erãt, alii quidem Dionyſii adulatores, ipſi verò ſe artifices appellabant. Hæc autem ambo tranſlata ſunt,

ἀλλὰ δεῖ σκοπεῖν ὡς νέῳ φοινικὶς, οὕτω γέροντί τι· οὐ γὰρ ἡ αὐτὴ πρέπει ἐσθής. * Καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τῶν βελτιόνων τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν μεταφορὰν, ἐάν τε ψέγειν ἀπὸ τῶν χειρόνων· λέγω δ', οἷον, ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει, τὸ φάναι, τὸν μὲν πτωχεύοντα εὔχεσθαι, τὸν δὲ εὐχόμενον πτωχεύειν· ὅτι ἄμφω αἰτήσεις, τὸ εἰρημένον ἐστὶ ποιεῖν· ὡς καὶ Ἰφικράτης Καλλίαν μητραγύρτην, ἀλλ' οὐ δᾳδοῦχον· ὁ δὲ ἔφη; ἀμύητον αὐτὸν εἶναι. οὐ γὰρ ἂν μητραγύρτην αὐτὸν καλεῖν, ἀλλὰ δᾳδοῦχον· ἄμφω γὰρ περὶ θεόν· ἀλλὰ τὸ μὲν, τίμιον, τὸ δὲ, ἄτιμον. καὶ οἱ μὲν Διονυσιοκόλακας, αὐτοὶ δ' αὑτοὺς τεχνίτας καλοῦσι. ταῦτα δ' ἄμφω μεταφορὰ, ἡ μὲν

ἡ μὲν, ῥυπαινόντων, ἡ δὲ, τοὐναντίον. * Καὶ οἱ μὲν λῃσταὶ, αὐτοὺς ποριστὰς καλοῦσι νῦν· διὸ ἔξεστι λέγειν, τὸν ἀδικήσαντα μὲν, ἁμαρτάνειν, τὸν δ' ἁμαρτάνοντα, ἀδικῆσαι· καὶ τὸν κλέψαντα, καὶ λαβεῖν, καὶ πορθῆσαι. τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησὶ, κώπας ἀνάσσειν, καὶ ἀποβὰς εἰς Μυσίαν, ἀπρεπές. ὅτι μεῖζον τὸ ἀνάσσειν, ἢ κατ' ἀξίαν· οὐ κέκλεπται οὖν. * Ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ ἡδείας ᾖ σημεῖα φωνῆς· οἷον, Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις, κραυγὴν Καλλιόπης, τὴν ποίησιν, ὅτι ἄμφω φωναί· φαύλη δὲ ἡ μεταφορὰ, ταῖς ἀσήμοις φωναῖς. * Ἔτι δὲ, οὐ πόῤῥωθεν δεῖ, ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως, ὃ λεχθέν.

ſed alterum ſordidorum eſt hominum, alterum contrà. *Et prædones hoc 13
tempore ſe lucrifactores vocant; quare licet eum, qui ſe injuſtè geſſit, dicere lapſum eſſe; qui verò lapſus eſt, injuſtè ſe geſſiſſe, & eum, qui furatus eſt, ſumpſiſſe, aut depopulatum eſſe. Illud autem, quod apud Euripidem Telephus ait, remis imperare, & in Myſiam deſcendens, indecorum eſt; majus eſt enim imperare, quàm conveniat; itaque non latet.
* Eſt etiam interdum in 14
ſyllabis ipſis error, cum non jucundæ vocis ſigna ſunt, ut Dionyſius cognomento Æneus in Elegiis ſuis poeſim appellavit ſtridorem Calliopes, quoniam ambæ voces ſunt: ſed improbanda eſt tranſlatio, quę fit in vocibus non ſignificantibus. * Præ- 15
tereà videndum eſt, ne longè ducantur tranſlationes, ſed ex propinquis, atque ejuſdem generis: ut, quæ proprium nomen non habent, eis illud imponatur,

quod ſtatim affine eſſe videatur, ut in celebri illo ænigmate. Vidi hominem, qui alteri homini æs igne conglutinabat; hæc enim res proprio nomine caret; ſed tamen in ambobus eſt appoſitio quędam: conglutinationem igitur appellavit ipſam cucurbitulæ adjectionem. Atque omninò ex benè confectis ænigmatibus licet egregias translationes ſumere: nam ex translationibus fiunt ænigmata. Quare non dubium eſt, ratione ſumptam eſſe translationem. Debet etiam à rebus pulchris, ac ſpecioſis duci translatio.

16 * Nominis autem pulchritudo, ſicut Lycimnius tradit, aut eſt in ſono, aut in ſignificatione, & turpitudo ſimiliter. Sed præter hæc, tertium quiddam eſt, quo fallax ea concluſio ſophiſtarum ſolvitur. Neque enim verum eſt id, quod Bryſon dixit, neminem eſſe, qui turpiter loquatur, cum præſertim idem ſignificetur, ſive hoc, ſive illo modo dixeris.

δῆλόν ἐστιν ὅτι συγγενές· οἷον ἐν τῷ αἰνίγματι τῷ εὐδοκιμοῦντι, ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα· ἀνώνυμον γὰρ τὸ πάθος. ἔστι δ' ἄμφω πρόσθεσίς τις. κόλλησιν τοίνυν εἶπε τὴν τῆς συκίας προσβολήν. καὶ ὅλως ἐκ τῶν εὖ ᾐνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιεικεῖς. αἱ μεταφοραὶ γὰρ αἰνίττονται· ὥστε δῆλον, ὅτι εὖ μετενήνεκται, ἢ ἀπὸ καλῶν. * Κάλλος δὲ ὀνόματος, τὸ μὲν, ὥσπερ Λυκίμνιος λέγει ἐν τοῖς ψόφοις, ἢ τῷ σημαινομένῳ· καὶ αἶσχος δὲ ὡσαύτως. ἔτι δὲ τρίτον, ὃ λύει τὸν σοφιστικὸν λόγον· οὐ γὰρ ὡς ἔφη Βρύσων, οὐθένα αἰσχρολογεῖν, εἴπερ τὸ αὐτὸ σημαίνει τόδε, ἀντὶ τοῦ τόδε εἰπεῖν·

τοῦτο

τοῦτο γάρ ἐστι ψεῦδος· ἔστι γὰρ ἄλλο ἄλλου κυριώτερον, καὶ ὡμοιωμένον μᾶλλον, καὶ οἰκειότερον, τῷ ποιεῖν τὸ πρᾶγμα πρὸ ὀμμάτων. ἔτι οὐχ ὁμοίως ἔχον σημαίνει τόδε καὶ τόδε· ὥστε καὶ οὕτως, ἄλλο ἄλλου κάλλιον, καὶ αἴσχιον θετέον. ἄμφω μὲν γὰρ τὸ καλὸν καὶ τὸ αἰσχρὸν σημαίνουσιν· ἀλλ' οὐχ ᾗ καλὸν, ἢ οὐχ ᾗ αἰσχρόν. ἢ ταῦτα μὲν, ἀλλὰ μᾶλλον καὶ ἧττον. τὰς δὲ μεταφορὰς ἐντεῦθεν οἰστέον ἀπὸ καλῶν, ἢ τῇ φωνῇ, ἢ τῇ δυνάμει, ἢ τῇ ὄψει, ἢ ἄλλῃ τινὶ αἰσθήσει. διαφέρει δ' εἰπεῖν, οἷον ῥοδοδάκτυλος ἠὼς μᾶλλον ἢ φοινικοδάκτυλος, ἢ ἔτι φαυλότερον, ἐρυθροδάκτυλος.

ζ'. * Καὶ ἐν τοῖς ἐπιθέτοις. ἔστι μὲν τὰς ἐπιθέσεις ποιεῖσθαι ἀπὸ φαύλου ἢ αἰσχροῦ· οἷον, ὁ μητροφόντης.

Hoc autem falſum eſt: nam aliud alio nomen magis eſt proprium, & rei magis ſimile, & magis accommodatum, ut res oculis quaſi ſubjiciatur. Prætereà licet idem ſignificent, non tamen eodem modo ſe habent hoc, & illud nomen: Quare hac etiam de cauſa aliud alio pulchrius, aut deformius nomen exiſtimandum eſt. Ambo quidem & honeſtum, & turpe ſignificant, ſed non quatenus eſt honeſtum, aut turpe, vel eandem rem, aut magis, aut minus exprimunt. Translationes igitur hinc ducendæ ſunt: hoc eſt, à rebus honeſtis, vel ſono, vel poteſtate, vel aſpectu; vel alio aliquo ſenſu: plurimum enim intereſt, ſi quis auròram dicat, ut Homerus, roſeam, & ſi purpuream, &, quod adhuc eſt deterius, ſi rubram.

7 * Quinetiam in eis, quæ nominibus adjunguntur, licet à deteriori, & turpiori additamentum ſumere, ut Oreſtes matricida, 17

licet etiam ab honeſtiore, ut patris ultor: & Simonides, cum illi parvam mercedem traderet is, qui mulabus victoriam confecutus fuerat; noluit eum carmine ſuo celebrare, tanquam indignum putaret, in mulas carmen condere; poſtquam verò juſtam illi mercedem tribuit; ita canere cœpit.

Salvete ò volucrum filiæ equorum.

atqui etiam aſinorum e-
18 rant filiæ. * Poſſunt etiam ipſa nomina diminui: eſt autem diminutio, quæ vel bonum, vel malum minus videri facit: ut Ariſtophanes in Babyloniis cavillatur; cum pro auro dicat aurulum, & pro veſtimento veſtimentulum, & pro convicio conviciolum, & pro morbo morbulum. Cautè verò rem utramque tractare oportet, & in utraque modum ſervare.

ἔστι δ' ἀπὸ τοῦ βελτίονος· οἷον, ὁ πατρὸς ἀμύντωρ. καὶ ὁ Σιμωνίδης, ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν, οὐκ ἤθελε ποιεῖν, ὡς δυσχεραίνων εἰς ἡμιόνους ποιεῖν· ἐπεὶ δ' ἱκανὸν ἔδωκεν, ἐποίησε,

Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων·

καίτοι τῶν ὄνων θυγατέρες ἦσαν. * Ἔτι δὲ, τὸ αὐτὸ ὑποκορίζεσθαι. ἔστι δὲ ὁ ὑποκορισμὸς, ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν, καὶ τὸ ἀγαθόν· ὥσπερ καὶ ὁ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις, ἀντὶ μὲν χρυσίου, χρυσιδάριον· ἀντὶ δ' ἱματίου, ἱματιδάριον· ἀντὶ δὲ λοιδορίας, λοιδορημάτιον, καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον.

CAPUT

CAPUT III.

De quatuor cauſis, ex quibus elocutio redditur frigida.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Elocutio redditur frigida ex immodico, & indecoro uſu nominum compoſitorum.*

2 *Ex nimio uſu nominum priſcorum, ac dialectorum.*

3 *Ex uſu epithetorum aut longorum, aut inopportunorum, aut frequentiorum, quàm par ſit.*

4 *Ex uſu translationum ſi ſint vel indecora, vel obſcura.*

α.* Τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἔν τε τοῖς διπλοῖς ὀνόμασιν· οἷον, Λυκόφρων, τὸν πολυπρόσωπον οὐρανὸν τῆς μεγαλοκορύφου γῆς· καὶ ἀκτὴν δὲ, στενοπόρον· καὶ ὡς Γοργίας ὠνόμαζε, πτωχόμουσος κόλαξ, ἐπιορκήσαντας καὶ κατευορκήσαντας. καὶ ὡς Ἀλκιδάμας, μένους μὲν τὴν ψυχὴν πληρουμένην, πυρίχρων δὲ τὴν ὄψιν γιγνομένην,

1 * QUATUOR autem modis elocutio frigida fit; primo in conjugendis nominibus: ut Lycophron cœlum appellavit multiformem, & terram magnicervicam; & litus anguſtivium, & Gorgias adulatorem vocavit ptochomuſum, dixit etiam ἐπιορκήσαντας, & κατευορκήσαντας, id eſt, pejerantes, & dejerantes. Et quemadmodum Alcidamas, furore quidem animus plenus, ignivoma vero facies erat, 19

& Finiferentem exiſtimavit eorum alacritatem futuram; & Perſuaſionem orationum ſtatuit eſſe finiferentem; & Cærulicolorem maris planiciem: quæ omnia propter duplicationem videntur eſſe poetica. Atque hæc una quidem eſt frigidæ locutionis cauſa.

καὶ τελεσφόρον ᾠήθη τὴν προθυμίαν αὐτῶν γενήσεσθαι· καὶ τελεσφόρον τὴν πειθὼ τῶν λόγων κατέστησε· καὶ κυανόχροων τὸ τῆς θαλάττης ἔδαφος· πάντα γὰρ ταῦτα ποιητικὰ διὰ τὴν δίπλωσιν φαίνεται. μία μὲν οὖν αὕτη αἰτία·

20 2 * Altera verò eſt, cum quis peregrinis vocibus utitur: ut Lycophron Xerſem pelorium hominem appellavit: dixit etiam: Sciron ſinnis homo: & Alcidamas dixit, Athyrma poeſis, & Naturæ ataſtaliam &, Mera animi ira exacutum.

β´. * Μία δὲ τὸ χρῆσθαι γλώτταις· οἷον, Λυκόφρων Ξέρξην πέλωριον ἄνδρα· καὶ Σκίρων, σίννις ἀνήρ· καὶ Ἀλκιδάμας, ἄθυρμα τῇ ποιήσει· καὶ τὴν τῆς φύσεως ἀτασθαλίαν, καὶ ἀκράτῳ τῆς διανοίας ὀργῇ τεθηγμένον.

21 3 * Tertius modus frigidæ locutionis eſt, cum quis epithetis vel longè petitis, vel intempeſtivis, vel crebris utitur: nam in poeſi, lac album dicere conceditur, at verò in ſoluta oratione ſunt indecentia hujuſmodi epitheta. Quędam etiam, ſi quis crebiùs utatur, artem detegunt, planumque faciunt, eam eſſe poeſim, qua quidem uti oportet; quoniam quotidiani ſermonis conſuetudinem immutat.

γ´. * Τρίτον δ᾽ ἐν τοῖς ἐπιθέτοις, τὸ, ἢ μακροῖς, ἢ ἀκαίροις, ἢ πυκνοῖς χρῆσθαι· ἐν μὲν γὰρ ποιήσει πρέπει γάλα λευκὸν εἰπεῖν· ἐν δὲ λόγῳ, τὰ μὲν, ἀπρεπέστερα· τὰ δὲ, ἂν ᾖ κατακορῆ, ἐξελέγχει καὶ ποιεῖ φανερὸν, ὅτι ποίησίς ἐστιν· ἐπεὶ δεῖ γε χρῆσθαι αὐτῇ· ἐξαλλάττει γὰρ τὸ εἰωθὸς,

καὶ

καὶ ξενικὴν ποιεῖ τὴν λέξιν. ἀλλὰ δεῖ στοχάζεσθαι τοῦ μετρίου· ἐπεὶ μεῖζον ποιεῖ κακὸν τοῦ εἰκῆ λέγειν. ἡ μὲν γὰρ, οὐκ ἔχει τὸ εὖ, ἡ δὲ, τὸ κακῶς. διὸ τὰ Ἀλκιδάμαντος ψυχρὰ φαίνεται· οὐ γὰρ ὡς ἡδύσματι χρῆται, ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις. οὕτω πυκνοῖς, καὶ μείζοσι, καὶ ἐπιδήλοις· οἷον, οὐχ ἱδρῶτα, ἀλλὰ τὸν ὑγρὸν ἱδρῶτα· καὶ οὐκ εἰς Ἴσθμια, ἀλλ' εἰς τὴν τῶν ἰσθμίων πανήγυριν· καὶ οὐχὶ νόμους, ἀλλὰ τοὺς τῶν πόλεων βασιλεῖς νόμους· καὶ οὐ δρόμῳ, ἀλλὰ δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ· καὶ οὐχὶ μουσεῖον, ἀλλὰ τὸ τῆς φύσεως παραλαβὼν μουσεῖον· καὶ σκυθρωπὸν τὴν φροντίδα τῆς ψυχῆς· καὶ οὐ χάριτος, ἀλλὰ πανδήμου χάριτος δημιουργὸς, καὶ οἰκονόμος τῆς τῶν ἀκουόντων ἡδονῆς· καὶ οὐ κλάδοις, ἀλλὰ τοῖς τῆς ὕλης κλάδοις ἀπέκρυψε·

& elocutionem peregrinam facit, ſed mediocritate opus eſt: quoniam, ſi modum excedit, majus eſt vitium, quàm ſi quis ex tempore loquatur, nam ſubita dictio virtute caret, nimis autem ornata vitioſa eſt, Quapropter Alcidamantis oratio frigida videtur, qui non tanquam condimentis, ſed tanquam cibis, utitur epithetis, adeò crebra, & majora, quàm deceat, & aperta uſurpat: non enim ſudorem dicit, ſed humidum ſudorem: neque Ad Iſthmia, ſed Ad Iſthimórum celebritatem; neque leges, ſed civitatum reginas leges: neque curſu, ſed animi impetu curſorio, neque muſeum, ſed inquit, Cum naturæ muſeum accepiſſet; & triſtem animi curam; neque gratiæ, ſed Popularis gratiæ fabricator, & diſpenſator voluptatis audientium; neque ramis, ſed ſylvæ ramis occultavit;

neque

neque corpus velavit, ſed corporis pudorem, & cupiditatem animi repræſentatricem: hoc autem, & junctum eſt, & epitheton, quare poema fit: & ita immenſam improbitatis exuperantiam. Itaque cum poetico more loquantur, quia rem indecoram faciunt, & ridiculi, & frigidi fiunt, & propter loquacitatem incidunt in obſcuritatem: quicquid enim inculcatur ei, qui jam rem percipit, ſplendorem adimit, & tenebras of-
22 fundit. *Solent autem homines vulgò junctis uti nominibus, cum alicui rei nomen non eſt impoſitum, & facilis eſt compoſitio, ut χρονοτριβεῖν, quod eſt tempus fruſtà conſumere: ſed ſi hoc frequentiùs fiat, erit omninò poeticum. Quare juncta nomina dithyrambicis poetis ſunt aptiſſima; ſunt enim maximè conſonantia: voces autem externæ poetis heroicis conveniunt: habent enim in ſe granditatem, & majeſtatem;

καὶ οὐ τὸ σῶμα περιήμπισχεν, ἀλλὰ τὴν τοῦ σώματος αἰσχύνην· καὶ ἀντίμιμον τὴν τῆς ψυχῆς ἐπιθυμίαν. τοῦτο δ' ἅμα, καὶ διπλοῦν, καὶ ἐπίθετον. ὥστε ποίημα γίγνεται καὶ οὕτως ἔξεδρον τὴν τῆς μοχθηρίας ὑπερβολήν. Διὸ ποιητικῶς λέγοντες, τῇ ἀπρεπείᾳ τὸ γελοῖον καὶ τὸ ψυχρὸν ἐμποιοῦσι, καὶ τὸ ἀσαφὲς διὰ τὴν ἀδολεσχίαν· ὅταν γὰρ γιγνώσκοντι ἐπεμβάλῃ, διαλύει τὸ σαφὲς τῷ ἐπισκοτεῖν: *Οἱ δ', ἄνθρωποι τοῖς διπλοῖς χρῶνται, ὅταν ἀνώνυμον ᾖ, καὶ ὁ λόγος εὐσύνθετος, οἷον τὸ χρονοτριβεῖν· ἀλλ' ἂν πολὺ, πάντως ποιητικόν. Διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς· οὗτοι γὰρ ψοφώδεις· αἱ δὲ γλῶτται, τοῖς ἐποποιοῖς· σεμνὸν γὰρ, καὶ αὔθαδες;

μετα-

μεταφορὰ δὲ τοῖς ἰαμβείοις· τούτοις γὰρ νῦν χρῶνται, ὥσπερ εἴρηται.

δ΄. * Καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίγνεται· εἰσὶ γὰρ καὶ μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν, διὰ τὸ γελοῖον· χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς· αἱ δὲ, διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν· ἀσαφεῖς δὲ, ἂν πόρρωθεν. οἷον Γοργίας χλωρὰ καὶ ἔναιμα τὰ πράγματα· σὺ δὲ ταῦτα, αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ ἐθέρισας· ποιητικῶς γὰρ ἄγαν. καὶ ὡς Ἀλκιδάμας, τὴν φιλοσοφίαν, ἐπιτείχισμα τῶν νόμων. καὶ τὴν Ὀδύσσειαν, καλὸν ἀνθρωπίνου βίου κάτοπτρον. καὶ οὐδὲν τοιοῦτον ἄθυρμα τῇ ποιήσει προσφέρων· ἅπαντα γὰρ ταῦτα ἀπίθανα διὰ τὰ εἰρημένα. τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα,

at verò tranſlatio jambicis apta eſt, quo metri genere nunc utuntur, ut anteà dictum eſt.

4 * Quartus modus 23
frigidæ locutionis fit in tranſlationibus: ſunt enim etiã indecorę tranſlationes, & hæ quidem propter ridiculum: nam etiam comici poetę tranſlationibus utuntur; illæ verò propter nimiam granditatem tanquam tragicæ ſunt. Quin etiam obſcuræ ſiunt, ſi longè petantur: ut Gorgias, Pallida, atque exanguia negotia. Tu verò hæc turpiter ſeminaſti, malè autem meſſuiſti: nimis enim poeticè dicta hæc ſunt. Et quemadmodum Alcidamas, philoſophiam eſſe legum propugnaculum, & Odyſſeam eſſe pulchrum humanæ vitæ ſpeculum, & nullum hujuſmodi ludicrum poeſi adferens; nam hæc omnia ſunt aliena à fide facienda propter ea, quæ dicta ſunt. Illud verò Gorgiæ contra hirundinem,

quæ

quæ ſupervolans cibi reliquias in eum demiſit, optimè poetæ Tragico conveniret: dixit enim: turpe tibi ò Philomela: nam, avi quidem licet id effecerit, non turpe fuit: virgini verò turpe fuiſſet. Scitè igitur convicium fecit, dicens id, quod fuerat, non autem quod eſt.

ἐπεὶ κατ' αὐτῆς πετομένη ἀφῆκε τὸ περίττωμα, ἄριστα τὴν τραγικήν· εἶπε γὰρ, αἰσχρόν γε ὦ Φιλομήλα. ὄρνιθι μὲν γὰρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν· παρθένῳ δὲ, αἰσχρόν. εὖ οὖν ἐλοιδόρησεν εἰπὼν ὃ ἦν, ἀλλ' οὐχ ὃ ἔστιν.

CAPUT IV.

De ſimilitudine, ſive imagine.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Utiles ſimilitudines, ſeu imagines eſſe in ſoluta oratione non minus, quàm tranſlationes, ſed non eſſe frequenter adhibendas.*

2 *Plura eſſe ſimilitudinum, ſive imaginum exempla.*

3 *Omnes allatas ſimilitudines poſſe etiam afferri, ut tranſlationes.*

24 1 * IMAGO verò etiam ipſa tranſlatio eſt; parum enim ab ea differt; nam, cum poeta de Achille dicit, *Tanquam leo irruebat*, imago eſt, cum autem, Leo irruebat, eſt tranſlatio; quoniam enim ambo fortes ſunt, tranſlato nomine Achillem vocavit Leonem.

ά * ΕΣΤΙ δὲ καὶ ἡ εἰκὼν μεταφορά· διαφέρει γὰρ μικρόν· ὅταν μὲν γὰρ εἴπῃ τὸν Ἀχιλλέα, Ὡς δὲ λέων ἐπόρουσεν· εἰκών ἐστιν· ὅταν δὲ, λέων ἐπόρουσε, μεταφορά· διὰ γὰρ τὸ ἄμφω ἀνδρείους εἶναι, προσηγόρευσε μετενέγκας λέοντα τὸν Ἀχιλλέα·

χρή-

* Χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δὲ, ποιητικὸν γάρ· οἰστέαι δὲ, ὥσπερ αἱ μεταφοραί· μεταφοραὶ γάρ εἰσι διαφέρουσαι τῷ εἰρημένῳ.

β. * Εἰσὶ δ' εἰκόνες· οἷον, ἣν Ἀνδροτίων εἰς Ἰδριέα, ὅτι ὅμοιος τοῖς ἐκ τῶν δεσμῶν κυνιδίοις. ἐκεῖνά τε γὰρ προσπίπτοντα δάκνει. καὶ Ἰδριέα λυθέντα ἐκ τῶν δεσμῶν εἶναι χαλεπόν. καὶ ὡς Θεοδάμας εἴκαζεν Ἀρχίδαμον Εὐξένῳ, γεωμετρεῖν οὐκ ἐπισταμένῳ. καὶ ἐκ τοῦ ἀνάλογον· ἔσται γὰρ καὶ ὁ Εὔξενος Ἀρχίδαμος γεωμετρικός· καὶ τὸ ἐν τῇ πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες, ἐοίκασι τοῖς κυνιδίοις, ἃ τοὺς λίθους δάκνει, τῶν βαλλόντων οὐχ ἁπτόμενα· καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ, ἰσχυρῷ μὲν, ὑποκώφῳ δέ·

* Utilis eſt autem imago 25
etiam in ſoluta oratione; ſed ea raro utendum, quoniam magis poetas decet; uſurpandæ verò ſunt imagines eo modo, quo translationes; nihil enim aliud ſunt, quàm translationes, modo tantùm, quo dixi, differentes.

2 * Sunt autem 26
imagines hujuſmodi, ut Androtion contra Idrieum dixit, eum ſimilem eſſe canibus, qui vincti catenis domi tenentur: nam illi ſoluti poſteà in omnes incurrunt; ſic Idrieum vinculis ſolutum, factum eſſe acriorem. Et Theodamas Archidamum dicebat Euxeno geometria privato eſſe ſimilem: hac igitur proportione etiam Euxenus erit ſimilis Archidamo, geometria aucto; & id, quod eſt in Platonis Politia; eos, qui mortuorum corpora ſpoliant, catellis eſſe ſimiles, qui lapides quidem mordent, ſed eos, qui jecerunt, non attingunt; &, quod de populo dixit; eum eſſe ſimilem nauclero valido quidẽ, ſed ſurdaſtro:

&,

&, quod de poetarum verſibus, quos adoleſcentibus nulla pulchritudine præditis, dixit, eſſe ſimiles; nam illi quidem cum defloruerint, hi verò ſi diſſolvantur, nequaquam ſimiles eſſe videntur: &, quod Pericles de Samiis dixit, eos ſimiles infantibus eſſe, quòd cibum quidem capiunt, ſed tamen plorant: & de Bœotiis, quòd ſimiles ſint ilicibus, quæ ſe viciſſim frangunt, ita Bœotios inter ſe præliari: & Demoſthenes dixit, populum eſſe iis ſimilem, qui in navi nauſeant: & Democrates nutricibus oratores comparabat, quæ cibos ipſæ devorant, ſaliva verò pueros inungunt: &, Antiſthenes Cephiſodotum, tenuem, ac gracilem hominem, thuri dixit eſſe ſimilem, quòd cum abſumitur, lætitiam adfert.

27 3 * Has enim omnes, & tanquam imagines, & tanquam tranſlationes proferre licet.

καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις. οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ διαλυθέντα, οὐχ ὅμοια φαίνεται. Καὶ ἡ Περικλέους εἰς Σαμίους ἐοικέναι αὐτοὺς τοῖς παιδίοις, ἃ τὸν ψωμὸν δέχεται μὲν, κλαίοντα δέ. καὶ εἰς Βοιωτοὺς, ὅτι ὅμοιοι τοῖς πρίνοις· τούς τε γὰρ πρίνους ὑφ' αὑτῶν κατακόπτεσθαι, καὶ τοὺς Βοιωτοὺς πρὸς ἀλλήλους μαχομένους. καὶ ὁ Δημοσθένης τὸν δῆμον, ὅτι ὅμοιός ἐστι τοῖς ἐν τοῖς πλοίοις ναυτιῶσι· καὶ ὡς ὁ Δημοκράτης εἴκασε τοὺς ῥήτορας ταῖς τίτθαις, αἳ τὸ ψώμισμα καταπίνουσαι, τῷ σιάλῳ τὰ παιδία παραλείφουσι· καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει.

γ´. * Πάσας γὰρ ταύτας καὶ ὡς εἰκόνας, καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν· ὥστε

ὥστε ὅσαι ἂν εὐδοκιμῶσιν, ὡς μεταφοραὶ λεχθεῖσαι, δῆλον ὅτι αὗται καὶ εἰκόνες ἔσονται, καὶ αἱ εἰκόνες μεταφοραὶ λόγου δεόμεναι. ἀεὶ δὲ δεῖ τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι, καὶ ἐπὶ θάτερα, καὶ ἐπὶ τῶν ὁμογενῶν· οἷον, εἰ ἡ φιάλη ἀσπὶς Διονύσου, καὶ τὴν ἀσπίδα ἁρμόττειν λέγεσθαι φιάλην Ἄρεως. ὁ μὲν οὖν λόγος, συντίθεται ἐκ τούτων.

Quare quæcunque probantur, cum tanquam translationes prolatæ fuerint, perſpicuum eſt etiam imagines eſſe poſſe: nam imagines nihil aliud ſunt, quàm translationes, quæ orationis conformatione indigeant: verùm ſemper oportet eam translationem, quæ à proportione ducitur, ab utraque parte ſibi reſpondere, atque in rebus ejuſdem generis fieri: ut, ſi phiala clypeus Bacchi dicitur, etiam clypeus rectè Martis phiala vocabitur. Ac oratio quidem, ex iis, quæ dicta ſunt, componitur.

CAPUT

CAPUT V.

De prima virtute elocutionis, quę eſt, ut ſit emendata, & de requiſitis ad elocutionem.

DIVISIO CAPITIS IN PARTES QUINQUE.

1 *Ut conjunctiones rectè, & ſuo loco diſponantur.*
2 *Ut propriis nominibus, non circumſcriptione utamur.*
3 *Ut non utamur vocibus ambiguis.*
4 *Ut genera ſibi rectè concordent.*
5 *Ut verba ſecundum numerum, vel ſingularem, vel dualem, vel pluralem eluceſcant, & demum in quaque re perſpicuitas ſibi rectè reſpondeat.*

28 1 * INITIUM autem, & fundamentum elocutionis, eſt emendatè loqui, quod ex quinque præcipuè rebus conſtat. Prima cura eſt in conjunctionibus, ut quis eas, ſicuti natura poſtulat, vel antè, vel poſt in ordine collocet; ut inter ſe reſpondeant: ut, Ille quidem, & Ego quidem; Poſtulat verò, & ille verò; ſed eas oportet ita inter ſe reſpondere, ut facilè memoria comprehendi poſſint: quod fiet, ſi non nimis longo intervallo disjunctæ fuerint.

α. * ΕΣΤΙ δ' ἀρχὴ τῆς λέξεως, τὸ Ἑλληνίζειν. τοῦτο δ' ἐστὶν ἐν πέντε. πρῶτον μὲν, ἐν τοῖς συνδέσμοις, ἂν ἀποδιδῷ τις, ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων, οἷον ἔνιοι ἀπαιτοῦσιν· ὥσπερ ὁ μὲν, καὶ ὁ ἐγὼ μὲν, ἀπαιτεῖ τὸ δὲ, καὶ τὸν ὁ δέ. δεῖ δὲ ἕως μέμνηται, ἀνταποδιδόναι ἀλλήλοις· καὶ μήτε μακρὰν ἀπαρτᾶν.

μήτε

μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου· ὀλιγαχοῦ γὰρ ἁρμόττει· ἐγὼ δ' ἐπεί μοι εἶπεν, ἦλθε γὰρ Κλέων δεόμενός τε καὶ ἀξιῶν, ἐπορευόμην παραλαβὼν αὐτούς· ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου, προεμβέβληνται σύνδεσμοι. ἂν δὲ πολὺ τὸ μεταξὺ γένηται τοῦ ἐπορευόμην, ἀσαφές· ἓν μὲν δή, τὸ ἐν τοῖς συνδέσμοις.

β'. * Δεύτερον δέ, τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν, καὶ μὴ τοῖς περιέχουσι.

γ'. * Τρίτον, μὴ ἀμφιβόλοις· ταῦτα δέ, ἂν μὴ τὰ ἐναντία προαιρῆται· ὅπερ ποιοῦσιν, ὅταν μηθὲν μὲν ἔχωσι λέγειν, προσποιῶνται δέ τι λέγειν· οἱ γὰρ τοιοῦτοι ἐν ποιήσει λέγουσι ταῦτα. οἷον Ἐμπεδοκλῆς·

Neque opus eſt conjunctionem ullam aliam ante conjunctionem neceſſariam collocare; nam hoc paucis in locis convenit: ut, Ego verò, poſtquam mihi rem narravit, venit enim ad me Cleon rogans, atque obſecrans: profectus ſum, eis in ſocietatem aſſumptis: nam in his verbis multæ conjunctiones interpoſitæ ſunt, antequam neceſſaria conjunctio reddatur: &, ſi magnum intervallum eſſet inter initium, & illud verbum profectus ſum, eſſe obſcura locutio. Atque hic quidem unus eſt emendatè loquendi modus in conjunctionibus.

2 * Alter modus eſt, cum 29
propriis, ac ſuis nominibus res appellantur, non autem circumſcribuntur.

3 * Tertius, cum ambi- 30
gua vitantur; Hæc vitanda ſunt, niſi quis contraria pro ſe facere exiſtimet: hoc autem faciunt ii, qui cum nihil habent, quod dicant, aliquid tamen dicere videri volunt: hujuſmodi enim homines poetico more talia proferunt, quod etiam Empedocles facit: nam

nam circuitus ille verborum, cum longus ſit, facilè decipit, & auditores ità afficiuntur, ſicut imperita multitudo cum ariolos audit ambigua loquentes; temerè enim aſſentitur: ut,

Crœſus Halym penetrans magnam pervertet opum vim.

nam arioli de omni negotio generatim loquuntur; ſic enim omninò minus peccatur: qui enim par impar ludit, multò faciliùs poteſt, ſi vel paria, vel imparia eſſe dixerit, quàm ſi certum numerum explicare voluerit: ita, qui dicit aliquid futurum, faciliùs divinabit, quàm qui explicuerit, quando ſit futurum: quo fit, ut vates non adjungant, quando. Hæc enim omnia ſimilia ſunt, quare, niſi fiant alicujus rei gratia, ſunt fugienda.

3 4 * Quartus modus eſt, cum genera diſtinguuntur, quod Protagoras fecit, qui dixit, alia nomina eſſe virilia, alia muliebria, alia neutra,

φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀκροαταὶ, ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν· ὅταν γὰρ λέγωσιν ἀμφίβολα, συμπαρανεῦσι.

Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει.

καὶ διὰ τὸ ὅλως ἔλαττον εἶναι ἁμάρτημα, διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις· τύχοι γὰρ ἄν τις ἐν τοῖς ἀρτιασμοῖς, ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον, ἢ πόσα ἔχει, καὶ τὸ ὅτι ἔσται, ἢ τὸ πότε. διὸ οἱ χρησμολόγοι οὐ προσορίζονται πότε. ἅπαντα δὴ ταῦτα ὅμοια. ὥστ' ἂν μὴ τοιούτου τινὸς ἕνεκα, φευκτέον.

γ΄. * Τέταρτον, ὡς Πρωταγόρας, τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα, καὶ θήλεα, καὶ σκεύη· δεῖ

δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα ὀρθῶς· ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα, ᾤχετο.

ε΄. * Πέμπτον, ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα, καὶ ἓν ὀρθῶς ὀνομάζειν. οἱ δ' ἐλθόντες, ἔτυπτόν με. * Ὅλως δὲ δεῖ εὐανάγνωσον εἶναι τὸ γεγραμμένον, καὶ εὔφρασον. ἔσι δὲ τὸ αὐτὸ, ὅπερ οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν· οὐδ' ἃ μὴ ῥᾴδιον διασίξαι, ὥσπερ τὰ Ἡρακλείτου· τὰ γὰρ Ἡρακλείτου διασίξαι, ἔργον, διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον, ἢ τῷ πρότερον· οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος· φησὶ γὰρ, τοῦ λόγου τοῦ ὄντος αἰεὶ ἀξιώετοι ἄνθρωποι γίγνονται. ἄδηλον γὰρ τὸ αἰεὶ, πρὸς ὁποτέρῳ διασίξαι. ἔτι τόδε ποιεῖ σολοικίζειν, τὸ μὴ ἀποδιδόναι,

Hæc enim etiam accuratè ſervanda ſunt: ut, Illa autem reverſa, & collocuta diſceſſit.

5 * Quintus modus eſt, 32
cum res multas, & paucas, & ſingulas rectè quis appellat; ut. Hi, cum acceſſiſſent, me percuſſerunt. * Omninò verò 33
quod ſcribitur hujuſmodi eſſe debet, ut & legi, & proferri facilè poſſit: quod eodem modo fit. Hoc autem non habet ea locutio, in qua multæ ſunt conjunctiones: &, quæ non facilè diſtingui, atque interpungi poteſt, qualia ſunt Heracliti ſcripta: magna enim difficultas eſt, ſcripta Heracliti notis, atque interpunctionibus diſtinguere: quia dubium eſt, cuinam parti verba hæreant, poſteriori ne, an priori; quod ex hujus operis initio intelligi poteſt, ubi ita inquit: Rationis ejus, quæ verè eſt, ſemper, imperiti ſunt homines; incertum eſt enim, utri parti illud adverbium, ſemper, ſit applicandum. * Præterea fit ſolœciſmus, 34
cum non redditur unicuique verbo, quod exigit,

niſi fortè inter ſe conjungantur eo verbo, quod utrique convenit: ut, Strepitũ, & colorem non benè dixeris, videns, quia non eſt cõmune: ſed, ſentiens, quod
35 eſt commune. * Fiet etiam obſcura locutio, niſi initio poſueris id, quod multis interpoſitis poſteà dicendum eſt, ut Paraveram, poſtquam cum eo collocutus fuiſſem hæc, & hæc, & hoc modo diſcedere, rectiùs ergo dixeris, Paraveram diſcedere, poſtquam collocutus cum eo fuiſſem hæc, & hæc, & hoc modo.

ἐὰν μὴ ἐπιζευγνύῃς ἀμφοῖν ὃ ἁρμόττει· οἷον ἢ ψόφον, ἢ χρῶμα, τὸ μὲν ἰδών, οὐ κοινόν· τὸ δ᾽ αἰσθόμενος κοινόν. *Ἀσαφῆ δέ, ἂν μὴ προθεὶς εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν. οἷον, ἔμελλον γὰρ διαλεχθεὶς ἐκείνῳ τάδε, καὶ τάδε, καὶ ὧδε, πορεύεσθαι, ἀλλὰ μὴ ἔμελλον γὰρ διαλεχθεὶς πορεύεσθαι, εἶτα τάδε, καὶ τάδε, καὶ ὧδε ἐγένετο.

CAPUT VI.

De ſecunda virtute elocutionis, quæ eſt, ut ſit grandis, ac magnifica.

DIVISIO CAPITIS IN PARTES SEX.

1 *Ad elocutionem grandem, ac magnificam reddendam loco nominis definitione utendum eſt.*
2 *Afferenda ſunt ea, quæ ſunt nitidiora.*
3 *Uſurpanda translationes, & epitheta.*
4 *Utendum eſt loco numeri ſingularis, plurali numero.*
5 *Sejugenda ſunt, quæ poſſunt conjungi.*
6 *Utendum eſt amplificatione explicando ea, quæ res non habet.*

36 1 * AD elocutionis autem amplitudinem, & granditatem hæc proderunt:

α. * ΕἸΣ ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε, τὸ

τὸ λόγῳ χρῆσθαι ἀντ' ὀνόματος· οἷον, μὴ κύκλον, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον. εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα.

β'. * Καὶ ἐὰν αἰσχρὸν, ἢ ἀπρεπές. ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ αἰσχρὸν, τοὔνομα λέγειν· ἐὰν δὲ ἐν τῷ ὀνόματι, τὸν λόγον.

γ'. * Καὶ μεταφοραῖς δηλοῦν, καὶ τοῖς ἐπιθέτοις· εὐλαβούμενον τὸ ποιητικόν.

δ'. * Καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν· ἑνὸς ὄντος λιμένος, ὅμως λέγουσι,

Λιμένας εἰς Ἀχαϊκοὺς·

καὶ,

Δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαί.

ε'. * Καὶ μὴ ἐπιζευγνύναι, ἀλλ' ἑκατέρῳ ἑκάτερον, Τῆς γυναικὸς τῆς ἡμετέρας.

primùm, ſi definitionem loco nominis ponas, exempli gratia, ſi non circulum dicas, ſed figuram planam, cujus extremitas paribus à medio radiis attingitur: qui verò brevitati ſtudet, is contrà nomen loco definitionis ponat.

2 * Quod ſi quid acciderit obſcœnum, aut parum decorum, id ſi erit in definitione, nomen uſurpabimus: ſi autem in nomine, definitionem. 37

3 * Erit etiam grandis oratio, quæ translationibus, & epithetis illuſtrabitur; modò ne in poeticam licentiam exeat. 38

4 * Et, ſi ex uno plura fiant, quod poetæ ſæpè faciunt; ut, quamvis unus tantùm portus ſit; tamen dicunt, 39

Intra portus Achaico

& illud:

Luctu ſcatentes, has tibi do epiſtolas.

5 * Et, ſi nomina non conjungantur, ſed ſeparatim ſingula proferantur; ut *Ejus mulieris, quæ noſtra eſt;* 40

& contrà breviter hoc modo.

Noſtræ mulieris,

&, ſi in dicendo copulæ adjungantur; nam contrà breviùs dicitur detracta copula, modò ne diſſoluta ſit oratio, ut,

Eo profectus ſum, ac diſſerui,

& : *Eo profectus diſſerui*.

6 * Atque etiam illa
41 Antimachi ratio utilis eſt: nempe ea commemorare, quæ rei non adſunt; quod ille facit in celebrando colle Teumeſſo;

Eſt quidam modicus collis, vento perflatus;

nam hoc modo infinitè poteſt oratio amplificari. Quæ ratio in utranque partem utilis eſt, hoc eſt, & in bonis, & in malis, quæ non adſunt, commemorandis. Unde etiam poetæ nomina confixerunt, ut achordon, & alyron, hoc eſt expertem cordæ, & expertem lyræ, quas appellationes à privatione ſumpſerunt, quæ res in eis potiſſimùm translationibus nomen habet, quæ ex proportione ducuntur; ut, ſi quis diceret, tubæ ſonitum eſſe cantum alyrum.

ἐὰν δὲ συντόμως, τὸ ἐναντίον, Τῆς ἡμετέρας γυναικός, καὶ μετὰ συνδέσμου λέγειν· ἐὰν δὲ συντόμως, ἄνευ τοῦ συνδέσμου, μὴ ἀσύνδετα δέ· οἷον Πορευθεὶς καὶ διαλεχθείς, Πορευθεὶς διελέχθην.

ϛʹ. * Καὶ τὸ Ἀντιμάχου χρήσιμον, ἐξ ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ Τευμησσοῦ,

Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος,

αὔξεται γὰρ οὕτως εἰς ἄπειρον. ἔστι δὲ τοῦτο καὶ ἐπὶ ἀγαθῶν, καὶ κακῶν, ὅπως οὐκ ἔχει, ὁποτέρως ἂν ᾖ χρήσιμον. ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσι, τὸ ἄχορδον, καὶ τὸ ἄλυρον μέλος· ἐκ τῶν στερήσεων γὰρ ἐπιφέρουσιν. εὐδοκιμεῖ γὰρ τοῦτο ἐν ταῖς μεταφοραῖς λεγόμενον, ταῖς ἀνάλογον· οἷον, τὸ φάναι τὴν σάλπιγγα εἶναι μέλος ἄλυρον.

CA-

CAPUT VII.

De tertia virtute elocutionis, quæ eſt, ut ſit decora.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *De rebus grandibus, ac magnificis nihil humiliter, ac demiſsè: De rebus humilibus, atque tenuibus nihil amplè, ac magnificè dicendum eſt.*

2 *In oratione exprimendi ſunt affectus, qui locum habent.*

3 *Oratio unicuique generi hominum, & habitui accommodanda.*

4 *Quo commodiùs oratio ejuſmodi fiat, quatuor præcepta tenenda ſunt.*

ζ.* ΤΟ᾽ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ ἠθικὴ, καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον. τὸ δ᾽ ἀνάλογόν ἐστιν, ἐὰν μήτε περὶ εὐόγκων, αὐτοκιβδήλως λέγηται· μήτε περὶ εὐτελῶν, σεμνῶς, μήτ᾽ ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος· εἰ δὲ μὴ, κωμῳδία φαίνεται· οἷον ποιεῖ Κλεοφῶν· ὁμοίως γὰρ ἔνια ἔλεγε, καὶ εἰ εἴποιεν ἂν, πότνια συκῆ.

1* DECORUM autem illa ſervabit oratio, quæ motus animi miſcebit. & quæ mores exprimet, & quæ ſubjectis rebus conveniet. 42
* Erit autem rebus conveniens, ſi neque de rebus ampliſſimis tenuiter, & ſummiſsè, neque de tenuibus rebus graviter, & amplè quis dixerit. Sed neque abjecto nomini ornatus eſt adhibendus, alioqui comœdia videbitur. Quod crebrò facit Cleophon, alia enim quædam profert, ac ſi diceret, Venerandam ficum. 43

44 2 * Motum animi miſcebit oratio irarum plena, cum de aliqua contumelia agetur. Quod, ſi impia, & turpia facta, tractanda ſunt, id cum indignatione, cautèque, & quaſi timidè faciendum; ſi verò laudibilia, cum animi voluptate; ſi miſerabilia, demiſsè, atque humiliter, & in cæteris eodem modo. Locutio enim rebus accommodata ad perſuadendum plurimum valet: nam animus auditoris in errorem trahitur, qui ea verè dici putat: quoniam in ejuſmodi rebus ita ſe homines habent. Quare, licet ita ſe res non habeat,ut orator dicit, tamen ita ſe habere putant. Atque auditor ſemper eodem modo afficitur, quo orator;etiam ſi non verè dicat; qua de cauſa multi oratores ita vehementer commovent auditores, ut eos quaſi attonitos reddãt.

45 3 * Quin hæc à ſignis ducta demonſtratio benè morata eſt: quoniam ſingula hominum genera, ſingulosque habitus ſua quædam, propiaque conſequitur oratio.

β΄. * Παθητικὴ δὲ, ἐὰν μὲν ᾖ ὕβρις ὀργιζομένου ἡ λέξις· ἐὰν δὲ ἀσεβῆ καὶ αἰσχρὰ, δυσχεραινόντως καὶ εὐλαβουμένως λέγειν· ἐὰν δὲ ἐπαινετὰ, ἀγαμένως· ἐὰν δὲ ἐλεεινὰ, ταπεινῶς. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως. πιθανοῖ δὲ τὸ πρᾶγμα, καὶ ἡ οἰκεία λέξις. παραλογίζεται γὰρ ἡ ψυχὴ ὡς ἀληθῶς λέγοντος. ὅτι ἐπὶ τοῖς τοιούτοις οὕτως ἔχουσιν. ὥστ᾽ οἴονται, εἰ καὶ μὴ οὕτως ἔχει, ὡς ὁ λέγων τὰ πράγματα οὕτως ἔχειν· καὶ συνομοιοπαθεῖ ὁ ἀκούων ἀεὶ τῷ παθητικῶς λέγοντι, κἂν μηθὲν λέγῃ. διὸ πολλοὶ καταπλήττουσι τοὺς ἀκροατὰς θορυβοῦντες.

γ΄. * Καὶ ἠθικὴ δὲ αὕτη ἡ ἐκ τῶν σημείων δεῖξις, ὅτι ἀκολουθεῖ ἡ ἁρμόττουσα ἑκάστῳ γένει καὶ ἕξει.

λέγω

λέγω δὲ, γένος μὲν, καθ' ἡλικίαν· οἷον παῖς, ἢ ἀνὴρ, ἢ γέρων· καὶ γυνὴ, καὶ ἀνήρ. καὶ Λάκων, ἢ Θετταλός· ἕξεις δὲ, καθ' ἃς ποιός τις τῷ βίῳ. οὐ γὰρ καθ' ἅπασαν ἕξιν οἱ βίοι ποιοί τινες· ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος· οὐ γὰρ ταὐτὰ, οὐδ' ὡσαύτως ἀγροῖκος ἂν καὶ πεπαιδευμένος εἴπειεν.

δ'. * Πάσχουσι δέ τι οἱ ἀκροαταὶ, καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι· τίς δ' οὐκ οἶδεν; ἅπαντες ἴσασιν· ὁμολογεῖ γὰρ ὁ ἀκούων αἰσχυνόμενος, ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες. τὸ δ' εὐκαίρως, ἢ μὴ εὐκαίρως χρῆσθαι, κοινὸν ἁπάντων τῶν εἰδῶν ἐστιν. ἄκος δ' ἐπὶ πάσῃ ὑπερβολῇ, τὸ θρυλλούμενον· δεῖ γὰρ αὐτὸν αὑτῷ προσεπιπλήττειν· δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ οὐ λανθάνει γε ὃ ποιεῖ τὸν λέγοντα·

Genera autem intelligo ſingulas ætates, ut puer, vir, ſenex, & mulier, & vir, & Lacon, vel Theſſalus. Habitus verò intelligo, quibus vita hominum informatur; non enim quolibet habitu vita variatur. Qui igitur habitui nomina accommodabit, mores etiam affinget orationi: neque enim eadem, aut eodem modo impolitus, atque agreſtis homo diceret, quæ politus, & bonis artibus excultus.

4 * Afficiuntur etiam auditores ea ratione, qua ad ſatietatem uſque utuntur ii, qui orationes ſcribunt. Quis autem neſcit? Omnes inielligunt: aſſentitur enim auditor, veritus, ne quod cæteri omnes intelligunt, ipſe ſolus ignoret. Hac autem ratione & tempeſtivè, & intempeſtivè uti licet: ſicut etiam reliquis præceptorum generibus: ſed omnis exuperantiæ remedium eſt id, quod vulgò dicitur. Oportet ipſum ſe ſua voce corrigere: tunc enim verum videtur, quoniam ipſum oratorem non latet id, quod facit. 46

Neque ſervanda ſemper eſt proportio, ut omnia conſentanea videantur, ſic enim fallitur auditor. Dico autem, ut, ſi nomina dura fuerint: non ſemper etiam dura voce, & vultu, & reliquis, quæ conſentanea ſunt, utatur is. quis dicit: alioquin aperta fient omnia, neque quicquam latere poterit.

47 * Si verò aliquid ſervatum fuerit, aliquid non: tegetur artificium, cum tamen idem faciat: veruntamen ſi mollia duriter, aut ſi dura molliter proferantur, fide prorſùs carebit oratio.

48 * Qui autem commovere animos velit, ei maximè convenient epitheta, juncta nomina, & peregrina. Ignoſcitur enim irato, ſi dixerit, ſe paſſum eſſe malum uſque ad cœlum extenſum, aut admodum vaſtum.

49 * Et quando jam orator auditores obſederit, atque extra ſe rapuerit, vel laude, vel vituperatione, vel ira, vel amicitia, ut etiam Iſocrates facit in Panegyrico in extrema parte cum ait.

ἔτι τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα χρήσασθαι· οὕτω γὰρ κλέπτεται ὁ ἀκροατής. λέγω δὲ, οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ προσώπῳ, καὶ τοῖς ἁρμόττουσιν· εἰ δὲ μὴ, φανερὸν γίγνεται ἕκαστον ὅ ἐστιν. * Ἐὰν δὲ, τόδε μὲν, τόδε δὲ μὴ λανθάνῃ ποιῶν τὸ αὐτό. ἐὰν οὖν τὰ μαλακὰ σκληρῶς, καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, ἀπίθανον γίγνεται. * Τὰ δὲ ὀνόματα τὰ ἐπίθετα καὶ διπλᾶ, πλείω, καὶ τὰ ξένα μάλιστα, ἁρμόττει λέγοντι παθητικῶς· συγγνώμη γὰρ ὀργιζομένῳ κακὸν φάναι οὐρανόμηκες ἢ πελώριον εἰπεῖν. * Καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς, καὶ ποιήσῃ ἐνθουσιάσαι, ἢ ἐπαίνοις, ἢ ψόγοις, ἢ ὀργῇ, ἢ φιλίᾳ, οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ πανηγυρικῷ ἐπὶ τέλει,

Φήμην

Φήμην δὲ καὶ μνήμην· καὶ, Οἵτινες ἔτλησαν. φθέγγονταί τε γὰρ τὰ τοιαῦτα ἐνθουσιάζοντες, ὥστε καὶ ἀποδέχονται, δηλονότι ὁμοίως ἔχοντες. διὸ καὶ τῇ ποιήσει ἥρμοσεν· ἔνθεον γὰρ ἡ ποίησις. ἢ δὴ οὕτω δεῖ, ἢ μετ' εἰρωνείας, ὥσπερ Γοργίας ἐποίει, καὶ τὰ ἐν τῷ Φαίδρῳ.

Famam autem, & memoriam, & illud. *Qui quidem tolerarunt*. Nam, extra ſe rapti oratores hujuſmodi verba fundunt. Quæ qui audiunt, eodem pacto affecti recipiunt, atque approbant; quare etiam poeſi conveniunt, cum poeſis res quædam divina ſit. Vel igitur hoc modo, vel cum ironia licet hujuſmodi verba uſurpare: ſicut Gorgias faciebat, & in Phædro Socrates.

CAPUT VIII.

De quarta virtute elocutionis, quæ eſt, ut ſit numeroſa.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Orationem neque debere eſſe devinctam metris, nec debere eſſe expertem numeri.*

2 *Ille numerus potiſſimùm congruit ſolutæ orationi, qui conſtat ex pæane.*

3 *Principio orationis competit numerus, qui conſtat ex pæane, in quo prima ſyllaba eſt longa, reliquæ tres ſunt breves: fini competit numerus, qui conſtat ex pæane, in quo tres primæ ſyllabæ ſunt breves, ultima eſt longa.*

α΄.* ΤΟ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι, μήτε ἄῤῥυθμον·

1.* AT verò forma orationis, neque verſibus conſtare, neque numerorum prorſùs expers eſſe debet: 50

illud enim orationi fidem adimit, quoniam artificioſè ficta eſſe videtur, & ſimul auditorem avertit à cauſa, facitque, ut attendat, & expectet, quando ſimile aliquid ad aures accedat.
31 * Sicuti pueri ſolent præconem præoccupare, quem ſibi patronum adoptet is, qui manumittitur, ut Cleonem, hoc autem genus orationis, quod eſt numerorum expers, fine caret, neque conſiſtit. Oportet autem aliqua terminatione concludi, non tamen metrica; nam inſuave eſt, & obſcurum, quod non terminatur: omnia verò numero finiuntur. Sed is numerus, qui in orationis forma ſpectatur, rythmus eſt; cujus etiam metra partes ſunt. Quo fit, ut oratio rhythmum quidem habere debeat, non autem verſum, alioquin eſſet poema: neque tamen exquiſitè rhythmum ſervare oportet, ſed quadamtenus.

32 2 * Ex numeris autem oratoriis herous grandis eſt, & elegans, & indigens harmoniæ; jambus autem ipſa eſt imperitorum oratio;

τὸ μὲν γὰρ, ἀπίθανον. πεπλάσθαι γὰρ δοκεῖ, καὶ ἅμα καὶ ἐξίστησι· προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ, πότε πάλιν ἥξει. * Ὥσπερ οὖν τῶν κηρύκων προλαμβάνουσι τὰ παιδία, τὸ, τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀπελευθερούμενος, Κλέωνα. τὸ δὲ ἄρρυθμον, ἀπέραντον. δεῖ δὲ πεπεράνθαι μὲν, μὴ μέτρῳ δέ· ἀηδὲς γὰρ καὶ ἄγνωστον τὸ ἄπειρον. περαίνεται δὲ ἀριθμῷ πάντα· ὁ δὲ τοῦ σχήματος τῆς λέξεως ἀριθμὸς, ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα τμητά. διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή. ποίημα γὰρ ἔσται. ῥυθμὸν δὲ μὴ ἀκριβῶς. τοῦτο δὲ ἔσται, ἐὰν μέχρι του ᾖ.

β. * Τῶν δὲ ῥυθμῶν, ὁ μὲν, ἡρῷος, σεμνὸς καὶ λεκτικὸς, καὶ ἁρμονίας δεόμενος. ὁ δ' ἴαμβος, αὐτή ἐστιν ἡ λέξις ἡ τῶν πολλῶν· διὸ

διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες. δεῖ δὲ σεμνότητα γενέσθαι καὶ ἐκστῆσαι. ὁ δὲ τροχαῖος, κορδακικώτερος· δηλοῖ δὲ τὰ τετράμετρα· ἔστι γὰρ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα. *Λείπεται δὲ παιὰν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι· οὐκ εἶχον δὲ λέγειν, τίς ἦν. ἔστι δὲ τρίτος ὁ παιὰν, καὶ ἐχόμενος τῶν εἰρημένων· τρία γὰρ πρὸς δύο ἐστίν. ἐκείνων δὲ, ὁ μὲν, ἓν πρὸς ἕν· ὁ δὲ, δύο πρὸς ἕν. ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιόλιος· οὗτος δ' ἐστὶν ὁ παιάν. οἱ μὲν οὖν ἄλλοι διά γε τὰ εἰρημένα, ἀφετέοι, καὶ διότι μετρικοί· ὁ δὲ παιὰν, ληπτέος· ἀπὸ μόνου γὰρ οὐκ ἔστι μέτρον τῶν ῥηθέντων ῥυθμῶν· ὥστε μάλιστα λανθάνειν.

γ'. * Νῦν μὲν οὖν χρῶνται τῷ ἑνὶ παιᾶνι.

ideo ex omni genere carminum, in jambica maximè loquentes incidunt: oportet autem in dicendo effici gravitatem, & in admirationem inducere. At verò trochæus cordaci aptior eſt; quod apertè tetrametra declarant, in quibus numerus incitatus eſt, & lubricus. * Reliquus eſt 53
pæan, quo quidem uſi ſunt ii, qui a Thraſymacho profecti ſunt; ſed tamen ejus naturam non intellìgebant. Eſt autem tertius pæan, atque inter illos medius, quos diximus: eſt enim, ut tria, ſi ad duo conferantur: ex illis verò alter eſt, ut unum ad unum. Alter autem, ut duo ad unum. Harum autem proportionum ſeſquialtera media eſt: atque hic pæan. Reliqui igitur, propter jam prædictas cauſas relinquendi ſunt, & præterea, quia ſunt apti verſibus, pæan autem admittendus, nam ex hoc uno prædictorum omnium numerorum, verſus nullo modo conficitur; Quare maximè latet.

3 * Nunc igitur uno 54
tantùm pæane utuntur.

atque in orationis principio; ſed à principio finem differre oportet. Duę verò ſunt pæanis ſpecies inter ſe contrariæ, quarum altera principio convenit, ſicuti etiam utuntur: atque is eſt pæan ‿‿‿, cujus prima ſyllaba longa eſt, tres verò poſtremæ breves ſunt; ut.

Delogena, ſive Lyciã, & auricõe ò Hecate nate Jovis:

alter autem contrà, cujus tres primæ breves ſunt, poſtrema longa, ut,

Humum & aquam, inde Thetidem occuluit horrifera nox.

atque hic benè concludit; brevis enim ſyllaba, quoniam eſt imperfecta, mutilatam, ac mancam efficit orationem. Itaque ſententiam oportet longa ſyllaba terminari; atque ipſum finem notum eſſe, non ſcriptoris opera, neque propter aliquam appoſitam notam, ſed propter numerum. Jam igitur declaratum eſt, numeroſam eſſe oportere orationem, non autem extra numerum; & qui numeri talem eam faciant, quoque modò ſint in ea collocandi.

καὶ ἀρχόμενοι. δεῖ δὲ διαφέρειν τὴν τελευτὴν τῆς ἀρχῆς. ἔστι δὲ παιᾶνος δύο εἴδη ἀντικείμενα ἀλλήλοις· ὧν, τὸ μὲν ἓν, ἀρχῇ ἁρμόττει, ὥσπερ καὶ χρῶνται· οὗτος δ' ἐστὶν, οὗ ἄρχει μὲν ἡ μακρὰ, τελευτῶσι δὲ τρεῖς βραχεῖαι. Δαλογενὲς, εἴτε Λυκίαν· καὶ, Χρυσεοκόμα Ἕκατε παῖ Διός· ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσι τρεῖς· ἡ δὲ μακρὰ τελευταία. Μετὰ δὲ γᾶν ὕδατά τ' ὠκεανὸν ἠφάνισε νύξ. οὗτος δὲ τελευτὴν ποιεῖ· ἡ γὰρ βραχεῖα διὰ τὸ ἀτελὴς εἶναι, ποιεῖ κολοβόν. ἀλλὰ δεῖ τῇ μακρᾷ ἀποκόπτεσθαι, καὶ δήλην εἶναι τὴν τελευτὴν, μὴ διὰ τὸν γραφέα, μηδὲ διὰ τὴν παραγραφὴν, ἀλλὰ διὰ τὸν ῥυθμόν. ὅτι μὲν οὖν εὔρυθμον δεῖ εἶναι τὴν λέξιν, καὶ μὴ ἄρρυθμον· καὶ τίνες εὔρυθμον ποιοῦσι ῥυθμοὶ, καὶ πῶς ἔχοντες, εἴρηται.

CA-

CAPUT IX.

De quinta virtute elocutionis, quæ eſt, ut ſit periodica.

DIVISIO CAPITIS IN PARTES TRES.

1. *Quia oratio eſt vel pendens, ſeu tracta, vel periodica, definitur quid ſit elocutio tracta, ac pendens, & quæ ſit oratio periodica, vel ambitu comprehenſa.*
2. *Periodus dividitur in periodum ſimplicem, & in periodum conſtantem ex pluribus membris.*
3. *Periodus ex pluribus membris ſubdividitur in periodum diſtinctam, & in periodum oppoſitam.*

α.* ΤΗΝ μὲν λέξιν ἀνάγκη εἶναι εἰρομένην, καὶ τῷ συνδέσμῳ μίαν, ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀναβολαί· ἢ κατεστραμμένην καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιητῶν ἀντιστρόφοις. ἡ μὲν οὖν εἰρομένη λέξις, ἡ ἀρχαία ἐστίν· Ἡροδότου Θουρίου ἥδ' ἱστορίας ἀπόδειξις. ταύτῃ γὰρ, πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται.

1 * ELOCUTIONEM 55 verò duplicem eſſe neceſſe eſt, vel tractam ac pendentem, quæ copulatione fit una, quales ſunt dithyramborum cantiones, vel ambitu comprehenſam, & ſimilem veterum poetarum antiſtrophis. Sed tracta, ac pendens elocutio priſcorum eſt, qua Herodotus Thurius in hiſtoria utitur, atque eo tempore ferè omnes utebantur; nunc autem perquàm pauci.

56 * Voco autem tractam, ac
pendentem elocutionem,
quę nullum ex ſe finem
habet, niſi res, quæ ex-
ponitur, ad finem perve-
nerit; quæ ſanè eſt inju-
cunda; quoniam infinitè
fertur; omnes enim vide-
re finem exoptant. Qua-
propter curſores, cum ad
flexiones pervenerunt,
vehementer anhelant, &
penè deficiunt, cum an-
teà non laborent; quia
metam proſpiciunt. Ac
tracta, quidem, pendens-
57 que oratio talis eſt. * Am-
bitu verò comprehenſa
eſt, quæ periodis con-
ſtat; periodum voco ora-
tionem, quæ principium,
& finem ex ſeſe habet, &
eam magnitudinem, quæ
facilè perluſtrari poſſit.
Hujuſmodi autem oratio
ſuavis eſt, & facilè percipi
poteſt; & ſuavis idcircò
eſt, quia eſt illi contra-
ria, quæ infinitè fertur; &
quia ſemper auditor ali-
quid ſe tenere exiſtimat,
cum ſemper aliquid con-
cluſum, ac determina-
tum accipiat; contrà ve-
rò nihil prævidere, ni-
hilque abſolutum habe-
re, eſt injucundum.

* Λέγω δὲ εἰρομένην, ἣ οὐδὲν ἔχει τέλος καθ' αὑτὴν, ἂν μὴ τὸ πρᾶγμα λεγόμενον τελειωθῇ. ἔστι δὲ ἀηδὴς, διὰ τὸ ἄπειρον· τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν. διόπερ καὶ οἱ δρομεῖς ἐπὶ τοῖς καμπτῆρσιν ἐκπνέουσι καὶ ἐκλύονται· προορῶντες γὰρ τὸ πέρας. οὐ κάμνουσι πρότερον. ἡ μὲν οὖν εἰρομένη τῆς λέξεως, ἔστιν ἥδε. * Κατεστραμμένη δὲ, ἡ ἐν περιόδοις· λέγω δὲ περίοδον, λέξιν ἔχουσαν ἀρχὴν, καὶ τελευτὴν καθ' αὑτὴν, καὶ μέγεθος εὐσύνοπτον· ἡδεῖα δ' ἡ τοιαύτη, καὶ εὐμαθής. ἡδεῖα μὲν, διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ· καὶ ὅτι αἰεί τι ἔχειν οἴεται ὁ ἀκροατὴς, τῷ αἰεὶ πεπεράνθαί τι αὐτῷ· τὸ δὲ μηδὲν προνοεῖν εἶναι, μηδὲ ἀνύειν, ἀηδές.

εὐμαθὴς δέ, ὅτι εὐμνημόνευτος. τοῦτο δέ, ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον. διὸ καὶ τῶν μέτρων πάντες μνημονεύουσι μᾶλλον τῶν χύδην· ἀριθμὸν γὰρ ἔχει, ᾧ μετρεῖται. * Δεῖ δὲ τὴν περίοδον ἐν τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι, ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα·

Καλυδὼν μὲν ἥδε, γαῖα
Πελοπείας χθονός·

τοὐναντίον γάρ ἐστιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένου τὴν Καλυδῶνα εἶναι τῆς Πελοποννήσου.

β'. * Περίοδος δέ, ἡ μὲν, ἐν κώλοις, ἡ δὲ, ἀφελής. ἔστι δέ, ἐν κώλοις μὲν, λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη, καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει, ὥσπερ ἡ εἰρημένη περίοδος.

Facilè autem percipitur, quia memoriæ facilè mandari poteſt; &, hoc accidit; quia numerum habet in periodis, quod omnium maximè aptum eſt ad recordandum; atque hæc cauſa eſt, cur omnes faciliùs carmina, quàm ſolutam orationem recordentur: quia numerum habent, qui ea metiatur. * Oportet autem in perio- 58
do ſententiam etiam ipſam finiri, non autem abrumpi: quod fit in illis jambicis Sophoclis:

Hæc eſt quidem Calydon,
· *ſolum potitus eſt.*
Quo olim Pelops.

fit enim quandoque, ut, ſi periodus diviſa fuerit, ſenſus contrarius eliciatur, ſicut in prædicto exemplo poteſt quis ſuſpicari, Calydone in Peloponneſo eſſe.

2 * Duplex autem eſt 59
periodus; nam altera membris conſtat, altera ſimplex eſt: ex membris conſtat ea locutio, quæ perfecta eſt, & diſtinctas partes habet, & ſpiritum dicentis non impedit, non in ipſa diviſione; ſicut in prædicta periodo, ſed

ſed in toto ambitu; membrum verò eſt altera periodi pars. Simplicem periodum eam appello, quæ ex uno membro conſtat.

60 *Oportet autem & membra ipſa, & periodos neque mutilas eſſe, neque longas: nam quod mutilum eſt, ac parvum, ſæpè cogit auditorem offendere, atque hærere; neceſſe eſt enim, ut, cum auditor adhuc ultrà tendit animo, & ad menſuram illam termini, quem in ſe ipſo concepit; ceſſante oratore, quaſi retrò trahatur, & quaſi obice quodam impeditus, offendatur. Longæ verò periodi deficere cogunt auditorem: quemadmodum enim ii, qui ſpatia conficiunt, & ultra ſtatutum terminum progrediuntur, eos poſt ſe relinquunt, qui unà deambulabant; ita longæ periodi jam in orationem exeunt, & Dithyramborum cantionibus ſimiles fiunt. Quare idem hac in re contingit, quod Democritus Chius Melanippidi per jocum objecit: cum ille pro antiſtrophis anabolas uſurpaſſet;

ἀλλ' ὅλη. κῶλον δ' ἐστὶ, τὸ ἕτερον μόριον ταύτης. ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. * Δεῖ δὲ καὶ τὰ κῶλα, καὶ τὰς περιόδους, μήτε μειούρους εἶναι, μήτε μακράς· τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν. ἀνάγκη καὶ ὅταν ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω, καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρου ἀντισπασθῇ παυσαμένου, οἷον προσπταίειν γίνεσθαι διὰ τὴν ἀντίκρουσιν. τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος· ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας. ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι, λόγος γίνεται, καὶ ἀναβολῇ ὅμοιον. ὥστε γίνεται, ὃ ἔσκωψε Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην ποιήσαντα ἀντὶ τῶν ἀντιστρόφων ἀναβολάς.

Οἷ τ'

Οἱ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.

ἡ δὲ μακρὰ ἀναβολὴ, τῷ ποιητῇ κακίστη, ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τοὺς μακροκώλους λέγειν. αἱ δὲ λίαν βραχύκωλοι, οὐ περίοδος γίγνεται· προπετῆ οὖν ἄγει τὸν ἀκροατήν.

γ'. * Τῆς δὲ ἐν κώλοις λέξεως, ἡ μὲν, διῃρημένη ἐστίν· ἡ δὲ, ἀντικειμένη. διῃρημένη μὲν, οἷον. Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων.

ἀντικειμένη δὲ, ἐν ᾗ ἑκατέρῳ τῷ κώλῳ, ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται, ἢ ταὐτὸ ἐπέζευκται τοῖς ἐναντίοις· οἷον,

Ἀμφοτέρους δ' ὤνησαν, καὶ τοὺς ὑπομείναντας, καὶ τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ, πλείω τῆς οἴκοι προσεκτήσαντο· τοῖς δὲ ἱκανὴν τὴν οἴκοι κατέλιπον.

Ut nocet ille ſibi, alium qui lædere quærit:
Sic carmen longum vati ipſi peſſima res eſt.

hoc enim ipſum etiam in eos aptè dici poteſt, qui longis membris delectantur: contrà verò, quæ breviora, quàm opus ſit, habent membra, ne periodi quidem ſunt: nam ipſum auditorem præcipitem rapiunt.

3 * Elocutio verò, quæ 6
membratim profertur, partim diſtincta, ac libera eſt; partim oppoſita, ac ſibi mutuò reſpondens. Diſtincta, ut illa Iſocratis: *Sæpiùs admiratus ſum eos, qui celebritates congregarunt: & eos, qui gymnica certamina conſtituerunt.* Oppoſita verò, ac ſibi reſpondens eſt illa, cum vel in utroque membro contrarium eſt alteri contrario conſtitutum, vel idem membrum è contrariis conſtat, ut. *Nam iis, qui ſecuti ſunt, multò plura, quàm domi poſſidebant, acquiſiverunt; iis verò, qui domi remanſerunt, ſatis agri, quo ſe alerent, reliquerunt;*

hæc

hæc enim ſunt contraria remanere, & ſequi: plura, & ſatis; item,

Itaque & pecunias acquirentibus, & frui volentibus:

nam acquirere, & frui inter ſe opponuntur: & illud,

Sapè accidit in ejuſmodi rebus, ut prudentes aberrent, & inſipientes rectè gerant. Statim quidem præmia fortium virorum obtinuerunt, ſed non ita multò poſt imperium maris acquiſiverunt, Terram quidem navigaſſe, maria verò ambulaſſe. Helleſpontum quidem junxit, Athonem verò perfodit:

&, *Qui natura cives eſſent, lege privati ſunt civitate:*

ex eis enim alii malè perjerunt, alii turpiter ſervati ſunt: Privatè quidem ſervis uti barbaris, publicè verò negligere, ſociorum multos ſervos eſſe: Vel viventes habere, vel morientes relinquere:

& quod in Pitholaum;

ἐνλυπία, ὑπομονὴ, ἀκολέθησις ἱκανὸν, πλεῖον.

Ὥστε καὶ τοῖς χρημάτων δεομένοις, καὶ τοῖς ἀπολαῦσαι βουλομένοις·

ἀπόλαυσις κτήσει ἀντίκειται. καὶ ἔτι,

Συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν, καὶ τοὺς ἄφρονας κατορθοῦν. εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον. πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ᾽ Ἄθω διορύξας, καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πόλεως στέρεσθαι.

ΟἹ μὲν γὰρ αὐτῶν, κακῶς ἀπώλοντο· οἱ δ᾽, αἰσχρῶς ἐσώθησαν. ἰδίᾳ μὲν, τοῖς βαρβάροις οἰκέταις χρῆσθαι· κοινῇ δὲ, πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας· ἢ ζῶντας ἕξειν, ἢ τελευτήσαντας καταλείψειν. καὶ ὃ

εἰς Πειθόλαόν τις εἶπε,

καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ,

ΟΥ'τοι δ' ὑμᾶς, οἴκοι μὲν ὄντες, ἐπώλουν· ἐλθόντες δ' ὡς ἡμᾶς, ἐώνηνται·

ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον. *Ἡδεῖα δέ ἐστιν ἡ τοιαύτη λέξις, ὅτι τὰ ἐναντία γνωριμώτατα, καὶ παράλληλα μᾶλλον γνώριμα· καὶ ὅτι ἔοικε συλλογισμῷ· ὁ γὰρ ἔλεγχος, συναγωγὴ τῶν ἀντικειμένων ἐστίν. ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτόν ἐστι. *Παρίσωσις δὲ, ἐὰν ἴσα τὰ κῶλα· παρομοίωσις δὲ, ἂν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερα τῶν κώλων. ἀνάγκη δὲ ἢ ἐν ἀρχῇ, ἢ ἐπὶ τελευτῇ ἔχειν· καὶ ἀρχῇ μὲν, αἰεὶ τὰ ὀνόματα· ἡ δὲ τελευτὴ τὰς ἐσχάτας συλλαβὰς, ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις, ἢ τὸ αὐτὸ ὄνομα. ἐν ἀρχῇ μὲν, τὰ τοιαῦτα· Ἀγρὸν γὰρ ἔλαβεν ἀργὸν παρ' αὐτοῦ·

& Lycophronem quidam in judicio dixit. *Hi, cum domi eſſent, vos vendebant: poſtquam ad nos venerunt, ipſi empti ſunt*: in his enim omnibus id eſt, quod anteà diximus. * Jucunda verò eſt hujuſmodi locutio: quoniam contraria maximè nota ſunt, & cum inter ſe conferuntur, fiunt etiam notiora; &, quia ratiocinationis formam præ ſe fert; elenchus enim nihil aliud eſt, quàm contrariorum collectio, atque hæc quidem exornatio contentio vocatur. * Compar verò dicitur, cum æqualia membra ſunt. Aſſimilatio vocatur, cum extremæ partes utriuſque membri ſimiles ſunt. Neceſſe eſt autem hoc vel initio, vel in fine fieri. Atque initio quidem nomina ſemper ſimilia ſunt: in fine verò ſimiles ſunt extremæ ſyllabæ, vel ejuſdem nominis caſus, vel nomen ipſum. Initio igitur fiunt hoc modo. *Agrum accepit agrum ab eo, Placa-*

62

63

Placati donis, pacatique ore fuerunt.

In fine verò hoc modo.

Non putarunt ipſum puerum peperiſſe, ſed ejus cauſam fuiſſe. In cura quidem plurima, in ſpe verò minima.

Caſus autem ejuſdem nominis hoc modo.

Dignus verò ſtatua ærea, non dignus ære.

Idem nomen hoc modo:

Tu illi, cum viveret, dicebas malè, & nunc in eum ſcribis malè.

Fit etiam in una extrema ſyllaba; ut,

Quodnam paſſus eſſe malum, ſi hominem vidiſſes ignavum?

Poſſunt etiam interdum hæc omnia conjungi; ut idem ſit & contentio, & compar, & ſi-
64 militer deſinens. * Principia verò periodorum in libris ad Theodectem, ferè ſunt à nobis enumerata. Sunt etiam quædam falſæ ſimulatæque contentiones: ut Epicharmus fecit.

Interdum enim ego cum illis eram, interdum verò apud illos.

Δωρητοί τ' ἐπέλοντο παρ-ρήρρητοί τ' ἐπέεσσιν.

ἐπὶ τελευτῇ δὲ,

Οὐκ ᾠήθησαν αὐτὸν παιδίον τετοκέναι, ἀλλ' αὐτοῦ αἴτιον γεγονέναι. Ἐν πλείσταις δὲ φροντίσι, καὶ ἐν ἐλαχίσταις ἐλπίσι.

πτῶσις δὲ ταὐτοῦ,

Ἄξιος δὲ σταθῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν χαλκοῦ.

ταὐτὸ δ' ὄνομα,

Σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς, καὶ νῦν γράφεις κακῶς.

ἀπὸ συλλαβῆς δὲ,

Τί ἂν ἔπαθες δεινὸν, εἰ ἄνδρ' εἶδες ἀργόν.

ἔστι δὲ ἅμα πάντα ἔχειν ταὐτὸ, καὶ ἀντίθεσιν εἶναι τὸ αὐτὸ, καὶ πάρισον, καὶ ὁμοιοτέλευτον. * Αἱ δ' ἀρχαὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται. εἰσὶ δὲ καὶ ψευδεῖς ἀντιθέσεις, οἷον καὶ Ἐπίχαρμος ἐποίει,

Τόκα μὲν ἐν τήνοις ἐγὼν ἦν· τόκα δὲ παρὰ τήνοις ἐγώ.

CAPUT X.

De ſexta virtute elocutionis, quæ eſt, ut ſit urbana.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Sola nomina translata ex peregrinis, & propriis maximè conferunt ad reddendam orationem urbanam.*

2 *Item imagines, & ſimilitudines.*

3 *Illa oratio eſt urbana, quæ affert argumenta, quæ neque ſunt cuique obvia, neque ita abſtruſa, ut ſtatim ac proferuntur, vel ſaltem paulo poſt, non intelligantur.*

4 *Tria efficiunt orationem urbanam: Primò antitheſis: Secundò translata: Tertiò energia.*

á. * ἘΠΕῚ δὲ διώρισαι περὶ τούτων, πόθεν λέγεται τὰ ἀστεῖα, καὶ τὰ εὐδοκιμοῦντα, λεκτέον. ποιεῖν μὲν οὖν ἐστι τοῦ εὐφυοῦς, ἢ τοῦ γεγυμνασμένου· δεῖξαι δὲ, τῆς μεθόδου ταύτης. εἴπωμεν οὖν καὶ διαριθμησώμεθα· ἀρχὴ δ' ἔστω ἡμῖν αὕτη· τὸ γὰρ μανθάνειν ῥᾳδίως, ἡδὺ φύσει πᾶσιν ἐστι· τὰ δὲ ὀνόματα σημαίνει τι.

1 * ET, quoniam de his jam ſatis diximus, 65 ſequitur, ut aperiamus, unde urbana, & præclara dicta deducantur. Ac illa quidem conformare, vel ingenioſi hominis eſt, vel exercitati: viam autem, ac rationem oſtendere, diſciplinæ hujus proprium eſt. De illis igitur dicamus, atque enumeremus omnia; ſed hinc potiſſimùm exordio ſumpto. Natura hoc inſitum eſt omnibus, ut, cum aliquid facilè diſcunt, voluptatem ſentiant; nomina verò ſemper aliquid ſignificant;

Quare

Quare quæcunque nomina rei alicujus notitiam nobis inſerunt, ea jucundiſſima ſunt.

66 * Ac peregrina quidem vocabula nobis ignota ſunt; propria verò jam cognita. Translatio igitur maximè hoc efficit; cum enim quis ſenectutem appellat ſtipulam, nobis inſerit cognitionem, ac notitiam propter genus; hæc enim ambo viriditatem amiſerunt.

67 2 * Quinetiam poetarum imagines idem efficiunt: quare ſi benè poſitæ fuerint, urbanus ſermo videtur; eſt enim imago, ſicut anteà dictum eſt, tranſlatio, quæ tantùm adjunctione differt.

68 * Atque ideo minus eſt jucunda; quia longiùs protrahitur; neque dicit hoc illud eſſe. Atqui non hoc eſt quod animus quærit. Neceſſe eſt etiam eam elocutionem, atque illa argumenta urbana eſſe, quæ nos in alicujus rei cognitionem celeriter ducunt.

69 3 * Quare neque argumenta illa probantur, quæ patent, atque in prõptu ſunt.

ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα. αἱ μὲν οὖν γλῶτται, ἀγνῶτες. τὰ δὲ κύρια, ἴσμεν. ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα· ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην, ἐποίησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους· ἄμφω γὰρ ἀπηνθηκότες.

β. * Ποιοῦσι μὲν οὖν καὶ αἱ τῶν ποιητῶν εἰκόνες τὸ αὐτό. διόπερ ἂν εὖ ἀστεῖον φαίνηται. ἔστι γὰρ ἡ εἰκὼν, καθάπερ εἴρηται πρότερον, μεταφορὰ διαφέρουσα προθέσει· * Διὸ ἧττον ἡδὺ, ὅτι μακροτέρως· καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο· οὐκοῦν οὐδὲ ζητεῖ τοῦτο ἡ ψυχή. ἀνάγκη δὴ καὶ λέξιν, καὶ ἐνθυμήματα ταῦτα εἶναι ἀστεῖα, ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν.

γ'. * Διὸ οὔτε τὰ ἐπιπόλαια τῶν ἐνθυμημάτων εὐδοκιμεῖ.

ἐπι-

ἐπιπόλαια γὰρ λέγομεν τὰ παντὶ δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι· οὔτε ὅσα εἰρημένα ἀγνοούμενά ἐστιν, ἀλλ' ὅσων ἢ ἅμα λεγομένων ἡ γνῶσις γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὑστερίζει ἡ διάνοια· γίγνεται γὰρ, οἷον, ἡ μάθησις· ἐκείνως δὲ, οὐδέτερον, κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου, τὰ τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων.

δ'. * Κατὰ δὲ τὴν λέξιν, τῷ μὲν σχήματι, ἐὰν ἀντικειμένως λέγηται, οἷον

Καὶ τὴν τοῖς ἄλλοις κοινὴν εἰρήνην νομιζόντων τοῖς αὑτῶν ἰδίοις πόλεμον·

ἀντίκειται πόλεμος γὰρ εἰρήνῃ. τοῖς δ' ὀνόμασιν, ἐὰν ἔχῃ μεταφοράν· καὶ ταύτην μήτ' ἀλλοτρίαν· χαλεπὸν γὰρ συνιδεῖν· μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν. ἔτι, εἰ πρὸ ὀμμάτων ποιεῖ·

Dico autem eſſe in promptu, quæ ſunt omnibus nota, & quę non indigent, ut quærantur. Neque illa probantur, quæ cum expoſita ſunt, adhuc tamen ignorantur: ſed illa, quæ cum exponuntur, ſtatim nos in cognitionem ducunt, etiam ſi priùs nihil ſciremus, vel quæ paulò poſt cogitatione percipiuntur; hoc enim modo gignitur in nobis cognitio, ſed illo, quem ſuprà diximus, nequaquam. Atque in ſententia quidem eorum, quæ dicuntur, talia potiſſimùm excellunt argumenta.

4. * In locutione verò conformanda, ſi contraria contrariis opponantur; ut *Eam pacem, quæ aliis omnibus communis eſt, exiſtimant ſuis privatis rebus eſſe bellum*. Bellum enim paci contrarium eſt. In verbis erit urbanitas, ſi tranſlata fuerint; modò ne translatio ſit aliena, quæ non facilè perſpici poteſt; neque vulgaris, quæ nihil commovet, ſed quæ rem oculis ſubjicit; 7

magis

Quare quæcunque nomina rei alicujus notitiam nobis inſerunt, ea jucundiſſima ſunt.

66 * Ac peregrina quidem vocabula nobis ignota ſunt; propria verò jam cognita. Translatio igitur maximè hoc efficit; cum enim quis ſenectutem appellat ſtipulam, nobis inſerit cognitionem, ac notitiam propter genus; hæc enim ambo viriditatem amiſerunt.

67 2 *Quinetiam poetarum imagines idem efficiunt: quare ſi benè poſitæ fuerint, urbanus ſermo videtur; eſt enim imago, ſicut anteà dictum eſt, tranſlatio, quæ tantùm adjunctione differt.

68 * Atque ideo minus eſt jucunda; quia longiùs protrahitur; neque dicit hoc illud eſſe. Atqui non hoc eſt quod animus quærit. Neceſſe eſt etiam eam elocutionem, atque illa argumenta urbana eſſe, quæ nos in alicujus rei cognitionem celeriter ducunt.

69 3*Quare neque argumenta illa probantur, quæ patent, atque in prõptu ſunt.

ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα. αἱ μὲν οὖν γλῶτται, ἀγνῶτες. τὰ δὲ κύρια, ἴσμεν. ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα· ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην, ἐποίησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους· ἄμφω γὰρ ἀπηνθηκότες.

β. * Ποιοῦσι μὲν οὖν καὶ αἱ τῶν ποιητῶν εἰκόνες τὸ αὐτό. διόπερ ἂν εὖ, ἀστεῖον φαίνεται. ἔστι γὰρ ἡ εἰκὼν, καθάπερ εἴρηται πρότερον, μεταφορὰ διαφέρουσα προθέσει· * Διὸ ἧττον ἡδὺ, ὅτι μακροτέρως· καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο· οὐκοῦν οὐδὲ ζητεῖ τοῦτο ἡ ψυχή. ἀνάγκη δὴ καὶ λέξιν, καὶ ἐνθυμήματα ταῦτα εἶναι ἀστεῖα, ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν.

γ'. * Διὸ οὔτε τὰ ἐπιπόλαια τῶν ἐνθυμημάτων εὐδοκιμεῖ.

ἐπι-

ἐπιπόλαια γὰρ λέγομεν τὰ παντὶ δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι· οὔτε ὅσα εἰρημένα ἀγνοούμενά ἐστιν, ἀλλ' ὅσων ἢ ἅμα λεγομένων ἡ γνῶσις γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὑστερίζει ἡ διάνοια· γίγνεται γὰρ, οἷον, ἡ μάθησις· ἐκείνως δὲ, οὐδέτερον, κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου, τὰ τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων.

δ'. * Κατὰ δὲ τὴν λέξιν, τῷ μὲν σχήματι, ἐὰν ἀντικειμένως λέγηται, οἷον

Καὶ τὴν τοῖς ἄλλοις κοινὴν εἰρήνην νομιζόντων τοῖς αὐτῶν ἰδίοις πόλεμον.

ἀντίκειται πόλεμος γὰρ εἰρήνῃ. τοῖς δ' ὀνόμασιν, ἐὰν ἔχῃ μεταφοράν· καὶ ταύτην μήτ' ἀλλοτρίαν· χαλεπὸν γὰρ συνιδεῖν· μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν. ἔτι, εἰ πρὸ ὀμμάτων ποιεῖ

Dico autem eſſe in promptu, quæ ſunt omnibus nota, & quę non indigent, ut quærantur. Neque illa probantur, quæ cum expoſita ſunt, adhuc tamen ignorantur: ſed illa, quæ cum exponuntur, ſtatim nos in cognitionem ducunt, etiam ſi priùs nihil ſciremus, vel quæ paulò poſt cogitatione percipiuntur; hoc enim modo gignitur in nobis cognitio, ſed illo, quem ſuprà diximus, nequaquam. Atque in ſententia quidem eorum, quæ dicuntur, talia potiſſimùm excellunt argumenta.

4. * In locutione verò 7 conformanda, ſi contraria contrariis opponantur; ut, *Eam pacem, quæ aliis omnibus communis eſt, exiſtimant ſuis privatis rebus eſſe bellum*. Bellum enim paci contrarium eſt. In verbis erit urbanitas, ſi tranſlata fuerint; modò ne translatio ſit aliena, quæ non facilè perſpici poteſt; neque vulgaris, quæ nihil commovet, ſed quæ rem oculis ſubjicit; magis

magis enim oportet res videre, quæ fiant, quàm quæ fieri poſteà debeant. Tria igitur hæc ſunt conſideranda, translatio, contentio, evidentia.
17 * Cum autem translationum genera ſint quatuor; illæ maximè excellunt, quæ fiunt ex proportione: quemadmodum Pericles dixit de juventute, quæ in bello perierat, ſic è civitate ſublatam, ut, ſi quis ver ex anno tolleret. Et Leptines de Lacedæmoniis dixit, non oportere pati, ut Græciæ alter oculus erueretur: & Cephiſodotus, cum Chares Olynthiaci belli tempore vellet adminiſtrationis ſuæ rationes reddere; id ægrè ferens dixit, eum, cum in furno populum incluſum haberet, velle reddere rationes; idem, cum Athenienſes aliquando hortaretur, ut in Eubœam irent frumentatum; dixit, oportere Miltiadis decretum in expeditionem proficiſci. Et Iphicrates, poſtquam Athenienſes,

ὁρᾷν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλον, ἢ μέλλοντα. δεῖ ἄρα τούτων στοχάζεσθαι τριῶν, μεταφορᾶς, ἀντιθέσεως, ἐνεργείας. * Τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν, εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν· ὥσπερ Περικλῆς ἔφη, τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ, οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως, ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι. καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἐᾶν περιϊδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην. καὶ Κηφισόδοτος, σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πόλεμον, ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἔχοντα, τὰς εὐθύνας πειρᾶσθαι δοῦναι. καὶ παρακαλῶν ποτὲ τοὺς Ἀθηναίους εἰς Εὔβοιαν ἐπισιτισαμένους, ἔφη δεῖν ἐξιέναι τὸ Μιλτιάδου ψήφισμα. καὶ Ἰφικράτης, σπεισαμένων Ἀθηναίων

πρὸς

πρὸς Ἐπίδαυρον καὶ τὴν παραλίαν, ἠγανάκτει, φάσκων αὐτοὺς τοῦ πολέμου τὰ ἐφόδια παρῃρῆσθαι. καὶ Πειθόλαος τὴν πάραλον, ῥόπαλον τοῦ δήμου. Σηστὸν δέ, τηλίαν τοῦ Πειραιέως, καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐκέλευσε, τὴν λήμην τοῦ Πειραιέως. καὶ Μοιροκλῆς, οὐδὲν ἔφη πονηρότερος εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν· ἐκεῖνον μὲν γὰρ ἐπὶ τρίτων τόκων πονηρεύεσθαι· αὐτὸν δὲ ἐπὶ δεκάτων. καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν.

cum Epidauriis, & omni ora maritima, fœdus percuſſiſſent; id ægrè ferens dixit, ipſos belli viatica ſuſtuliſſe. Et Pitholaus eam navem, quæ Paralus vocabatur, dixit eſſe clavam populi. Seſtum autem arcam Piræi frumentariam. Et Pericles Æginam tolli jubebat, quæ eſſet Piræ lippitudo, & Mœrocles, cum probum quendam hominem appellaſſet; dixit, ſe illo non eſſe improbiorem: illum enim ternis uſuris improbitatem exercere, ſe verò denis. Et illud Anaxandridæ jambicum de filiabus ſuis, quæ nubendi tempus tranſierant.

Ὑπερήμεροί μοι τῶν γάμων
αἱ παρθένοι.

O virgines vos non ſtitiſtis nuptiis.

καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι ἡσυχίαν ἄγειν ὑπὸ τῆς τύχης, ἐν πεντεσυρίγγῳ νόσῳ δεδεμένον.

& illud Polyeucti in quendam Speuſippum hominem corpore attonitum; eum non poſſe conquieſcere, quamvis à fortuna in penteſyringo morbo colligatus eſſet.

Et Cephiſodotus triremes vocabat, piſtrina varia. Cynicus autem cauponas vocabat, Attica phiditia: Æſion verò dixit, *Athenienſes in Siciliam civitatem effudiſſe*; atque hæc quidem translatio eſt, & ſubjectio ſub oculos. Et illud: *Ita ut Gracia clamorem ediderit*, quodammodo translatio eſt: & ſubjectio ſub oculos. Et quemadmodum Cephiſodotus admonebat, ut caverent, ne multas hoſtiles irruptiones facerent in concionibus: & Iſocrates, *apud eos, qui in celebritatibus concurrunt*, & in funebri oratione, *æquum eſſe, ut in ſepulchro, quo ſepelirentur ii, qui in Salamine occubuerant, Gracia tonderetur; quoniam unà cum eorum virtute etiam libertas Gracia ſepeliebatur*: nam, ſi dixiſſet æquum eſſe, ut Græcia lugeret, cum unà cum eis virtus ſepeliretur, eſſet translatio, & ſubjectio ſub oculos: cum verò dixerit, unà cum eorum virtute etiam libertas Græciæ,

καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει μύλωνας ποικίλους· ὁ Κύων δὲ τὰ καπηλεῖα, τὰ Ἀττικὰ φιδίτια. Αἰσίων δὲ,

Ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν·

τοῦτο γὰρ μεταφορὰ, καὶ πρὸ ὀμμάτων· καὶ,

Ὥστε βοῆσαι τὴν Ἑλλάδα·

καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ, καὶ πρὸ ὀμμάτων. καὶ ὥσπερ Κηφισόδοτος ἀλαβεῖσθαι ἐκέλευε, μὴ πολλὰς ποιήσωσι τὰς συνδρομὰς ἐκκλησίας. καὶ Ἰσοκράτης

Πρὸς τοὺς συντρέχοντας ἐν ταῖς πανηγύρεσι·

καὶ οἷον ἐν τῷ ἐπιταφίῳ,

Διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων, κείρασθαι τὴν Ἑλλάδα, ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας·

εἰ μὲν γὰρ εἶπεν, ὅτι ἄξιον δακρῦσαι συγκαταθαπτομένης τῆς ἀρετῆς, μεταφορὰ, καὶ πρὸ ὀμμάτων· τὸ δὲ, τῇ ἀρετῇ τῆς ἐλευθερίας, ἀντί-

ἀντίθεσίν τινα ἔχει. καὶ ὡς Ἰφικράτης εἶπεν· Ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστί, μεταφορὰ κατ᾽ ἀναλογίαν· καὶ τὸ διὰ μέσων, πρὸ ὀμμάτων ποιεῖ. καὶ τὸ φάναι, Παρακαλεῖν τοὺς κινδύνους τοῖς κινδύνοις βοηθήσοντας, πρὸ ὀμμάτων μεταφορά. καὶ Λυκολέων ὑπὲρ Χαβρίου· Οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ τὴν εἰκόνα τὴν χαλκῆν. μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ᾽ οὐκ αἰεί, ἀλλὰ πρὸ ὀμμάτων· κινδυνεύοντος γὰρ αὐτοῦ, ἱκετεύει ἡ εἰκών, τὸ ἄψυχον δὴ ἔμψυχον, Τὸ ὑπόμνημα τῶν τῆς πόλεως ἔργων· καὶ Πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες· τὸ γὰρ μελετᾶν, αὔξειν τί ἐστι. καὶ Ὅτι τὸν νοῦν ὁ θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ.

eſt etiam quædam contentio, &, quemadmodum dixit Iphicrates: *Iter orationis meæ fiet per medias res à Charete geſtas.* Hæc enim translatio eſt à proportione, & quod addidit, per medias, rem oculis ſubjicit: &, qui ita dicit, *pericula convocanda ſunt, quæ periculis auxilium ferant*, translatione utitur, quæ rem oculis ſubjicit. Et Lycoleon pro Chabria: *Neque ejus æneam ſtatuam reverebimini, quæ vobis pro illo ſupplicat?* translatio namque eſt in præſenti, ſed non ſemper, verùm ſemper eſt ſubjectio ſub oculos; nam eo periclitante ſupplicat imago, itaque inanime fit animatum. *Quod eſt commentarium rerum è civitate geſtarum?* Et illud translatè dictum eſt: *Omni ſtudio meditantes, ut ſpiritus frangant, atque humilia ſentiant*: nam meditari eſt quodamodo augere. Et illud: *Deus mentem in animo lumen accendit*, utrun-

utrunque enim aliquid illuſtrat; *neque enim bella diſſoluimus, ſed differimus*; ambo enim futura ſunt, & dilatio, & hujuſmodi pax: & dicere, fœdera trophæum eſſe multò pulchrius, quàm ea, quæ in bellis ſtatuuntur; quoniam trophæa minutis ſæpè rebus geſtis, & uno fortunæ impetu ponuntur; fœdera verò omni bello, ex ſententia confecto, hæc enim ambo ſunt inſignia victoriæ. Et illud.

ἄμφω γὰρ δηλοῖ. τί; ΟΥ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα· ἄμφω γάρ ἐστι μέλλοντα, καὶ ἡ ἀναβολὴ, καὶ ἡ τοιαύτη εἰρήνη. καὶ τὸ, τὰς συνθήκας φάναι τρόπαιον εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς πολέμοις γινομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν, καὶ μιᾶς τύχης· αὗται δὲ, ὑπὲρ παντὸς τοῦ πολέμου. ἄμφω γὰρ νίκης σημεῖα·

Civitates propter hominum vituperationem gravi pœna multantur;

Ὅτι καὶ αἱ πόλεις τῷ ψόγῳ τῶν ἀνθρώπων μεγάλας εὐθύνας διδόασιν.

nam multari pœna eſt detrimentum ex legibus accipere. Ac urbana quidem dicta duci à tranſlatione, quæ fit ex proportione, & ſubjectione ſub oculos, declaratum eſt.

ἡ γὰρ εὐθύνη, βλάβη τις δικαία ἐστίν. ὅτι μὲν οὖν τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται, καὶ τοῦ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται.

CAPUT

CAPUT XI.

De ſeptima virtute elocutionis, quæ eſt energia.

DIVISIO CAPITIS IN PARTES QUINQUE.

1 *Metaphoræ habent energiam, cum ſignificant actionem.*
2 *Apophthegmata, & ænigmata.*
3 *Res novæ, ſimilitudines, & comparationes.*
4 *Proverbia.*
5 *Hyperbolæ.*

α. * ΛΕΚΤΕ΄ΟΝ δὲ, τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι γίγνεται τοῦτο. * Λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν, ὅσα ἐνεργοῦντα σημαίνει· οἷον, τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον, μεταφορά· ἄμφω γὰρ τέλεια, ἀλλ' οὐ σημαίνει ἐνέργειαν. Ἀλλὰ τὸ ἀνθοῦσαν ἔχοντος τὴν ἀκμὴν, ἐνέργεια, καὶ τὸ, Σὲ δ' ὥσπερ ἄφετον, ἐνέργεια, καὶ Τοὐντεῦθεν οὖν Ἕλληνες ἀΐξαντες ποσὶ, τὸ ἀΐξαντες, ἐνέργεια, καὶ μεταφορά. καὶ ὡς κέχρηται Ὅμηρος πολλαχοῦ,

1 * DICENDUM eſt 72
autem, quid ſit ſubjectio ſub oculos, & quomodo ea fieri poſſit. * Dico igitur ex eis no- 73
minibus conſtare ſubjectionem ſub oculos, quę res eas ſignificant, quæ aliquid agant: ut, ſi quis dicat hominem probum eſſe quadratum, translatio quidem erit: nam ambo perfecta ſunt, ſed tamen nullum actum ſignificat: illud verò, *qui florentem ætatis vigorem habeat*, actum exprimit. Et illud: *Te verò tanquam ſolutum, ac liberum*, actum continet: & illud: *Hinc concitati cum impetu Græci ruunt*, concitati enim & actus, & translatio eſt. Quo genere multis in locis Homerus uſus eſt:

nam per translationem, quæ inanimata ſunt, animata eſſe dicit. Sed ex omnibus ea maximè probantur, in quibus actus exprimitur, ſicut in illis:

Ille pudore vacans, iterum lapis ima petebat;
&,
-- Volat ecce ſagitta,
&,
-- Cupiens attingere; --
&,
Stant terræ defixa, optantque in corpore figi
Spicula; --
&,
At cuſpis pectus pertranſit plena furoris.

in his enim omnibus, quoniam animata finguntur; actus apparet: nam pudore vacare, & furore quodam agitari, & alia ſunt actus. Hæc autem inter ſe copulavit per translationem ex proportione: ſicut enim ſe habet lapis ad Siſyphum, ſic impudens ad eam rem, cujus ipſum non
74 pudet. * Hac eadem ratione utitur etiam in probatis imaginibus in eis, quæ ſunt inanimata.

Curva albeſcentes nunc hic, nunc inde recurrunt.

τῷ τὰ ἄψυχα, ἔμψυχα λέγειν, διὰ τῆς μεταφορᾶς. ἐν πᾶσι δὲ τὸ ἐνέργειαν ποιεῖν, εὐδοκιμεῖ· οἷον, ἐν τοῖσδε,

Αὖτις ἔπειτα δάπεδόν τε κυλίνδετο λᾶας ἀναιδής. καὶ,
-- Ἔπτατ' ὀϊστὸς, καὶ,
-- Ἐπιπτέσθαι μενεαίνων. καὶ,
Ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι. καὶ,
Αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα.

ἐν πᾶσι γὰρ τούτοις διὰ τὸ ἔμψυχα εἶναι, ἐνεργοῦντα φαίνεται· τὸ ἀναισχυντεῖν γὰρ, καὶ μαιμᾶν, καὶ τἆλλα, ἐνέργεια. ταῦτα δὲ προσῆψε διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς· ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον, ὁ ἀναισχυντῶν πρὸς τὸν ἀναισχυντούμενον. * Ποιεῖ δὲ καὶ ἐν ταῖς εὐδοκιμούσαις εἰκόσιν ἐπὶ τῶν ἀψύχων, ταυτά·

Κυρτὰ, φαληριόωντα, πρὸ μὲν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα.

κινέμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα. ἡ δ' ἐνέργεια, μίμησις. * Δεῖ δὲ μεταφέρειν, καθάπερ εἴρηται πρότερον, ἀπὸ οἰκείων καὶ μὴ φανερῶν· οἷον, καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον, καὶ ἐν πολὺ διέχουσι θεωρεῖν, εὐστόχε, ὥσπερ Ἀρχύτας ἔφη ταὐτὸν εἶναι διαιτητὴν, καὶ βωμόν· ἐπ' ἄμφω γὰρ τὸ ἀδικέμενον καταφεύγει. ἢ εἴ τις φαίη ἄγκυραν καὶ κρεμάστραν τὸ αὐτὸ εἶναι· ἄμφω γὰρ ταὐτό τι, ἀλλὰ διαφέρει τῷ ἄνωθεν, καὶ κάτωθεν. καὶ τὸ ἀνωμαλίσθαι τὰς πόλεις, ἐν πολὺ διέχουσι ταὐτὸ, ἐν ἐπιφανείᾳ, καὶ δυνάμεσι τὸ ἴσον. * Ἔστι δὲ καὶ τὰ ἀστεῖα τὰ πλεῖστα διὰ μεταφορᾶς, καὶ ἐκ τοῦ προσεξαπατᾶν· μᾶλλον γὰρ γίγνεται δῆλον, ὅτι ἔμαθε παρὰ τὸ ἐναντίως ἔχειν,

fingit etiam omnia moveri, ac vivere: eſt autem ipſe actus quædam imitatio. *Translationem autem ducere 75
oportet, ut anteà dictum eſt, à propinquis rebus, non tamen perſpicuis: quemadmodum in philoſophia ſolertis, acutique hominis eſt, cernere, quid in rebus multum inter ſe diſtantibus, ſimile ſit: ſicut Archytas dixit, idem eſſe arbitrum, & aram, quoniam ad utrunque is, qui injuriam accepit, confugere ſolet. Vel, ſi quis diceret, anchoram, & cremaſtram idem eſſe; ambo enim idem efficiunt, ſed in eo differunt, quòd alterum infernè, alterum supernè pendet. Et adæquatas eſſe civitates, in multum diſtantibus rebus idem valet: nam & in ſuperficie, & in poteſtate eſt æqualitas. *Maxima verò pars 76
urbanorum dictorum à translatione, & ab errore quodam proficiſcitur; magis enim perſpicuè res intelligitur, cum aliter quis exiſtimabat;

nam tunc animus ſecum dicere videtur. *Quàm verum hoc eſt, ſed ego decipiebar.*

77 2 * Quinetiam apophtegmata, quæ ſunt urbana, ex eo gratiam habent, quòd aliud ſignificant, quàm verba dicant, ut illud Steſichori: *Quod cicadæ apud eos humi cantabunt*, Et voces, quæ acutè formantur in ænigmata, propter eandem rationem jucundæ ſunt; nam in eis eſt cognitio, &
78 translatè dicuntur. * Id etiam ſuave eſt, quod ait Theodorus, *res novas dicere*. Fit autem, cum præter opinionem id fuerit, & nullo modo (ſicut ille ait) conſentaneum opinioni, quam de eo priùs habebant: ſed quemadmodum in ridiculis, leviter immutata delectare ſolent: quod idem etiam faciunt cavillationes, quæ mutatis fiunt literis. Quæ res in verſibus etiam decipit, cum aliud dicitur, quàm auditor expectat; ut *ingrediebatur autem, ſub pedibus habens pernitiones*; illæ verò putabat, calceamenta velle dici.

καὶ ἔοικε λέγειν ἡ ψυχὴ Ὡς ἀληθῶς, ἐγὼ δὲ ἥμαρτον.

β΄. * Καὶ τὰ ἀποφθέγματα δὲ τὰ ἀστεῖά ἐστιν ἐκ τοῦ μὴ ὅ φησι, λέγειν· οἷον τὸ τοῦ Στησιχόρου,

Ὅτι οἱ τέττιγες ἑαυτοῖς χαμόθεν ᾄσονται.

καὶ τὰ εὖ ἠνιγμένα διὰ τὸ αὐτὸ ἡδέα. μάθησις γάρ, καὶ λέγεται μεταφορά· * Καὶ ὃ λέγει Θεόδωρος, Τὸ καινὰ λέγειν.

γίγνεται δέ, ὅταν παράδοξον ᾖ, καὶ μή, ὡς ἐκεῖνος λέγει, πρὸς τὴν ἔμπροσθεν δόξαν· ἀλλ' ὥσπερ οἱ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα. ὅπερ δύναται καὶ τὰ παρὰ γράμμα σκώμματα· ἐξαπατᾷ γὰρ καὶ ἐν τοῖς μέτροις· οὐ γὰρ ὥσπερ ὁ ἀκούων ὑπέλαβεν·

Ἔστειχε δ' ἔχων ὑπὸ ποσὶ χίμετλα.

ὁ δ' ᾤετο πέδιλα ἐρεῖν·

τούτου

τούτου δ' ἅμα λεγομένου, δεῖ δῆλον εἶναι. τὰ δὲ παρὰ γράμμα ποιεῖ, οὐχ ὃ λέγει, λέγειν, ἀλλ' ὃ μεταστρέφει ὄνομα· οἷον τὸ Θεοδώρου εἰς Νίκωνα τὸν κιθαρῳδόν,

Θράττει σε·

προσποιεῖται γὰρ λέγειν

Τὸ θράττεισε,

καὶ ἐξαπατᾷ· ἄλλο γὰρ λέγει· διὸ μαθόντι ἡδύ· ἐπεὶ, εἰ μὴ ὑπολαμβάνει Θρᾷκα εἶναι, οὐ δόξει ἀστεῖον εἶναι. καὶ τὸ,

Βούλει αὐτὸν πέρσαι.

δεῖ δὲ ἀμφότερα προσηκόντως λεχθῆναι. οὕτω δὲ καὶ τὰ ἀστεῖα· οἷον τὸ φάναι

Ἀθηναίοις τὴν τῆς θαλάττης ἀρχὴν, μὴ ἀρχὴν εἶναι τῶν κακῶν·

ὄνασθαι γάρ· ἢ ὥσπερ Ἰσοκράτης

Τὴν ἀρχὴν τῇ πόλει, ἀρχὴν εἶναι τῶν κακῶν·

ἀμφοτέρως γὰρ ὃ οὐκ ἂν ᾠήθη τις ἐρεῖν, τοῦτ' εἴρηται, καὶ ἐγνώσθη ὅτι ἀληθές.

Hoc autem oportet, ſtatim ut prolatum eſt, perſpicuum eſſe. Ridicula verò, quæ ex literis naſcuntur, efficiunt, ut non dicatur id, quod dici videtur, ſed id, quod inverſum nomen ſignificat; ut illud Theodori in Niconem citharœdum; Θράττει σε, fingit enim dicere, *Conturbat te*; ſed in errorem inducit: nam aliud intelligit; quare jucundum ſit ei, qui poſteà rem inrelligit: quoniam niſi Thracem eſſe exiſtimaret, non urbanum dictum eſſe putaret. Et illud:

Vult ipſum depopulari,

Sed advertendum eſt, ut ambo commodè dicantur. Idem accidit etiam in urbanis dictis, ut ſi quis diceret: *Athenienſibus maritimum principatum non fuiſſe malorum principium*, quoniam profuit; vel quemadmodum dixit Iſocrates,

Imperium civitati fuiſſe malorum principium;

nam utroque modo id dictum eſt, quod quiſquam dici non exiſtimaſſet, & cognitum eſt eſſe verum;

nam dicere principium eſſe principium, nihil habet, quod argutum ſit. Verùm non ita ait, neque negat id, quod principium dixerat, ſed alio modo. In his enim omnibus ſi quis nomen commodè protulerit, in quo vel translatio ſit, vel ambiguitas, tunc benè ſeſe habet; ut, *Intolerandus non intolerandus*; ambiguè dixit; verùm fit commodè ſemper, cum verbum iteratur: & illud;

Ne fias magis hoſpes, quàm oporteat hoſpes.

vel, *non magis, quàm te oporteat*; nam idem eſt; vel,

Non decet hoſpitem ſemper eſſe hoſpitem,

nam hæc quoque diverſa ſunt. Hanc vim habet etiam illud Anaxandridæ celebre dictum.

Pulchrum eſt ſanè mori priùs, quàm quicquam morte dignum geras;

nam idem eſt, ac ſi dixiſſet; *Dignum eſt mori; quando quis non eſt dignus mori*; vel, *dignum eſt mori eum, qui non ſit dignus morte*;

τότε γὰρ τὴν ἀρχὴν φάναι ἀρχὴν εἶναι, οὐθὲν σοφόν. ἀλλ' οὐχ οὕτω λέγει· ἀλλ' ἀρχὴν οὐχ ὃ εἶπεν, ἀπόφησιν, ἀλλ' ἄλλως. ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμία ἢ μεταφορὰ, τότε εὖ· οἷον

Ἀνάσχετος, οὐκ ἀνάσχετος,

ὁμωνυμίαν ἀπέφησεν, ἀλλὰ προσηκόντως, εἰ ἀεὶ δίς· καὶ,

Οὐκ ἂν γένοιο μᾶλλον, ἢ σε δεῖ ξένος, ξένος,

ἢ, Οὐ μᾶλλον ἢ σὲ δεῖ, τὸ αὐτό· καὶ,

Οὐ δεῖ τὸν ξένον, ξένον αἰεὶ εἶναι.

ἀλλότριον γὰρ καὶ τοῦτο. τὸ αὐτὸ καὶ τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον,

Καλόν γ' ἀποθανεῖν, πρὶν θανάτου δρᾷν ἄξιον·

ταὐτὸν γάρ ἐστι τῷ εἰπεῖν·

Ἄξιον γὰρ ἀποθανεῖν, μὴ ὄντα ἄξιον ἀποθανεῖν·

ἢ, Ἄξιόν γ' ἀποθανεῖν, μὴ θανάτου ἄξιον ὄντα,

ἢ μὴ

ἢ μὴ ποιοῦντα θανάτου ἄξια. * Τὸ μὲν οὖν εἶδος τὸ αὐτὸ τῆς λέξεως τούτων. ἀλλ' ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τοσούτῳ μᾶλλον. τὸ δ' αἴτιον, ὅτι ἡ μάθησις, διὰ μὲν τὸ ἀντικεῖσθαι, μᾶλλον· διὰ δὲ τὸ ἐν ὀλίγῳ, θᾶττον γίνεται· δεῖ δὲ ἀεὶ προσεῖναι, ἢ τὸ πρὸς ὃν λέγεται, ἢ τὸ ὀρθῶς λέγεσθαι, ἢ τὸ λεγόμενον ἀληθὲς, καὶ μὴ ἐπιπόλαιον· ἔστι γὰρ ταῦτα χωρὶς ἔχειν· οἷον,

Ἀποθνήσκειν δεῖ, μηθὲν ἁμαρτάνοντα·

ἀλλ' οὐκ ἀστεῖον.

Τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον·

ἀλλ' οὐκ ἀστεῖον· ἀλλ' ἐὰν ἅμα ἄμφω ἔχῃ·

Ἄξιός γ' ἀποθανεῖν, μὴ ἄξιος ὢν τοῦ ἀποθανεῖν.

ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται· οἷον, εἰ καὶ τὰ ὀνόματα μεταφορὰ εἴη,

vel cum quis non facit, quæ morte digna ſunt. * Et forma quidem locu- 79
tionis in his omnibus eadem eſt: ſed quantò breviùs, magiſque contrariè prolata fuerint, tantò fit elegantior oratio. Cauſa verò eſt; quia contrariæ res, propè collocatæ rem meliùs intelligi faciunt, & brevitas temporis celeriorem gignit ſcientiam. Verùm oportet, ut ſemper adſit, vel in quem dicantur, vel elegans dicendi ratio: ſiquidem id, quod dicitur, verum eſſe, non autem inane videri debet; alterum enim eorum ſine altero adeſſe poteſt; ut, *Mori oportet, nihil in vita delinquentem*, ſed urbanum non eſt.

Dignam oportet dignum uxorem ducere:

at urbanitate caret; ſed urbanum erit, ſi utrunque ſimul habuerit; ut,

Dignum eſt, mori, quando quis non eſt morte dignus.

Quantò verò plura conjuncta habuerit, tantò fiet urbanior oratio; ut, ſi nomina translata fuerint,

& ea tranſlatione, quæ probatur, & contentio, & compar adhibeatur, & evidentiam habeat.

80 3 * Atque etiam imagines, ut jam ſuprà dictum eſt, ſunt excellentes quodammodo translationes; ſemper enim ex duobus conſtant, ſicuti translatio, quæ fit ex proportione, ut, clypeum diximus eſſe Martis phialam, & arcum eſſe citharam ſine fidibus: quæ cum ita pronuntiantur, non eſt ſimplex translatio: ſed cum dicimus, arcum citharam, & clypeum phialam, tunc eſt ſimplex. Atque hoc etiam modo fingunt imagines; ut, ſimiæ tibicinem eſſe ſimilem, & ſtillanti lucernæ luſcioſum: ambo enim contrahuntur. Benè verò fiunt imagines; cùm in eis incluſa eſt metaphora: licet enim uti imagine dicentes, *clypeum eſſe Martis phialam*: & *parjetinas eſſe pallium attritum ędificii*; &, *Niceratum eſſe Philoctetem demorſum à Pratye*; quemadmodum Thraſymacus aſſimilavit eum,

καὶ μεταφορὰ τοιαδί, καὶ ἀντίθεσις, καὶ παρίσωσις· καὶ ἔχοι ἐνέργειαν.

γ'. * Εἰσὶ δὲ καὶ αἱ εἰκόνες, ὥσπερ εἴρηται καὶ ἐν τοῖς ἄνω, αἰεὶ εὐδοκιμοῦσαι τρόπον τινὰ μεταφοραί. αἰεὶ γὰρ ἐκ δυοῖν λέγονται, ὥσπερ ἡ ἀνάλογον μεταφορά· οἷον ἡ ἀσπὶς φαμὲν, ἐστὶ φιάλη Ἄρεος, καὶ τόξον φόρμιγξ ἄχορδος. οὕτω μὲν οὖν λέγουσιν οὐχ ἁπλοῦν· τὸ δ' εἰπεῖν τὸ τόξον φόρμιγγα, ἢ τὴν ἀσπίδα φιάλην, ἁπλοῦν· καὶ εἰκάζουσι δὲ οὕτως· οἷον, πιθήκῳ αὐλητὴν· καὶ λύχνῳ ψακαζομένῳ εἰς μύωπα· ἄμφω γὰρ συνάγεται. τὸ δὲ εὖ, ἐστὶν ὅταν μεταφορὰ ᾖ· ἔστι γὰρ εἰκάσαι τὴν ἀσπίδα,

Φιάλην Ἄρεος· καὶ τὸ ἐρείπιον ῥάκει οἰκίας· καὶ, τὸν Νικήρατον φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ Πράτυος, ὥσπερ εἴκασε Θρασύμαχος, ἰδὼν

ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι· ἐν οἷς μάλιστα ἐκπίπτουσιν οἱ ποιηταὶ, ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ εὐδοκιμῶσι. λέγω δ' ὅταν ἀποδίδωσιν,

Ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ,

Ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ.

καὶ τὰ τοιαῦτα πάντ' εἰκόνες εἰσίν. αἱ δ' εἰκόνες, ὅτι μεταφοραὶ, εἴρηται πολλάκις.

δ'. * Καὶ αἱ παροιμίαι μεταφοραὶ ἀπ' εἴδους ἐπὶ εἶδός εἰσιν· οἷον, ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, ὡς ὁ Καρπάθιός φησι τὸν λαγώ· ἄμφω γὰρ τὸ εἰρημένον πεπόνθασιν. ὅθεν μὲν οὖν τὰ ἀστεῖα λέγεται, καὶ διότι, σχεδὸν εἴρηται τὸ αἴτιον.

ε'. * Εἰσὶ δὲ καὶ αἱ εὐδοκιμοῦσαι ὑπερβολαὶ, μεταφοραί.

cum vidiſſet Niceratum à Pratye ſuperatum in heroicis verſibus componendis, adhuc ſordidatum, eſſe, & incompta coma. In quo genere maximè labuntur poetæ, niſi benè ſe geſserint; etiam ſi aliter fuerint excellentes. Dico autem, ut cum ita inquiunt:

Diſtorta, ut apium crura procedens gerit;
Sicut Philammon, juga gerens cum Coryco.

Atque hujuſmodi cætera ſunt imagines. Quod autem imagines ſint translationes jam ſçpè dictum eſt.

4 *Et proverbia ſunt translationes à ſpecie ad ſpeciem; ut, ſi quis domum importet aliquid, unde commodum ſperet, & ex eo poſteà damnum accipiat, ut 81

Carpathius leporem;

ambo enim, id, quod dictum eſt, pertulerunt. Unde igitur urbana dicta ducantur, & quamobrem adhibeantur, expoſitum eſt.

5 *Quinetiam ſuperlationes, quę probantur, quędam translationes ſunt. 82

ut in eum, qui ſugillatis faciem inquinatam habeat.

δίον εἰς ὑπωπιασμένον·

Exiſtimaviſſetis eum eſſe mororum calathum.

Ὠήθητε γὰρ αὐτὸν εἶναι συκαμίνων τάλαρον·

eſt enim quidam rubor in ſugillato, ſed modus non ſervatur: quinetiam imago, in qua dicitur, tanquam hoc, aut illud, eſt ſuperlatio, quę dicendi genere tantùm differt. Sicut Philammon, juga gerens cum Coryco.

ἐρυθρὸν γάρ τι τὸ ὑπώπιον, ἀλλὰ τὸ πολὺ σφόδρα. τὸ δὲ ὥσπερ τὸ καὶ τὸ, ὑπερβολὴ τῇ λέξει διαφέρουσα, ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κορύκῳ,

Putaviſſetis ipſum Philammonem præliari cum Coryco,

Ὠήθητ᾽ ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ κορύκῳ·

Diſtorta, ut apium crura procedens gerit.

Ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖν,

Putabam eum non crura, ſed apia habere, adeo diſtorta ſunt. Habent autem ſuperlationes puerile quiddam: vehementem enim animi motum indicant; itaque irati præcipuè ſuperlationibus utuntur.

ᾤήθην δὲ οὐ σκέλη, ἀλλὰ σέλινα ἔχειν οὕτως οὖλα. εἰσὶ δὲ ὑπερβολαὶ μειρακιώδεις. σφοδρότητα γὰρ δηλοῦσι. διὸ ὀργιζόμενοι λέγουσι μάλιστα.

Non mihi ſi tàm multa daret, quàm magnus arenæ eſt,
Pulveris & numerus.
Non ducam uxorem (mihi crede) Agamemnone natam;
Quamvis ingenio ſapientem Pallada vincat,
Et pulchræ Veneri præſtanti corpore certet.

Οὐδ᾽ εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε,
Κούρην δ᾽ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
Οὐδ᾽ εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ἔργα δ᾽ Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι,
χρῶνται.

χρῶνται δὲ μάλιστα τούτῳ οἱ Ἀττικοὶ ῥήτορες· διὸ πρεσβυτέρῳ λέγειν ἀπρεπές.

hoc genere maximè utuntur Attici oratores. Quare ſenem uti ſuperlatione minimè decet.

CAPUT XII.

Qualis elocutio ſingulis dicendi generibus conveniat.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Diverſis generibus, diverſam elocutionem convenire, v. g. ſcripturis exquiſitiſſimam, forenſibus cauſis ad agendum ampliſſimam.*

2 *Generi deliberativo convenire elocutionem planam, judiciali exquiſitiorem, demonſtrativo exquiſitiſſimam.*

3 *Ex dictis ſequi orationem ſuavem, atque magnificam.*

α´. * ΔΕΙ δὲ μὴ λεληθέναι, ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει λέξις· οὐ γὰρ ἡ αὐτὴ γραφικὴ καὶ ἀγωνιστική· οὐδὲ δημηγορικὴ καὶ δικανική· ἄμφω δὲ ἀνάγκη εἰδέναι· τὸ μὲν γάρ ἐστιν ἑλληνίζειν ἐπίστασθαι· τὸ δὲ, μὴ ἀναγκάζεσθαι κατυσιωπᾶν,

1 * ILLUD verò ſciendum eſt, in unoquo- 83
que genere propriam, atque ſuam eſſe locutionem; neque enim eadem eſt locutio, qua ſcribimus aliquid, & qua in contentionibus utimur; neque ea, quæ ad deliberativum genus pertinet, eadem eſt cum ea, quæ ad judiciale: verùm utrunque ſcire oportet; Alterum enim efficit, ut emendatè loqui ſciamus; alterum ne quis cogatur ſilere, cum

cum aliis quippiam impertiri cupit, quod iis accidit, qui ſcribendi
84 rationem ignorant. * Locutio apta ſcriptionibus eſt exquiſitiſſima: contrà quę contentionibus apta eſt, in actione maximè conſiſtit.
85 * Sed hujus duæ ſunt ſpecies, quarum altera ad mores, altera ad motus animi pertinet. Atque ideò hiſtriones hujuſmodi fabulas potiſſimum exquirunt, & poetæ tales hiſtriones deſiderant. Probantur autem ii poetæ, qui etiam in legendo delectant, ut Cheremon; nam diligens eſt, non aliter, atque is, qui orationes ſcribit. Et Lycinnius ex eorum numero, qui dithyrambici dicun-
86 tur. * Quòd ſi inter ſe comparentur orationes, quæ ſcriptæ ſunt, in contentionibus humiles, anguſtæque videntur. quæ verò benè habitæ ſunt, cum in manibus ſumuntur, ſimiles ſunt imperitorum orationibus: hujus autem rei cauſa eſt, quòd in contentionibus illa conveniunt.

ἄν τι βούλωνται μεταδοῦναι τοῖς ἄλλοις. ὅπερ πάσχουσιν οἱ μὴ ἐπιστάμενοι γράφειν. * Ἔστι δὲ λέξις, γραφικὴ μὲν, ἡ ἀκριβεστάτη· ἀγωνιστικὴ δὲ, ἡ ὑποκριτικωτάτη. * Ταύτης δὲ δύο εἴδη. ἡ μὲν γὰρ, ἠθική· ἡ δὲ, παθητική· διὸ καὶ οἱ ὑποκριταὶ τὰ τοιαῦτα τῶν δραμάτων διώκουσι, καὶ οἱ ποιηταὶ τοὺς τοιούτους. βαστάζονται δὲ οἱ ἀναγνωστικοί· οἷον Χαιρήμων· ἀκριβὴς γὰρ, ὥσπερ λογογράφος· καὶ Λικύμνιος τῶν διθυραμβοποιῶν. * Καὶ παραβαλλόμενοι, οἱ μὲν τῶν γραφικῶν ἐν τοῖς ἀγῶσι στενοὶ φαίνονται· οἱ δὲ τῶν ῥητόρων εὖ λεχθέντες, ἰδιωτικοὶ ἐν ταῖς χερσίν· αἴτιον δ', ὅτι ἐν τῷ ἀγῶνι ἁρμόττει·

διὸ

διὸ καὶ τὰ ὑποκειτικὰ ἀφῃρημένης τῆς ὑποκρίσεως, οὐ ποιοῦντα τὸ αὐτῶν ἔργον, φαίνεται εὐήθη· οἷον τά τε ἀσύνδετα. καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ, ὀρθῶς ἀποδοκιμάζεται· ἐν δὲ ἀγωνιστικῇ καὶ οἱ ῥήτορες χρῶνται· ἔστι γὰρ ὑποκειτικά. ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας· ὅπερ ὁδοποιεῖ τῷ ὑποκρίνεσθαι·

Οὗτός ἐστιν ὁ κλέψας ὑμῶν. οὗτός ἐστιν ὁ ἐξαπατήσας. οὗτος ὁ τὸ ἔσχατον προδοῦναι ἐπιχειρήσας.

οἷον καὶ Φιλήμων ὁ ὑποκειτὴς ἐποίει, ἔν τε τῇ Ἀναξανδρίδου γεροντομανίᾳ, ὅτε λέγει Ῥαδάμανθυς καὶ Παλαμήδης. καὶ ἐν τῷ προλόγῳ τῶν Εὐσεβῶν, τὸ Ἐγώ. ἐὰν γάρ τις τὰ τοιαῦτα μὴ ὑποκρίνηται, γίνεται ὁ τὴν δοκὸν φέρων. καὶ τὰ ἀσύνδετα ὡσαύτως·

Ἦλθον, ἀπήντησα, ἐδεόμην.

* Itaque illa etiam, quorum vis in actione poſita eſt, ſublata actione, cum ſuo munere non fungantur, frigida, atque inſulſa videntur. Ut quæ ſunt diſſoluta, & eandem ſententiam ſæpè repetere, in ſcribendo non ſine cauſa damnatur: in contentionibus autem etiam oratores utuntur: ſunt enim hæc actioni convenientia. Neceſſe eſt autem, ut orationem varient, qui idem dicunt, quæ res tanquam aditum munit ad actionem. 87

Iſte eſt, qui vos expilavit: iſte eſt, qui decepit: iſte eſt, qui denique vos hoſtibus prodere tentavit.

quemadmodum etiam Philemon hiſtrio faciebat in Alexandridæ Gerontomania, quando verba faciunt Radamanthus & Palamedes, & in prologo Piorum, ubi, Ego, ſæpiùs iteratur. Nam, ſi hæc actione non adjuvantur, fit id, quod proverbio dicitur.

Trabem geſtans.

ſicuti etiam diſſoluta, ut:

Veni, occurri, rogavi,

neceſ-

neceſſe eſt enim actionem adhibere; nec, ut, ſi res una tantùm dicatur, eodem habitu animi, ac ſono vocis uti. Habent præterea quiddam peculiare, quæ diſſoluta ſunt; in æquali enim tempore multa dici videntur: nam conjunctio ex multis unum efficit: quæ, ſi detrahatur, perſpicuum eſt, fieri contrarium, ut ex uno fiant multa: habet igitur amplificationem.

Veni, narravi, ſupplicavi, multa enim ſunt. Videtur autem omnia negligere, quæ narro, quæ dico. Hoc idem etiam Homerus facere voluit, in illo loco;

> *Nireus, qui ex Simo: Nireus, qui Aglajæ filius; Nireus, qui pulcherrimus.*

nam, de quo multa dicta ſunt, neceſſe eſt etiam, ut ſæpiùs dictum ſit, &, ſi ſæpiùs, etiam multa dici videntur: itaque amplificavit, cum ſemel tantùm de illo mentionem fecerit, & hac fallacia fecit, ut Nirei nomen memoriæ hæreat, etiam ſi poſteà nuſquam illum nominet.

ἀνάγκη γὰρ ὑποκρίνεσθαι, καὶ μὴ ὡς ἓν λέγοντα τῷ αὐτῷ ἤθει καὶ τόνῳ εἰπεῖν. ἔτι ἔχει ἴδιόν τι τὰ ἀσύνδετα· ἐν ἴσῳ γὰρ χρόνῳ πολλὰ δοκεῖ εἰρῆσθαι· ὁ γὰρ σύνδεσμος ἓν ποιεῖ τὰ πολλά· ὥστε ἐὰν ἐξαιρεθῇ, δῆλον ὅτι τοὐναντίον ἔσται τὸ ἓν πολλά. ἔχει οὖν αὔξησιν,

Ἦλθον, διελέχθην, ἱκέτευσα,

πολλά. δοκεῖ δὲ ὑπεριδεῖν, ὅσα εἶπον, ὅσα φημί. τοῦτο δὲ βούλεται ποιεῖν καὶ Ὅμηρος, ἐν τῷ,

> Νιρεὺς δ᾽ αὖ Σύμηθεν,
> Νιρεὺς Ἀγλαΐης,
> Νιρεὺς, ὃς κάλλιστος.

περὶ οὗ γὰρ πολλὰ εἴρηται, ἀνάγκη καὶ πολλάκις εἰρῆσθαι. εἰ οὖν καὶ πολλάκις, καὶ πολλὰ δοκεῖ. ὥστε ηὔξησεν ἅπαξ μνησθεὶς διὰ τὸν παραλογισμὸν, καὶ μνήμην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησάμενος.

β. * Ἡ

β'. * Ἡ μὲν οὖν δημηγορικὴ λέξις. καὶ παντελῶς ἔοικε τῇ σκιαγραφίᾳ· ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα· διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω φαίνεται ἐν ἀμφοτέροις. * Ἡ δὲ δίκη, ἀκριβέστερον. ἔτι δὲ μᾶλλον ἡ ἐνὶ κριτῇ· ἐλάχιστον γάρ ἐστιν ἐν ῥητορικοῖς· εὐσυνοπτότερον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ πράγματος, καὶ τὸ ἀλλότριον, καὶ ὁ ἀγὼν ἄπεστιν. ὥστε καθαρὰ ἡ κρίσις. διὸ οὐχ οἱ αὐτοὶ ἐν πᾶσι τούτοις εὐδοκιμοῦσι ῥήτορες· ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι. τοῦτο δὲ, ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης. * Ἡ μὲν οὖν ἐπιδεικτικὴ λέξις, γραφικωτάτη. τὸ γὰρ ἔργον αὐτῆς, ἀνάγνωσις.

2 * At verò deliberativi 88
generis locutio ſimilis eſt prorſus umbratili picturæ, in qua quantò major fuerit eorum, quæ picta ſunt, turba, tantò longiùs ſpectatur: quare quæ exquiſita ſunt in utriſque, & ſupervacanea, & deteriora videntur. * At in judiciali ge- 89
nere debet exquiſitior eſſe locutio: quod, ſi coram uno judice res agatur: tantò magis elaborandum eſt; nam minus præſidiis artis uti licet: faciliùs enim perſpici poteſt id, quod cauſæ proprium ſit, & quod alienum, & contentionis ſtudium abeſt. Itaque judicium eſt incorruptum. Quapropter non in omnibus dicendi generibus iidem oratores excellunt: ſed ubi maximè actione opus eſt, ibi minimè debet eſſe minuta diligentia. Quæritur autem actio, ubi opus eſt etiam voce, & præſertim magna. * Locutio igitur 90
demonſtrativa maximè idonea eſt ad ſcribendum: quoniam ejus officium eſt, ut legatur.
ſecun-

ſecundo loco judicialis eſt ad ſcribendum idonea.

91 3 * Quod autem quidam ita locutionem diſtinguũt, ut dicant & ſuavem, & magnificam eſſe oportere, ſupervacaneum eſt. Cur enim magis eam ita quàm temperantem, & liberalem, & ſi qua hujuſcemodi virtus eſt? nam eam ſuavem (perſpicuum eſt) efficient ea, quæ dicta ſunt, ſiquidem locutionis virtus à nobis rectè definita eſt: cujus enim rei gratia diximus, dilucidam locutionem eſſe oportere, & non humilem, atque abjectam, ſed cum re convenientem? nam, ſi nugatoria fuerit, non erit dilucida, neque ſi fuerit brevis, & concisa: ſed clarum eſt medium convenire. Et quæ dicta ſunt ſuavem efficient, ſi benè mixta fuerit, & loquendi conſuetudo, & peregrina verba, & oratorius numerus, & vis perſuadendi cum eo, quod decorum eſt. Ac de locutione quidem dictum eſt, & communiter de omnibus, & ſpeciatim de uno quoque genere. Supereſt, ut etiam de ordine dicamus.

δευτέρα δὲ, ἡ δικανική.

γ΄. * Τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ καὶ μεγαλοπρεπῆ, περίεργον· τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον, καὶ εἴ τις ἄλλη ἤθους ἀρετή; τὸ γὰρ ἡδεῖαν εἶναι, ποιήσει δηλονότι τὰ εἰρημένα, εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως· τίνος γὰρ ἕνεκα δεῖ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι, ἀλλὰ πρέπουσαν; ἄν τε γὰρ ἀδολεσχῇ, οὐ σαφής, οὐδὲ ἂν σύντομος. ἀλλὰ δῆλον ὅτι τὸ μέσον ἁρμόττει. καὶ τὸ ἡδεῖαν, τὰ εἰρημένα ποιήσει, ἂν εὖ μιχθῇ τὸ εἰωθὲς, καὶ ξενικὸν, καὶ ὁ ῥυθμὸς, καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος. περὶ μὲν οὖν τῆς λέξεως εἴρηται, καὶ κοινῇ περὶ ἁπάντων, καὶ ἰδίᾳ περὶ ἕκαστον γένος. λοιπὸν δὲ, περὶ τάξεως εἰπεῖν.

CAPUT XIII.

De diſpoſitione.

Quot ſint partes orationis.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Partes neceſſariæ orationis duæ ſunt, propoſitio nimirùm, & confirmatio.*

2 *Præterea, duæ aliæ, exordium, & epilogus.*

ά. * ἜΣΤΙ δὲ τοῦ λόγου δύο μέρη· ἀναγκαῖον γὰρ τό, τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τότ᾽ ἀποδεῖξαι. διὸ εἰπόντα μὴ ἀποδεῖξαι, ἢ ἀποδεῖξαι μὴ προειπόντα, ἀδύνατον· ὅ, τε γὰρ ἀποδεικνύων, τὶ ἀποδείκνυσι· καὶ ὁ προλέγων, ἕνεκα τοῦ ἀποδεῖξαι προλέγει. τούτων δὲ, τὸ μὲν πρόθεσίς ἐστι· τὸ δὲ, πίστις· ὥσπερ ἂν εἴ τις διέλοι, ὅτι τὸ μὲν, πρόβλημα· τὸ δὲ, ἀπόδειξις. * Νῦν δὲ διαιροῦσι γελοίως· διήγησις γάρ που τοῦ δικανικοῦ λόγου μόνου ἐστίν. ἐπιδεικτικοῦ δὲ

1 * SUNT autem orationis partes duæ, 92
neceſſe eſt enim rem primò, de qua agitur, exponere: deinde illam argumentis confirmare. Quare, cum rem narraris, poſteà non confirmare, aut confirmare, cum rem non expoſueris, tale eſt, ut præſtari non poſſit; nam, qui argumentis utitur, aliquid confirmat, & qui rem exponit, id ideò facit, ut poſteà confirmet. Horum autem alterum propoſitio, alterum probatio eſt; quemadmodum ſi quis divideret aliquid in quæſtionem, & demonſtrationem. * Nunc autem 93
ridiculè dividunt, narratio enim in judiciali tantùm genere verſatur, nam demonſtrativi, & de-

& deliberativi generis, qualem ipſi volunt, quomodo narratio eſſe poteſt, vel quæ contra adverſarium dicuntur, vel peroratio quænam eſt in exornationibus? Proœmium autem, & enumeratio tunc in deliberativo genere ponuntur, quando inter eos, qui ſententiam dicunt, controverſia eſt, ſiquidem etiam accuſatio, & defenſio adhibetur, ſed non quatenus eſt deliberatio: ſed neque peroratio in omnibus judiciis adhibetur: ut, ſi parva fuerit oratio, aut res ejuſmodi, quæ facilè memoria comprehendi poſſit: nam ex longitudine detrahi ſolet. Neceſſariæ igitur ſunt partes duæ, propoſitio, & probatio, ac propriæ quidem hæ duæ partes ſunt.

94 2 * Sed ſi plures fuerint, tunc erit proœmium, propoſitio, probatio, peroratio; nam quæ ad reprehendendum adverſarium attinent, probationi ſubjiciuntur; contentio verò eſt amplificatio ſuarum rationum:

καὶ δημηγορικῆς, πῶς ἐνδέχεται διήγησιν εἶναι οἵαν λέγουσιν, ἢ τὰ πρὸς τὸν ἀντίδικον, ἢ ἐπίλογον τῶν ἀποδεικτικῶν; προοίμιον δὲ καὶ ἀντιπαραβολὴ, καὶ ἐπάνοδος, ἐν ταῖς δημηγορίαις τότε γίνεται, ὅταν ἀντιλογία ᾖ. καὶ γὰρ ἡ κατηγορία καὶ ἡ ἀπολογία πολλάκις, ἀλλ' οὐχ ᾗ συμβουλὴ, ἀλλ' ὁ ἐπίλογος. ἔτι, οὐδὲ δικανικοῦ παντὸς, οἷον ἐὰν μικρὸς ὁ λόγος, ἢ τὸ πρᾶγμα εὐμνημόνευτον· συμβαίνει γὰρ τοῦ μήκους ἀφαιρεῖσθαι. ἀναγκαῖα ἄρα μόρια, πρόθεσις, καὶ πίστις. ἴδια μὲν οὖν ταῦτα.

β. * Τὰ δὲ πλεῖστα, προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος· τὰ γὰρ πρὸς τὸν ἀντίδικον, τῶν πίστεών ἐστι· καὶ ἡ ἀντιπαραβολὴ, αὔξησις τῶν αὐτοῦ, ὥστε

ὥστε μέρος τι τῶν πίστεων· ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο, ἀλλ' οὐ τὸ προοίμιον, οὐδ' ὁ ἐπίλογος, ἀλλ' ἀναμιμνήσκει. * Ἔσται οὖν, ἄν τις τὰ τοιαῦτα διαιρῇ, ὅπερ ἐποίουν οἱ περὶ Θεόδωρον, διήγησις ἕτερον, καὶ ἐπιδιήγησις, καὶ προδιήγησις, καὶ ἔλεγχος, καὶ ἐπεξέλεγχος. δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφορὰν, ὄνομα τίθεσθαι. εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ τέχνῃ, ἐπούρωσιν ὀνομάζων, καὶ ἀποπλάνησιν καὶ ὄζους.

Quo fit, ut pars quædam ſit amplificationis: nam qui hoc facit, aliquid demonſtrat, ſed non procemium, neque peroratio hoc facit, ſed tantùm reducit in memoriam.

95 * Quòd, ſi quis ita dividat, ut Theodori diſcipuli faciebant, erit alia pars narratio, alia ſupernarratio, alia prænarratio, alia reprehenſio, alia ſuperreprehenſio: ſed tunc novum nomen ponere oportet, cum aliquam rem novam ab aliis differentem adferimus, alioquin eſt res inanis, & nugatoria, ſicuti Lycimnius in arte ſua facit, qui nominat aggreſſionem, & digreſſionem, & ramos.

CAPUT XIV.

De exordio.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *Quid ſit exordium, ac quale eſſe debeat.*
2 *Ex quibus locis in unoquoque genere ducatur.*

α. * Τὸ μὲν οὖν προοίμιον, ἐστὶν ἀρχὴ λόγου· ὅπερ

1 * PROOEMIUM igitur, principium eſt orationis, ſicut 96

in poeſi

in poeſi prologus, in tibicinis cantus proaulium: nam hæc omnia principia ſunt, & quaſi viæ munitio ei, qui
97 pertranſire velit. * At proaulium quidem ſimile eſt prooemio demonſtrativi generis: nam tibicines quicquid ſibi videntur benè canere poſſe, id præcinentes cum ſequenti cantu copulant: ſic etiam in demonſtrativo genere ſcribendæ ſunt orationes; quicquid enim voluerit orator, initio dicere poteſt, deinde progredi, & cum oratione id conjungere; cujus rei omnes exemplum ſibi aſſumunt proœmium illud Iſocratis in encomio Helenæ. Nihil enim habent commune ſophiſtæ cum Helena. Et quamvis à propoſita materia aberrarit orator; tamen illa commoditas aderit, ut tota oratio non ſit unius
98 generis. 2 * Ducuntur autem exordia demonſtrativi generis à laude, vel à vituperatione, ut Gorgias in Olympico,

ἐν ποιήσει πρόλογος, καὶ ἐν αὐλήσει προαύλιον· πάντα γὰρ ἀρχαὶ ταῦτ' εἰσὶ, καὶ οἷον ὁδοποίησις τῷ ἐπιόντι. * Τὸ μὲν οὖν προαύλιον, ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ· καὶ γὰρ οἱ αὐληταὶ, ὅ,τι ἂν εὖ ἔχωσιν αὐλῆσαι, τοῦτο προαυλήσαντες, συνῆψαν τῷ ἐνδοσίμῳ. καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις δεῖ οὕτω γράφειν· ὅ,τι γὰρ ἂν βούληται εὐθὺ εἰπόντα, ἐνδοῦναι καὶ συνάψαι· ὅπερ πάντες ποιοῦσι παράδειγμα τὸ τῆς Ἰσοκράτους Ἑλένης προοίμιον. οὐθὲν γὰρ οἰκεῖον ὑπάρχει τοῖς ἐριστικοῖς καὶ Ἑλένῃ· ἅμα δὲ καὶ ἐὰν ἐκτοπίσῃ, ἁρμόττει μὴ ὅλον τὸν λόγον ὁμοειδῆ εἶναι.

β. * Λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια, ἐξ ἐπαίνου, ἢ ψόγου· οἷον Γοργίας μὲν ἐν τῷ ὀλυμπικῷ λόγῳ·

Ὑπὸ

Ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ ἄνδρες Ἕλληνες.

ἐπαινεῖ γὰρ τοὺς τὰς πανηγύρεις συνάγοντας. Ἰσοκράτης δὲ ψέγει, ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν. τοῖς δ' εὖ φρονοῦσιν, οὐδὲν ἆθλον ἐποίησαν. * Καὶ ἀπὸ συμβουλῆς, οἷον

Ὅτι δεῖ τοὺς ἀγαθοὺς τιμᾶν. διὸ καὶ αὐτὸς Ἀριστείδην ἐπαινεῖ.

ἢ τοὺς τοιούτους, οἳ μήτε εὐδοκιμοῦσι, μήτε φαῦλοι, ἀλλ' ὅσοι ἀγαθοὶ ὄντες ἄδηλοι, ὥσπερ Ἀλέξανδρος ὁ Πριάμου· οὗτος γὰρ συμβουλεύει. * Ἔτι δ' ἐκ τῶν δικανικῶν προοιμίων· τοῦτο δ' ἐστὶν, ἐκ τῶν πρὸς τὸν ἀκροατὴν, εἰ περὶ παραδόξου λόγος, ἢ περὶ χαλεποῦ, ἢ περὶ τεθρυλλημένου πολλοῖς, ὥστε συγγνώμην ἔχειν· οἷον Χοιρίλος,

Νῦν δ' ὅτε πάντα δέδασται.

Apud multos admiratione digni ſunt viri Græci;

laudat enim eos, qui celebritates conſtituerunt. Iſocrates autem vituperat, quòd corporis virtutibus præmia ſtatuiſſent, ſapientia verò præditis nullum victoriæ præmium poſuiſſent. * Ducuntur etiam 99
exordia à conſilio; ut,

Quoniam probi viri ſunt honorandi, ideò mihi Ariſtidem laudandum ſuſcepi:

vel, ſi quis dicat, ſe hujuſmodi viros laudare velle, qui vulgò non celebrantur; non quia fuerint improbi, ſed quia cùm fuerint egregii, tamen in tenebris latent, ſicut Alexander Priami filius: nam, qui ſic exorditur, con- 100
ſultat. * Quinetiam ab iis, quæ propria ſunt judicialis generis, exordia ducuntur, quæ perſonam auditoris reſpiciunt; ut, ſi de re incredibili fiat oratio, vel ardua, vel communi, ac pervulgata: tunc enim venia petenda eſt, ut Chœrilus.

At nunc, cùm omnia jam vulgata.

Quapropter exordia demonſtrativi generis ex his ducuntur; ex laude, ex vituperatione, ex ſuaſione, & diſſuaſione, ex iis, quæ perſonam auditoris reſpiciunt. Oportet autem vel peregrina eſſe, vel accommodata rei, quæ ad ipſam orationem ducunt.

101 * Procemia verò judicialis generis advertendum eſt idem valere, quod fabularum prologi, & heroici carminis exordia: nam principia dithyramborum ſimilia ſunt demonſtrativi generis exordiis: ut,

Propter te, tuaque munera, atque ſpolia.

In fabulis autem, & heroicis verſibus principium eſt ſpecimen orationis futuræ, ut prævideant auditores, de quibus rebus ſermo futurus ſit, & ne eorum animus ſuſpenſus ſit; quod enim indefinitum eſt, huc, & & illuc vagari cogit: at qui principium tradit tanquam in manum, facit eum, qui tenet, orationem ſequi, ac percipere. Atque hac de cauſa dixit Homerus.

τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια, ἐκ τούτων· ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ ἀποτροπῆς, ἐκ τῶν πρὸς τὸν ἀκροατήν· δεῖ δὲ ἢ ξένα, ἢ οἰκεῖα εἶναι τὰ ἐνδόσιμα τῷ λόγῳ. * Τὰ δὲ τοῦ δικανικοῦ προοίμια, δεῖ λαβεῖν, ὅτι ταὐτὰ δύναται ὅπερ τῶν δραμάτων οἱ πρόλογοι, καὶ τῶν ἐπῶν τὰ προοίμια· τὰ μὲν γὰρ τῶν διθυράμβων, ὅμοια τοῖς ἐπιδεικτικοῖς.

Διὰ σὲ καὶ τεὰ δῶρα, εἴτε σκύλα.

ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστι τοῦ λόγου, ἵνα προειδῶσι περὶ οὗ ἦν ὁ λόγος, καὶ μὴ κρέμηται ἡ διάνοια. τὸ γὰρ ἀόριστον, πλανᾷ. ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν, ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ. διὰ τοῦτο.

Μῆνιν

Μῆνιν ἄειδε θεά.
Ἄνδρά μοι ἔννεπε μοῦσα.
Ἡγεό μοι λόγον ἄλλον, ὅπως Ἀσίας ἀπὸ γαίης
Ἦλθεν ἐς Εὐρώπην πόλεμος μέγας.

καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα, κἂν μὴ εὐθὺς, ὥσπερ Εὐριπίδης· ἀλλ' ἐν τῷ προλόγῳ γέ που δηλοῖ, ὥσπερ καὶ Σοφοκλῆς.

Ἐμοὶ πατὴρ ἦν Πόλυβος.

καὶ ἡ κωμῳδία ὡσαύτως. τὸ μὲν οὖν ἀναγκαιότατον ἔργον τοῦ προοιμίου καὶ ἴδιον τοῦτο, δηλῶσαι τί ἐστι τὸ τέλος, οὗ ἕνεκα ὁ λόγος. διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ. * Τὰ δὲ ἄλλα εἴδη, οἷς χρῶνται, ἰατρεύματα καὶ κοινά. λέγεται δὲ ταῦτα, ἔκ τε τοῦ λέγοντος, καὶ τοῦ ἀκροατοῦ, καὶ τοῦ πράγματος, καὶ τοῦ ἐναντίου. * Περὶ αὑτὸν μὲν καὶ τοῦ ἀντιδίκου,

Iram diva refer, &

Dic mihi muſa virum. & ille alter.

Muſa age jam, alterius dux nobis carminis eſto,
Ut magnum ex Aſia bellum proceſſit in oras Europa.

Tragici etiam poetæ docent initio, quid tota fabula contineatur. Quod ſi non ſtatim faciant, ut Euripides; at certè in prologo priùs, quàm abſolvatur, id faciunt, quemadmodum etiam Sophocles,

Pater mihi fuit Polybus.

& comœdia idem ſervat. Proœmii verò maximè neceſſarium, ac proprium munus eſt, finem inſtitutæ orationis aperire. Quare, ſi cauſa perſpicua fuerit, aut parva: licebit non uti principio; * Reliquæ verò 102
ſpecies, quibus utuntur, remedia quædam ſunt, & communia: ea verò ducuntur vel ab oratore ipſo; vel ab auditore, vel à cauſa, vel ab adverſario. * Ex ora- 103
tore ipſo, atque ex adverſario ducuntur ea,

quæ ad inferendum
crimen, & diſſolven-
dum pertinent, ſed non
tamen eodem modo;
nam qui defendit ſta-
tim criminibus occurre-
re debet: qui verò
accuſat, debet in per-
oratione criminari: hu-
jus rei cauſa non eſt ob-
ſcura; reus enim, cum ſe
inſinuare contendat, ne-
ceſſe habet omnia, quæ
104 obſtant, removere. * Qua-
re in primis adverſarii
criminationem diſſolvere
oportet: accuſator verò
debet in peroratione cri-
minari, ut faciliùs audi-
tores ea recordari poſ-
ſint. Quæ ad auditorem
pertinent, eò ſpectant, ut
vel eum nobis benevolum
faciamus, vel in adver-
ſarium concitemus, &
interdum, ut attentum
reddamus, vel contrà:
non enim ſemper pro-
deſt attentum redde-
re; quare multi riſum
conantur excitare. Ad
docilitatem verò condu-
cunt omnia, ſi quis
etiam id ſtudeat, ut
vir bonus eſſe videatur:
nam talibus viris ſe
præbent attentiores.

ὅσα περὶ διαβολὴν
λῦσαι καὶ ποιῆσαι. ἔστι
δὲ οὐχ ὁμοίως· ἀπολο-
γουμένῳ μὲν γὰρ, πρῶ-
τον τὰ πρὸς διαβο-
λήν· κατηγοροῦντι δ'
ἐν τῷ ἐπιλόγῳ· διὰ
δὲ οὐκ ἄδηλον· τὸν μὲν
γὰρ ἀπολογούμενον, ὅ-
ταν μέλλῃ εἰσάξειν
αὐτὸν, ἀναγκαῖον ἀνε-
λεῖν τὰ κωλύοντα·
ὥστε λυτέον πρῶτον τὴν
διαβολήν· τῷ δὲ δια-
βάλλοντι, ἐν τῷ ἐπι-
λόγῳ διαβλητέον, ἵνα
μνημονεύσωσι μᾶλ-
λον. τὰ δὲ πρὸς τὸν
ἀκροατὴν ἔκ τε τοῦ εὔ-
νουν ποιῆσαι, καὶ ἐκ τοῦ
ὀργίσαι, καὶ ἐνίοτε δὲ
ἐκ τοῦ προσεκτικὸν, ἢ
τοὐναντίον· οὐ γὰρ αἰεὶ
συμφέρει ποιεῖν προσεκ-
τικόν. διὸ πολλοὶ εἰς
γέλωτα πειρῶνται προά-
γειν. εἰς δὲ εὐμάθειαν
ἅπαντα ἀνάξει, ἐάν
τις βούληται καὶ τὸ ἐπιει-
κῆ φαίνεσθαι· προσέχου-
σι γὰρ μᾶλλον τούτοις.

προσ-

προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσι. διὸ δεῖ ἐμποιεῖν, ὡς περὶ τοιούτων ὁ λόγος. ἐὰν δὲ μὴ προσεκτικοὺς, ὅτι μικρὸν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν. * Δεῖ δὲ μὴ λανθάνειν, ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα· πρὸς φαῦλον γὰρ ἀκροατὴν καὶ τὰ ἔξω τοῦ πράγματος ἀκούοντα· ἐπεὶ ἂν μὴ τοιοῦτος ᾖ, οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν. * Ἔτι, τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινὸν, ἐὰν δέῃ, πανταχοῦ γὰρ ἀνιᾶσι μᾶλλον, ἢ ἀρχόμενοι. διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα πάντες προσέχοντες ἀκροῶνται. ὥστε ὅπου ἂν ᾖ καιρὸς, λεκτέον

Attenti fiunt auditores propter res magnas proprias, admirabiles, & jucundas; quare admonere eos oportet, de hujuſmodi rebus orationem eſſe. Quòd ſi eos non attentos eſſe volumus, dicemus, rem eſſe puſillam, nihil ad eos pertinentem, moleſtam, ac
odioſam. * Illud verò 105
tenendum eſt, hæc omnia eſſe extra cauſam poſita: nam ad depravatum auditorem ſpectant, & ad eum, qui libenter audit, quæ nihil ad rem faciunt: nam, niſi talis ſit, nihil opus eſt proœmio; ſed ſufficit id, quod cauſa poſtulat, ſummatim dicere, ut judex caput illud tanquam corpus cau-
ſæ totius habeat. * At- 106
tentos verò facere commune eſt omnium partium, cum opus eſt: nam alibi magis ubique, quàm initio, remittunt animum. Itaque ridiculum eſt, hoc initio conſtituere; quoniam attenti tunc maximè ſunt auditores: quare quoties ſe ſe offert occaſio, captanda attentio eſt.

Et, mihi animum advertit : neque enim mea magis, quàm veſtra res agitur: & dicam vobis acerbum facinus, nunquam aliàs à vobis auditum.

Aut non tàm admirabile, hoc enim eſt id, quod Prodicus dixit, ſe cum auditores dormitantes adverteret, aliquid in medio ſermone inſerere, ex illa ſua quinquaginta drachmarũ
107 demonſtratione. * Quòd autem ad auditorem habeantur proœmia, non quatenus auditor eſt, haud dubium eſſe poteſt: omnes enim in proœmiis vel criminantur, vel metum disjiciunt: *Dicam, ò rex non quanto ſtudio.*

Quid exordiris?

108 * Et qui malam cauſam habent, vel habere videntur, proœmiis utuntur, nam in quovis loco potiùs commorari melius eſt eis, quàm in ipſa cauſa. Itaque ſervi etiam non ad interrogata reſpondent, ſed verborum ambagibus utuntur, & longis exor-
109 diis. * Quomodo verò benevolentiam captare oporteat, anteà dictum eſt,

Καί μοι προσέχετε τὸν νοῦν· οὐδὲν γὰρ μᾶλλον ἐμὸν, ἢ ὑμέτερον· καὶ, ἐρῶ γὰρ ὑμῖν, οἷον οὐδεπώποτε ἀκηκόατε δεινὸν, ἢ οὕτω θαυμαστόν· τοῦτο δ' ἐστὶν, ὥσπερ ἔφη Πρόδικος, ὅτε νυστάξειεν οἱ ἀκροαταὶ παρεμβάλλειν τῆς πεντήκοντα δράχμου αὐτοῖς. * Ὅτι δὲ πρὸς τὸν ἀκροατὴν, οὐχ ᾗπερ ὁ ἀκροατὴς, δῆλον· πάντες γὰρ ἢ διαβάλλουσιν, ἢ φόβους ἀπολύουσιν ἐν τοῖς προοιμίοις.

Ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο.

Τί φροιμιάζῃ.

* Καὶ οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες· πανταχοῦ γὰρ βέλτιον διατρίβειν, ἢ ἐν τῷ πράγματι· διὸ οἱ δοῦλοι, οὐ τὰ ἐρωτώμενα λέγουσιν, ἀλλὰ τὰ κύκλῳ, καὶ προοιμιάζονται. * Πόθεν δ' εὔνους δεῖ ποιεῖν, εἴρηται, καὶ

καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων· ἐπεὶ δὲ καὶ λέγεται·

Δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν, ἠδ' ἐλεεινὸν,

τούτων δεῖ δύο στοχάζεσθαι. * Ἐν δὲ τοῖς ἐπιδεικτικοῖς οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατὴν, ἢ αὐτὸν, ἢ γένος, ἢ ἐπιτηδεύματ' αὐτοῦ, ἢ ἄλλως γέ πως· ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ Ἐπιταφίῳ, ἀληθὲς,

Ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ἀλλ' ἐν Λακεδαιμονίοις.

*Τὰ δὲ τῆς δημηγορικῆς ἐκ τῶν τοῦ δικανικοῦ λόγου ἐστί. φύσει δὲ ἥκιστα ἔχει· καὶ γὰρ καὶ περὶ οὗ ἴσασι. καὶ οὐδὲν δεῖται τὸ πρᾶγμα προοιμίου, ἀλλ' ἢ δι' αὐτὸν, ἢ τοὺς ἀντιλέγοντας, ἢ ἐὰν μὴ ἡλίκον βούλει ὑπολαμβάνωσιν, ἀλλ' ἢ μεῖζον, ἢ ἔλαττον·

& de cæteris hujuſmodi ſingulis; quoniam benè dictum eſt ab Homero:

Effice, ut adveniam, diva, ad Phæaces, amicus,
Aut miſerabilis;

hæc duo diligenter conſideranda ſunt. * In exordiis demonſtrativi generis efficere oportet, ut auditores unà laudari putent ſe, vel genus, vel ſtudia ſua, vel aliquo alio modo. Quod enim ait Socrates in funebri ſermone verum eſt; 110

Non difficile eſt Athenienſes Athenis laudare: ſed Lacedæmone.

111 * Deliberationum autem exordia à judiciali genere ſumuntur: natura enim deliberationes nulla habent exordia; quoniam ſciunt auditores, de qua re verba ſint facienda: & res ipſa nullo indiget proœmio, niſi vel propter ipſum oratorem, vel adverſarium, vel ſi res non tanta exiſtimetur, quantam ipſe vult; ſed vel major, vel minor.

Itaque vel criminari neceſſe eſt, vel crimina diſſolvere, vel amplificare, vel minuere. Horum igitur gratia deliberationes procœmio indigent, vel ornatus cauſa: nam, niſi procœmium habuerit, videtur temerè, ſubitoque effutita. Tale eſt encomium Gorgiæ in Elienſes: nulla enim brachiorum extenſione, nulla manuum commotione ſtatim incipit:

Elis beata civitas.

διὰ ἢ διαβάλλειν, ἢ ἀπολύεσθαι ἀνάγκη, καὶ ἢ αὐξῆσαι, ἢ μειῶσαι. τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν· ὡς αὐτοκάβδαλα φαίνεται, ἐὰν μὴ ἔχῃ. τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς Ἠλείους· οὐδὲν γὰρ προεξαγκωνίσας, οὐδὲ προανακινήσας, εὐθὺς ἄρχεται,

Ἦλις πόλις εὐδαίμων.

CAPUT XV.

De arte crimina adverſario objiciendi, & objecta diſſolvendi.

Aſſignantur undecim modi, & ſuis textibus diſtribuuntur.

112 1 * DE criminatione id primò dicendum, quæ valent ad delendam ex animis malam exiſtimationem, eadem etiam ad crimina depellenda: nihil enim refert, utrum alicujus ſermone ſit excitata illa opinio, nec ne:

α. * ΠΕΡΙ` δὲ διαβολῆς, ἓν μὲν τὸ ἐξ ὧν ἄν τις ὑπόληψιν δυσχερῆ ἀπολύσαιτο· οὐδὲν γὰρ διαφέρει, εἴτε εἰπόντος τινὸς, εἴτε μή· ὥστε

ὥστε τὸ καθόλου. *Ἄλλος τρόπος, ὥστε πρὸς τὰ ἀμφισβητούμενα ἀπαντᾷν, ἢ ὡς οὐκ ἔστιν, ἢ ὡς οὐ βλαβερὸν, ἢ οὐ τούτῳ, ἢ ὡς οὐ τηλικοῦτον, ἢ οὐκ ἄδικον, ἢ οὐ μέγα, ἢ οὐκ αἰσχρὸν, ἢ οὐκ ἔχον μέγεθος· περὶ γὰρ τοιούτων ἡ ἀμφισβήτησις· ὥσπερ Ἰφικράτης πρὸς Ναυσικράτην· ἔφη γὰρ ποιῆσαι ὃ ἔλεγε, καὶ βλάψαι, ἀλλ' οὐκ ἀδικεῖν. *Ἢ ἀντικαταλλάττεσθαι ἀδικοῦντα, εἰ βλαβερὸν; ἀλλὰ καλὸν, εἰ λυπηρὸν, ἀλλ' ὠφέλιμον, ἤ τι ἄλλο τοιοῦτον. *Ἄλλος τρόπος, ὡς ἔστιν ἁμάρτημα, ἢ ἀτύχημα, ἢ ἀναγκαῖον· οἷον Σοφοκλῆς ἔφη, τρέμειν οὐχ ὡς ὁ διαβάλλων ἔφη, ἵνα δοκῇ γέρων, ἀλλ' ἐξ ἀνάγκης· οὐ γὰρ ἑκόντι εἶναι αὐτῷ ἔτη ὀγδοήκοντα.

quare hoc generatim prodeſt. *Alius modus eſt, 113
ut ita criminationi occurramus, ſicut in judicio illis, de quibus arguimur, vel non eſſe factum, vel non eſſe pernicioſum, vel non illi, vel non tàm magnum eſſe, vel non iniquum, vel non magnum, vel non turpe, aut rem eſſe puſillam: nam de rebus hujuſmodi ſolet eſſe controverſia, quemadmodum Iphicrates contra Nauſicratem: dixit enim ſe feciſſe, quod ille dicebat, atque etiam læſiſſe; nihil tamen
iniqui ſe commiſiſſe. *Vel, 114
ſi quid injuſtè factum eſt, id compenſare hoc modo. Si detrimentum attulit, at fuit honeſtum: ſi moleſtum, at utile, vel aliquid hujuſmodi.
*Alius modus eſt, cum 115
dicimus, aut errorem fuiſſe, aut fortunæ culpa eveniſſe, aut neceſſitate, quemadmodum Sophocles ſe tremere dixit, non, ut calumniator objecerat, quo ſenex videretur, ſed neceſſariò: non enim ſua ſponte ad annos octaginta perveniſſe.

S 5 Licet

Licet etiam finem, cujus gratia factum eſt aliquid, commutare: ut lædere nolebat, ſed aliud efficere: & non hoc ſtudebat, quod calumniator ait, ſed accidit, ut is læderetur: eſſet autem odio dignus, ſi id efficere ſtuduiſset.
116 * Alius modus eſt, cum advertitur: an is, qui calumniatur, in eadem culpa ſit hoc tempore, vel anteà fuerit vel ipſe, vel aliquis ex e-
117 jus propinquis. * Alius modus, ſi illi comprehenduntur in illa criminatione, quos omnes fatentur, non eſſe criminationi obnoxios, ut: Si purus eſt adulter; ergo etiam hic, atque ille.
118 * Alius modus, ſi alios falsò inſimulavit, vel alius eoſdem. Vel ſine criminatione alicujus tales exiſtimabantur, quales ipſe nunc: qui tamen non culpæ affines eſſe reperti ſunt. Alius modus ſi criminantem recrimineris: nam abſurdum eſt, ſi ille dignus eſt, cui non credatur, ut ejus oratio fidem
119 faciat. * Alius modus, ſi jam factum eſt judicium,

καὶ ἀντικαταλλάττεσθαι τὸ οὗ ἕνεκα, ὅτι οὐ βλάψαι ἠβύλετο, ἀλλὰ τόδε, καὶ οὐ τοῦτο ὃ διεβάλλετο, ποιῆσαι· συνέβη δὲ βλαβῆναι. δίκαιον δὲ μισεῖν, εἰ ὅπως τοῦτο γένηται, ἐποίουν. * Ἄλλος, εἰ ἐμπεριείληπται ὁ διαβάλλων, ἢ νῦν, ἢ πρότερον, ἢ αὐτὸς, ἢ τῶν ἐγγύς. * Ἄλλος, εἰ ἄλλοι ἐμπεριλαμβάνονται, οὓς ὁμολογοῦσι μὴ ἐνόχους εἶναι τῇ διαβολῇ· οἷον, εἰ ὅτι καθαρὸς ὁ μοιχὸς, καὶ ὁ δεῖνα, καὶ ὁ δεῖνα ἄρα. * Ἄλλος, εἰ ἄλλους διέβαλεν, ἢ ἄλλος αὐτόν· ἢ ἄνευ διαβολῆς ὑπελαμβάνοντο, ὥσπερ αὐτὸς νῦν, οἳ πεφήνασιν οὐκ ἔνοχοι. ἄλλος ἐκ τοῦ ἀντιδιαβάλλειν τὸν διαβάλλοντα. ἄτοπον γὰρ, εἰ ὁ αὐτὸς ἄπιστος, οἱ τούτου λόγοι ἔσονται πιστοί. * Ἄλλος, εἰ γέγονε κρίσις·

ὥσπερ

ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα ἐν τῇ ἀντιδόσει κατηγοροῦντα, ὡς ἀσεβὴς, ὅς γ' ἐποίησε κελεύων ἐπιορκεῖν·

Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

ἔφη γὰρ αὐτὸν ἀδικεῖν τὰς ἐκ τοῦ Διονυσιακοῦ ἀγῶνος κρίσεις εἰς τὰ δικαστήρια ἄγοντα· ἐκεῖ γὰρ αὐτὸν δεδωκέναι λόγον ἢ δώσειν, εἰ βούλεται κατηγορεῖν. * Ἄλλος ἐκ τοῦ διαβολῆς κατηγορεῖν, ἡλίκον· καὶ τοῦτο, ὅτι ἄλλας κρίσεις ποιεῖ. * Κοινὸς δ' ἀμφοῖν ὁ τόπος, τὸ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς, ὅτι οἰκεῖος τῷ Πριάμῳ· ἡ γὰρ Ἡσιόνη ἀδελφή· ὁ δὲ, ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν κατασκόπων. * Ἄλλος, τῷ διαβάλλοντι, τῷ ἐπαινοῦντι μικρὸν,

quemadmodum Euripides contra Hygiænontem in cauſa, quæ antidoſis dicebatur, cum accuſaretur tanquam impius quòd carmen illud feciſſet:

Juravi lingua, mentem injuratam gero;

quòd juberet pejerare. Dixit enim eum injuſtè facere, qui judicia ex certamine Liberi patris in forum adduceret; ſe enim ibi rationem jam reddidiſſe, aut redditurum, ſi ibi vellet accu-
ſare. * Alius modus, ſi 120
calumniam ipſam vituperes, & oſtendas, quàm grave malum ſit, quoniam judicia commutat,
ac perturbat. * Communis 121
locus ambobus eſt, ſigna commemorare: ut in Teucro Ulyſſes ait, Teucrum eſſe Priamo ſanguine conjunctum: quoniam Heſione Priami ſoror fuit; ille verò dixit, patrem ſuum Telamonem Priamo hoſtem fuiſſe, neque ſpeculato-
res indicaſſe. * Alius mo- 122
dus accuſatoris proprius, ſi paulum laudet, ut gra-

ut graviùs, & diutiùs vituperet, &, ſi quod magnum eſt, breviter tranſeat, vel, ſi multa bona proponat, deinde unum, quod ad cauſam faciat, crimen proferens, vituperet. Tales enim ſunt maximè artificioſi, atque iniquiſſimi calumniatores, qui in rebus bonis adverſarium lædere conantur, cum ea malo permiſceant. *Illud verò commune eſt, & crimen inferenti, & depellenti, quoniam fieri poteſt, ut eadem res pluribus de cauſis facta ſit; qui criminatur, eam depravare debet, atque in deteriorem partem inflectere: contrà, qui crimina diſſolvit, in meliorem partem trahere; ut, quòd Diomedes ſocium elegerit Ulyſſem, ideò factum eſſe, quoniam optimum eum Græcorum exiſtimabat: imò verò, dicet alius, quia ſolùm eum tanquam ignavum, ac imbellem, ſibi non fore æmulum judicabat. Ac de criminatione quidem hæc dicta ſint.

123

μακρῶς ψέξαι, μέγα συντόμως, ἢ πολλὰ ἀγαθὰ προθέντα, ὃ εἰς τὸ πρᾶγμα προφέρῃ ἓν ψέξαι. τοιοῦτοι δ' οἱ τεχνικώτατοι καὶ ἀδικώτατοι· τοῖς ἀγαθοῖς γὰρ βλάπτειν πειρῶνται, μιγνύντες αὐτὰ τῷ κακῷ. * Κοινὸν δὲ τῷ διαβάλλοντι καὶ τῷ ἀπολυομένῳ, ἐπειδὴ τὸ αὐτὸ ἐνδέχεται πλειόνων ἕνεκα πραχθῆναι, τῷ μὲν διαβάλλοντι, κακοηθιστέον ἐπὶ τὸ χεῖρον ἐκλαμβάνοντι· τῷ δὲ ἀπολυομένῳ ἐπὶ τὸ βέλτιον· οἷον ὅτι ὁ Διομήδης τὸν Ὀδυσσέα προείλετο, τῷ μὲν, ὅτι διὰ τὸ ἄριστον ὑπολαμβάνειν τὸν Ὀδυσσέα· τῷ δ', ὅτι οὔ, ἀλλὰ διὰ τὸ μόνον μὴ ἀνταγωνιστὴν, ὡς φαῦλον· καὶ περὶ μὲν διαβολῆς εἰρήσθω τοσαῦτα.

CA-

CAPUT XVI.

De narratione.

DIVISIO CAPITIS IN PARTES DUAS.

1 *In genere demonſtrativo narratio non debet eſſe continua.*

2 *In judiciali, primò debet eſſe quidem brevis, ſed tamen quantùm res patitur; ſecundò probabilis, & habere reliquas conditiones, quę aſſignantur in unoquoque textu uſque ad finem.*

ε. * Διήγησις δ' ἐν μὲν τοῖς ἐπιδεικτικοῖς ἐστιν οὐκ ἐφεξῆς, ἀλλὰ κατὰ μέρος· δεῖ μὲν γὰρ τὰς πράξεις διελθεῖν, ἐξ ὧν ὁ λόγος· σύγκειται γὰρ ἔχων ὁ λόγος, τὸ μὲν, ἄτεχνον. * Οὐδὲν γὰρ αἴτιος ὁ λέγων τῶν πράξεων· τὸ δὲ ἐκ τῆς τέχνης· τοῦτο δ' ἐστὶν, ἢ ὅτι ἐστὶ δεῖξαι ἐὰν ᾖ ἄπιστον, ἢ ὅτι ποῖον, ἢ ὅτι πόσον, ἢ καὶ ἅπαντα. Διὸ δὲ τὴν ἐνίοτε οὐκ ἐφεξῆς δεῖ διηγεῖσθαι πάντα, ὅτι δυσμνημόνευτον τὸ δεικνύναι οὕτως.

*1 NARRATIO verò in exornationibus non perpetua eſt; ſed in plures partes diſſecta; nam actiones, & res geſtas commemorare opus eſt, ex quibus oratio conſtituitur. Conſtat autem oratio tùm ex iis, quæ ſunt artis expertia: * neque enim is, qui dicit, auctor eſt rerum geſtarum; tùm ex iis, quæ ab arte proveniunt, ut cum rem factam eſſe docere opus eſt, ſi fuerit incredibilis, vel qualis ſit, aut quanta, vel hæc ſimul omnia. Quapropter interdum non oportet uti perpetua narratione; quoniam difficulter memoriæ mandantur, quæ ita confirmantur: ut 3

124

125

S 7 Ex

Ex his quidem actionibus fortis eſſe cognoſcitur; ex illis verò ſapiens, aut juſtus.
Atque hæc oratio ſimplicior eſt, illa verò varia,
126 & non exilis. * Sed quæ
nota ſunt, & pervulgata,
tantùm reducere in memoriam opus eſt; quo fit, ut multa narratione nihil indigeant; ut, ſi volueris Achillem laudare; ſciunt enim omnes ejus res geſtas, ſed eis uti oportet: ſi verò Critiam, narrare oportet; neque enim multi ſciunt, quæ geſſerit.
127 2 * Ridiculè verò faciunt
ii, qui dicunt narrationem brevem eſſe oportere: atqui, quod quidam piſtori panem ſubigenti, percontantique, durum ne, an mollem ſubigeret,

Quid? benè, inquit, omnino ſubigere non licet;

Idem huc etiam accommodari poteſt. Neque enim prolixa uti narratione oportet, neque prolixo exordio, neque probationibus: ſed neque hac in parte rectè ſe habet breviter, conciſèque narrare:

Ἐκ μὲν οὖν τούτων, ἀνδρεῖος· ἐκ δὲ τῶνδε σοφὸς, ἢ δίκαιος. καὶ ἁπλούστερος ὁ λόγος οὗτος· ἐκεῖνος δὲ, ποικίλος, καὶ οὐ λιτός. * Δεῖ δὲ, τὰς μὲν γνωρίμους ἀναμιμνήσκειν· διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως· οἷον, εἰ θέλεις Ἀχιλλέα ἐπαινεῖν· ἴσασι γὰρ πάντες τὰς πράξεις· ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ. ἐὰν δὲ Κριτίαν, δεῖ· οὐ γὰρ πολλοὶ ἴσασι.

β. * Νῦν δὲ γελοίως τὴν διήγησίν φασι δεῖν εἶναι ταχεῖαν· καίτοι ὥσπερ ὁ τῷ μάττοντι ἐρομένῳ, πότερον σκληρὰν ἢ μαλακὴν μάξει. Τί δ' ἔφη· εὖ, ἀδύνατον; καὶ ἐνταῦθα ὁμοίως. δεῖ γὰρ μὴ μακρῶς διηγεῖσθαι, ὥσπερ οὐδὲ προοιμιάζεσθαι μακρῶς, οὐδὲ τὰς πίστεις λέγειν· οὐδὲ γὰρ ἐνταῦθά ἐστι τὸ εὖ, ἢ τῷ ταχὺ, ἢ τῷ συντόμως, ἀλλὰ

ἀλλὰ τῷ μετρίως. τοῦτο δ' ἐστὶ τὸ λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα, ἢ ὅσα ποιήσει ὑπολαβεῖν γεγονέναι, ἢ βεβλακέναι, ἢ ἠδικηκέναι, ἢ τηλικαῦτα ἡλίκα βούλει· τῷ δὲ ἐναντίῳ τὰ ἐναντία. * Παραδιηγεῖσθαι δὲ, ὅσα εἰς τὴν σὴν ἀρετὴν φέρει· οἷον,

Ἐγὼ δ' ἐνουθέτουν αἰεὶ τὰ δίκαια, λέγων μὴ τὰ τέκνα ἐγκαταλείπειν.

ἢ θατέρου κακίαν.

Ὁ δὲ ἀπεκρίνατό μοι, ὅτι οὗ ἂν ᾖ αὐτὸς, ἔσται ἄλλα παιδία·

ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους ἀποκρίνασθαί φησιν ὁ Ἡρόδοτος· ἢ ὅσα ἡδέα τοῖς δικασταῖς. * Ἀπολογουμένῳ δὲ, ἐλάττων ἡ διήγησις. αἱ δ' ἀμφισβητήσεις, ἢ μὴ γεγονέναι, ἢ μὴ βλαβερὸν εἶναι, ἢ μὴ ἄδικον, ἢ μὴ τηλικοῦτον. ὥστε περὶ τὸ ὁμολογούμενον οὐ διατριπτέον.

verùm, quod medium eſt ſervare decet, hoc eſt, dicere, quæ ſatis ſint ad rem explanandam, vel quæ in opinionem inducant, rem eſſe factam, vel eum læſiſſe, vel injuſtè ſe geſſiſſe; vel cætera ejus generis, quæcunque voluerit. Adverſario verò contraria convenient. * Inſerere etiam narrationi debes, quę probitatem tuam ſignificent; ut, 128

Ego quidem nunquam admonere deſtiti, quæ juſta eſſe ſentiebam; ne filios degereret:

vel quæ declarent alterius improbitatem; ut.

Ille verò mihi reſpondit, ſibi ubicunque fuerit, alios non defuturos filios,

quod Ægyptios reſpondiſſe, cum à rege ſuo defeciſſent, ſcribit Herodotus, vel quæ judicibus ipſis jucunda ſint. * Defenſori autem narratio minor eſt, ſed ſunt hujuſmodi controverſiæ, vel non eſſe factum, vel non detrimentum attuliſſe, vel non injuſtè factum, vel non tàm magnum eſſe. Quare non eſt in eis commorandum, quæ certa ſunt, 129

niſi cauſæ proſint; ut, factum quidem eſſe, ſed non
130 eſſe injuſtum. * Præterea res eas geſtas narrare oportet, quæ dum fiunt, neque miſerationem, neque indignationem commovent; exemplum eſt hujus rei apologus Alcinoi, quem apud Penelopem ſexaginta verſibus explicuit, & ſicut Phayllus circulum abſolvit; &, qualis eſt OEnei prologus.
131 * Moratam autem oportet eſſe narrationem; quod facilè fiet, ſi quid mores efficiat, intellexerimus. Atque illud primò, qua mente factum ſit, oſtendere, mores indicat, nam, qualis eſſe mens oſtenditur, tales etiam mores habentur: mens autem à fine, quem ſibi conſtituit, vel bona, vel mala dicitur, atque hac de cauſa mathematicæ locutiones non habent mores: quoniam mentem, ac delectum nullum habent; nam actionis fine carent. At verò Socratici ſermones habent mores; quoniam de rebus eis ſunt, quæ alicujus gratia fiunt.

ἐὰν μή τι εἰς ἐκεῖνο συντείνῃ, οἷον εἰ πέπρακται, ἀλλ' οὐκ ἄδικον. * Ἔτι πεπραγμένα δεῖ λέγειν, ὅσα μὴ πραττόμενα, ἢ οἶκτον, ἢ δείνωσιν φέρει· παράδειγμα ὁ Ἀλκινόου ἀπόλογος, ὅτε πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσι πεποίηται. καὶ ὡς Φάϋλλος τὸν Κύκλον, καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος. * Ἠθικὴν δὲ δεῖ τὴν διήγησιν εἶναι. ἔσται δὲ τοῦτο, ἂν εἰδῶμεν τί ἦθος ποιεῖ. ἓν μὲν δὴ τὸ προαίρεσιν δηλοῦν· ποιὸν δὲ τὸ ἦθος, τῷ ποιὰν ταύτην. ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει. διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν· τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν, ἀλλ' οἱ Σωκρατικοί· περὶ τοιούτων γὰρ λέγουσιν.

ἀλλὰ

ἀλλὰ ἠθικὰ τὰ ἑπόμενα ἑκάστῳ ἤθει. οἷον

Ὅτι ἅμα λέγων ἐβάδιζε.

δηλοῖ γὰρ θρασύτητα καὶ ἀγροικίαν ἤθους· καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν, ἀλλ' ὡς ἀπὸ προαιρέσεως.

Ἐγὼ δὲ ἐβουλόμην, καὶ προειλόμην γὰρ τοῦτο. ἀλλ' εἰ μὴ ὠνάμην, βέλτιον.

τὸ μὲν γὰρ, φρονίμου, τὸ δὲ, ἀγαθοῦ· φρονίμου μὲν γὰρ ἐν τῷ τὸ ὠφέλιμον διώκειν· ἀγαθοῦ δ', ἐν τῷ τὸ καλόν. * Ἂν δὲ ἄπιστον ᾖ, τότε τὴν αἰτίαν ἐπιλέγειν· ὥσπερ Σοφοκλῆς ποιεῖ παράδειγμα τὸ ἐκ τῆς Ἀντιγόνης, ὅτι μᾶλλον τοῦ ἀδελφοῦ ἐκήδετο, ἢ ἀνδρὸς, ἢ τέκνων·

— Τὰ μὲν γὰρ ἂν γενέσθαι, ἀπολομένων.
Μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς βεβηκότων,
Οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.

Sed ea quoque morata dicuntur, quæ cujuſque mores conſequuntur; ut,

Hæc dicebat, & eodem tempore diſcedebat;

hoc enim audaciam, & ruſticitatem morum indicat; &, non tanquam ex præmeditatione dicere, quemadmodum hujus temporis oratores ſolent, ſed tanquam ex mente, atque delectu;

Ego quidem hoc volebam, & facere conſtitueram, & quamvis mihi non prodeſſet, tamen honeſtius eſſe putabam.

Illud quidem prudentis eſt, at hoc probi viri; prudentis enim id eſt ſequi, quod utile ſit; probi verò,
quod honeſtum. *Quòd 13
ſi res fide careat, tunc illi cauſam adjungere oportet, quemadmodum Sophocles exemplo nobis eſt in Antigona, quæ dicit, ſe magis fratrem curare, quàm maritum, aut filios:

-nam hos, etiam ſi perdiderit, ſe poſſe recuperare. Utriſque verò mortuis parentibus,
Non frater ullus exoriri unquam poteſt. —

Quòd,

Quòd, ſi cauſam nullam adferre poteris, dic, te non ignorare, quæ dicis, incredibilia videri: ſed tamen tuam eſſe naturam ejuſmodi; neque enim creditur aliquem ſua ſponte facere id, quod utile
133 non eſt. * Debent etiam in narratione poni, quæ movere animum poſſint; ut, ſi narrentur ea, quæ commotiones ſequuntur, aut quæ nota ſunt iis, qui audiunt: &, quæ privatim, vel ſibi, vel adverſario propria ſunt.

Ille verò diſcedens, ad me frequenter oculos convertebat:

&, quod de Cratylo dixit Æſchines, quod exibilaret, & manibus exploderet; hæc enim fidem faciunt; quoniam ea, quæ nota ſunt, eorum ſunt indicia, quæ ipſi neſciunt; plurima verò hujuſmodi licet ab Homero ſumere:

Aſt anus ad faciem palmas utraſque tetendit:

nam, qui lugere incipiunt, oculos manu tan-
134 gere ſolent. * Statim verò te ipſum inſinua, probumque virum oſtende,

ἐὰν δὲ μὴ ἔχῃς αἰτίαν, ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων. ἀλλὰ φύσει τοιοῦτος εἶ· ἀπιστοῦσι γὰρ ἄλλό τι πράττειν ἑκόντα, πλὴν τὸ συμφέρον. * Ἔτι, ἐκ τῶν παθητικῶν λέγειν, διηγούμενον καὶ τὰ ἑπόμενα, καὶ ἃ ἴσασι, καὶ τὰ ἴδια ἢ αὑτῷ, ἢ ἐκείνῳ προσόντα.

Ὁ δ' ᾤχετό με ὑποβλέψας.

καὶ ὡς περὶ Κρατύλου Αἰσχίνης, ὅτι διασίζων καὶ ταῖν χεροῖν διασείων· πιθανὰ γάρ. διότι σύμβολα γίνεται ταῦτα ἃ ἴσασιν ἐκείνων ὧν οὐκ ἴσασι. πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ Ὁμήρου ἐστίν.

Ὡς ἄρ', ἔφη, γρηῦς δὲ κατέσχετο χερσὶ πρόσωπα.

οἱ γὰρ δακρύειν ἀρχόμενοι, ἐπιλαμβάνονται τῶν ὀφθαλμῶν. * Καὶ εὐθὺς εἰσάγαγε σεαυτὸν ποιόν τινα,

ἵνα

ἵνα ὡς τοιοῦτον θεωρῶσι, καὶ τὸν ἀντίδικον. λανθάνων δὲ ποίει. ὅτι δὲ ῥάδιον, ὁρᾶν δεῖ ἐκ τῶν ἀπαγγελλόντων. περὶ ὧν γὰρ μηδὲν ἴσμεν, ὅμως λαμβάνομεν ὑπόληψίν τινα. * Πολλαχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐνίοτε οὐκ ἐν ἀρχῇ. * Ἐν δὲ δημηγορίᾳ ἥκιστα διήγησίς ἐστιν, ὅτι περὶ τῶν μελλόντων οὐθεὶς διηγεῖται· ἀλλ' ἐάνπερ διήγησις ᾖ, τῶν γενομένων ἔσται, ἵν' ἀναμνησθέντες ἐκείνων, βέλτιον βουλεύσονται περὶ τῶν ὕστερον, ἢ διαβάλλοντες, ἢ ἐπαινοῦντες. ἀλλὰ τότε, οὐ τὸ τοῦ συμβούλου ποιοῦσιν ἔργον. * Ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαί τε καὶ αἰτίαν λέγειν εὐθὺς, καὶ διατάττειν οἷς βούλονται.

contrà preme adverſarium : ut deinceps in tota oratione te, atque illum talem exiſtiment : ſed occultè hoc facito. Quòd autem hoc facile ſit, licet ex eis intelligere, qui nobis aliquid annuntiant : quamvis enim de ea re nihil anteà ſciremus : tamen ſtatim quandam opinionem concipimus. *Mul- 135
tis autem in locis narrare opus eſt, & aliquando non eſt in principio narrandum. *In deliberatione narra- 136
tio locum non habet ; quoniam de rebus futuris nemo narrat ; ſed, ſi ulla narratio fuerit, de præteritis erit ; ut in memoriam ea reducentes, de futuris meliùs conſultent. Sed ea, quæ præterita ſunt, vel vituperant, vel laudant ; itaque tunc deliberantis munus non exequuntur. * Quod, ſi fuerit in- 137
credibile, quod narras, debes polliceri, te ſtatim cauſam allaturum, vel eorum arbitrio rem commiſſurum, quorum ipſi voluerint : ut Jo-

ut Jocaſta in OEdipode Carcini ſemper pollicetur; cum eam interrogaret is, qui filium querebat: & Æmon apud Sophoclem.

οἷον, ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι, αἰεὶ ὑπισχνεῖται, πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν. καὶ ὁ Αἵμων ὁ Σοφοκλέους.

CAPUT XVII.

De confirmatione.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *In genere judiciali de quatuor ſolere eſſe controverſiam.*

2 *In genere exornativo queri utrum res, que facta ſunt, fuerint honeſte an utiles, & magna, an parva.*

3 *In deliberativo quatuor illa quari ſolere, que queruntur in genere judiciali.*

4 *Traduntur undecim precepta circa confirmationem.*

5 *Item duo alia circa orationem moratam.*

138 * 1 PROBATIONES autem ad fidem faciendam plurimum va-
139 lere debent. * Et, quoniam quadripertitò quæſtiones diſtributæ ſunt; ea confirmare oportet, quæ in controverſiam veniunt, & de quibus cum adverſario contenditur: ut, ſi de facto controverſia eſt, in judicio maximè hoc erit argumentis confirmandum.

ά. * ΤΑ'Σ δὲ πίστεις δεῖ ἀποδεικτικὰς εἶναι. * Ἀποδεικνύναι δὲ χρή, ἐπεὶ περὶ τεττάρων ἡ ἀμφισβήτησις, περὶ τοῦ ἀμφισβητουμένου φέροντα τὴν ἀπόδειξιν. οἷον, εἰ ὅτι οὐ γέγονεν, ἀμφισβητεῖ, ἐν τῇ κρίσει δεῖ τούτου μάλιστα τὴν ἀπόδειξιν φέρειν

εἰ

εἰ δ' ὅτι οὐκ ἔβλαψε τοῦτο, καὶ ὅτι οὐ τοσόνδε, ἢ ὅτι δικαίως· ὡσαύτως καὶ εἰ περὶ τοῦ γενέσθαι τοῦτο ἡ ἀμφισβήτησις. μὴ λανθανέτω δ', ὅτι ἀναγκαῖον ἐν ταύτῃ τῇ ἀμφισβητήσει μόνῃ τὸν ἕτερον εἶναι πονηρόν· οὐ γάρ ἐστιν ἄγνοια αἰτία· ὥσπερ ἂν εἴ τινες περὶ τοῦ δικαίου ἀμφισβητοῖεν. ὥστ' ἐν τούτῳ χρονιστέον· ἐν δὲ τοῖς ἄλλοις, οὔ.

β'. * Ἐν δὲ τοῖς ἐπιδεικτικοῖς, τὸ πολὺ, ὅτι καλὰ καὶ ὠφέλιμα, ἡ αὔξησις ἔσται. τὰ γὰρ πράγματα δεῖ πιστεύεσθαι· ὀλιγάκις γὰρ καὶ τούτων ἀποδείξεις φέρουσιν, ἐὰν ἄπιστα ᾖ, ἢ ἐὰν ἄλλος αἰτίαν ἔχῃ.

γ'. * Ἐν δὲ τοῖς δημηγορικοῖς, ἢ ὡς οὐκ ἔσται, ἀμφισβητήσειεν ἄν τις. ἢ ὡς ἔσται μὲν ἃ κελεύει, ἀλλ' οὐ δίκαια· ἢ οὐκ ὠφέλιμα, ἢ οὐ τηλικαῦτα.

Quòd, ſi te non læſiſſe dicas: hoc probare debes; aut, ſi dicas non eſſe tàm magnum, aut juſtè factum. Non enim hæc aliter confirmanda ſunt, quàm ſi fuerit de facto controverſia. Illud verò ſciendum eſt, in in hac ſola de facto controverſia neceſſarium eſſe, ut alter litigantium improbus ſit: neque enim ignorantia controverſiæ cauſa eſt; ut, ſi quidam inter ſe de æquo, juſtoque contenderent. Quapropter in hoc diù commorandum eſt, in aliis verò minimè.

2 * In exornationibus ea cura eſſe debet, ut quæ honeſta, atque utilia facta dicuntur, plurimum amplificentur, nam ea credi opus eſt; ſi quidem raro probationem requirunt, niſi fortè ſint incredibilia, vel aliquis alius auctor eorum exiſtimetur. 140

3 * In deliberationibus poteſt aliquis differere, vel non futura ea, de quibus deliberant: vel futura quidem, ſed non juſta, non utilia, non tàm magna. 141

4 * Ad-

142 4 * Advertendum eſt etiam, utrum aliquid, quod falſum ſit, dicat, quamvis extra cauſam: nàm hæc aliorum judicia videntur, 143 nempe eum mentiri. * At ex probationibus exempla ſunt deliberativo generi accommodatiſſima; enthymemata verò magis judiciali conveniunt, nam deliberatio eſt de futuro. Quare ex rebus jam factis exempla ad probandum ducere oportet; judicium autem eſt de iis, quæ ſunt, aut non ſunt, in quibus magis eſt probatio, & neceſſitas: quod enim præteritum eſt, in ſe neceſſi-144 tatem habet. * Non oportet autem inculcare, & continuare enthymemata; ſed cum aliis probationibus permiſcere. Alioqui ſe viciſſim infringunt, nam eſt etiam modus in quantitate;

Care mihi, poſtquam tot tantum es verba locutus,

Quot ſolet effari prudens, 145 non enim dixit, talia. * Neque res omnes argumentis confirmandę ſunt: alioquin idem efficies, quod nonnulli faciunt philoſophi,

δʹ. * Δεῖ δὲ καὶ ὁρᾶν εἴ τι ψεύδεται ἐκτὸς τοῦ πράγματος· τεκμήρια γὰρ ταῦτα φαίνεται καὶ τῶν ἄλλων ὅτι ψεύδεται. * Ἔστι δέ, τὰ μὲν παραδείγματα, δημηγορικώτατα· τὰ δ' ἐνθυμήματα, δικανικώτερα· ἡ μὲν γὰρ περὶ τὸ μέλλον· ὥστ' ἐκ τῶν γενομένων ἀνάγκη παραδείγματα λέγειν· ἡ δὲ περὶ ὄντων ἢ μὴ ὄντων, οὗ μᾶλλον ἀπόδειξίς ἐστι καὶ ἀνάγκη· ἔχει γὰρ τὸ γεγονὸς, ἀνάγκην. * Οὐ δεῖ δὲ ἐφεξῆς λέγειν τὰ ἐνθυμήματα, ἀλλ' ἀναμιγνύναι· εἰ δὲ μή, καταβλάπτει ἄλληλα· ἔστι γὰρ καὶ τοῦ ποσοῦ ὅρος.

Ὦ φίλ', ἐπεὶ τόσα εἶπες, ὅσ' ἂν πεπνυμένος ἀνήρ·

ἀλλ' οὐ τοιαῦτα. * Καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν. εἰ δὲ μή, ποιήσεις ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων,

οἱ

οἱ συλλογίζονται τὰ γνωριμώτερα καὶ πιστότερα, ἢ ἐξ ὧν λέγουσι. * Καὶ ὅταν πάθος ποιῇς, μὴ λέγε ἐνθύμημα· ἢ γὰρ ἐκκρούσει τὸ πάθος, ἢ μάτην εἰρημένον ἔσται τὸ ἐνθύμημα· ἐκκρούουσι γὰρ αἱ κινήσεις ἀλλήλας αἱ ἅμα, καὶ ἢ ἀφανίζουσιν, ἢ ἀσθενεῖς ποιοῦσιν· οὐδ' ὅταν ἠθικὸν τὸν λόγον, οὐ δεῖ ἐνθύμημά τι ζητεῖν ἅμα· οὐ γὰρ ἔχει οὔτε ἦθος, οὔτε προαίρεσιν ἡ ἀπόδειξις. * Γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει, καὶ ἐν πίστει· ἠθικὸν γάρ. Καὶ ἐγὼ δέδωκα, καὶ ταῦτ' εἰδὼς, ὡς οὐ δεῖ πιστεύειν· ἐὰν δὲ παθητικῶς, Καὶ οὐ μεταμέλει μοι, καίπερ ἠδικημένῳ· τούτῳ γὰρ περίεστι τὸ κέρδος· ἐμοὶ δὲ τὸ δίκαιον.

qui ſyllogiſmos adhibent
ad ea, quæ notiora ſunt,
ac certiora, quàm ea,
quæ ſumunt. * Et, cum 146
animos commovere vis,
ne argumento utaris.
Vel enim commotionem
extrudet, vel inane,
fruſtraque dictum erit
argumentum, nam commotiones
animi ſe viciſſim
expellunt, nec ſimul
eſſe poſſunt, ſed vel evaneſcunt,
vel imbecilliores
redduntur. Neque,
cum mores exprimere
orationem volumus, oportet
ſimul argumenta
quærere: nam demonſtratio
neque mores,
neque electionem exprimit.
Sententiis au- 147
tem utendum eſt & in
narratione, & in confirmatione:
nam ad mores
exprimendos valent:
ut, Ego verò pecuniam
ei credidi, quamvis ſcirem
nemini fidem habendam
eſſe, quod ſi vehementiùs,
& cum animi
motu. Neque tamen me
pœnitet, quamvis injuriam,
ac detrimentum
acceperim: iſti enim lucrum
ſupereſt, mihi verò
æquitas, ac juſtitia.

* Eſt

148 *Eſt autem difficilius in deliberativo, quàm in judiciali genere verſari: & meritò; quoniam de futuro deliberatio eſt, judicium verò de præterito. Quod jam ab auguribus etiam ſciri poteſt, quemadmodum dixit Cretenſis Epimenides: is enim non de futuris divinabat, ſed de præteritis, quæ tamen eſſent obſcura. Quin in judicialibus controverſiis lex eſt, tanquam fundamentum, qui verò principium habet, is faciliùs probationem invenire poteſt. Neque in deliberatione multæ ſunt commorationes, ut in adverſarium, vel de ſeipſo, vel in movendis affectibus; hæc enim in hoc genere minimè omnium reperiuntur, niſi quis à cauſa diſceſſerit. Quare debent hęc tantùm fieri, cum alia non habet orator, quæ dicat; quemadmodum Athenis oratores faciunt, atque etiam Iſocrates in deliberationibus accuſat, ut Lacedæmonios in Panegyrico, & Charetem in oratione Sociali.

τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως· διότι περὶ τὸ μέλλον· ἐκεῖ δὲ περὶ τὸ γεγονὸς, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐπιμενίδης ὁ Κρής. ἐκεῖνος γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων μὲν, ἀδήλων δέ. καὶ ὁ νόμος, ὑπόθεσις ἐν τοῖς δικανικοῖς· ἔχοντα δὲ ἀρχὴν, ῥᾷον εὑρεῖν ἀπόδειξιν, καὶ οὐκ ἔχει πολλὰς διατριβάς· οἷον, πρὸς ἀντίδικον, ἢ περὶ αὑτοῦ, ἢ παθητικὸν ποιεῖν, ἀλλ' ἥκιστα πάντων, ἐὰν μὴ ἐξίστηται. δεῖ οὖν ἀποροῦντα, τοῦτο ποιεῖν, ὅπερ οἱ Ἀθήνησι ῥήτορες ποιοῦσι· καὶ Ἰσοκράτης· καὶ γὰρ συμβουλεύων κατηγορεῖ, οἷον Λακεδαιμονίων μὲν, ἐν τῷ πανηγυρικῷ, Χάρητος δὲ, ἐν τῷ συμμαχικῷ.

ἐν

* Ἐν δὲ τοῖς ἐπιδεικτικοῖς, δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ· αἰεὶ γάρ τινα εἰσάγει. καὶ ὃ ἔλεγε Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος, τοῦτό ἐστιν· εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακὸν, εἶτα τὸν θεόν. ὁμοίως δὲ καὶ ἀνδρείαν, ἢ τὰ καὶ τὰ ποιεῖ· ὃ τοιόνγε ἐστίν. * Ἔχοντα μὲν οὖν ἀποδείξεις, καὶ ἠθικῶς λεκτέον, καὶ ἀποδεικτικῶς. ἐὰν δὲ μὴ ἔχῃς ἐνθυμήματα, ἠθικῶς· καὶ μᾶλλον τῷ ἐπιεικεῖ ἁρμόττει χρηστὸν φαίνεσθαι, ἢ τὸν λόγον ἀκριβῆ. * Τῶν δὲ ἐνθυμημάτων τὰ ἐλεγκτικὰ μᾶλλον εὐδοκιμεῖ τῶν δεικτικῶν· ὅτι ὅσα ἔλεγχον ποιεῖ, μᾶλλον δῆλον ὅτι συλλελόγισται.

* In exornationibus verò 149
oportet laudes hinc, atque inde cumulando, refertam, & plenam orationem reddere. Quod Iſocrates facit, ſemper enim aliquid, quod laudet, adjungit. Et hoc eſt, quod Gorgias profitebatur, ſibi nunquam orationem defuturam; nam, ſi Achillem laudat, Peleum celebrat, deinde Æacum, deinde Jovem! atque eodem modo fortitudinem extollit, & hæc, aut illa tangit,
quod idem eſt. * Quod ſi 150
argumenta poteris invenire, debes ſimul & mores exprimere, & argumentis uti: ſi te argumenta defecerint, totum te ad mores conferas; atque hoc ſanè probo homini magis congruit, ut ipſe potiùs bonus appareat, quàm oratio ex-
quiſita. * Ex argumen- 151
tis verò, quæ vim habent refellendi, magis excellunt, quàm quæ confirmant; quæ enim refutationem continent, majore vi concluſa eſſe, planum eſt, propterea quòd inter collata contraria ſunt evidentiora,

nam quæ contra adverſarium dicuntur, non diverſam habent ſpeciem, ſed ſunt è probationum numero, partim enim reſiſtendo, atque occurrendo ſolvuntur, partim contrà argumentando.
132 * Oportet autem, eum, qui vel in deliberatione, vel in judicio prior dicit, cauſam primò ſuam confirmare, deinde illis, quæ contrà dici poſſunt, occurrere, & ea diſſolvere, atque extenuare. Sed tamen, ſi multa ſunt, quæ in contrariam partem dici poſſunt, priùs erunt illa refutanda: quemadmodum fecit Calliſtratus in concione Meſſaniaca, priùs enim ea refutavit, quæ contrà dici poterant, deinde ſua confirmavit. Quòd ſiquis ſecundo loco dicat, priùs
2 ea, quæ objecta ſunt ab adverſario, refutare debet vel diſſolvendo, vel contrà argumentando, & præcipuè ſi illa fidem feciſſe viſa fuerint. Sicut enim animus eum hominem non recipit, qui multis criminibus inſimulatus fuerit;

παράλληλα· γὰρ μᾶλλον τἀναντία γνωρίζεται. τὰ δὲ πρὸς τὸν ἀντίδικον, οὐχ ἕτερόν τι εἶδος, ἀλλὰ τῶν πίστεών ἐστι, τὰ μὲν λῦσαι ἐνστάσει· τὰ δὲ, συλλογισμῷ. * Δεῖ δὲ καὶ ἐν συμβουλῇ, καὶ ἐν δίκῃ, ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον· ὕστερον δὲ, πρὸς τἀναντία ἀπαντᾶν λύοντα καὶ προδιασύροντα. ἂν δὲ πολύχους ᾖ ἡ ἐναντίωσις, πρότερον τὰ ἐναντία· οἷον ἐποίησε Καλλίστρατος ἐν τῇ Μεσσηνιακῇ ἐκκλησίᾳ· ἃ γὰρ ἐροῦσι, προανελὼν οὕτω τότε αὐτὸς εἶπεν. ὕστερον δὲ λέγοντα, πρῶτον τὰ πρὸς τὸν ἐναντίον λόγον λεκτέον, λύοντα καὶ ἀντισυλλογιζόμενον, καὶ μάλιστα ἂν εὐδοκιμηκότα ᾖ. ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχὴ, τὸν αὐ-

τὸν αὐτὸν τρόπον, οὐδὲ λόγον, ἐὰν ὁ ἐναντίος εὖ δοκῇ εἰρηκέναι. δεῖ οὖν χώραν ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ. ἔσται δὲ, ἂν ἀνέλῃς· διὸ ἢ πρὸς πάντα, ἢ τὰ μέγιστα, ἢ τὰ εὐδοκιμοῦντα, ἢ τὰ εὐέλεγκτα μαχεσάμενον, οὕτω τὰ αὐτοῦ πιστὰ ποιητέον.

Ταῖς θεοῖς πρῶτα σύμμαχος γενήσομαι.
Ἐγὼ γὰρ Ἥραν·

ἐν τούτοις ἥψατο πρῶτον τοῦ εὐηθεστάτου. περὶ μὲν οὖν πίστεων ταῦτα.

δ'. * Εἰς δὲ τὸ ἦθος, ἐπειδὴ ἔνια περὶ αὑτοῦ λέγειν, ἢ ἐπίφθονον, ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει καὶ περὶ ἄλλου, ἢ λοιδορίαν, ἢ ἀγροικίαν· ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ, καὶ ἐν τῇ ἀντιδόσει.

eodem modo neque orationem, ſi adverſarius verè dixiſſe viſus fuerit. Oportet igitur auditoris animum ad futuram orationem præparare; quod facilè fiet, ſi contraria refutaveris. Quare cum vel omnia reprehenderis adverſariorum argumenta, vel ea, quæ maximè firma ſunt, vel quæ excellunt, vel quæ facilè refelli poſſunt, tunc rationes tuas confirmare debes:

Primò refellam, quæ deis objecta ſunt.
Junonem ego.

in his enim id primum attigit, quod erat infirmiſſimum. Ac de confirmationibus quidem hæc dicta ſint.

4 * Quod ad mores attinet, quoniam de ſeipſo prædicare, vel invidioſum eſt, vel prolixum, vel habet qui contradicant, & de altero dicere, vel convicium, vel ruſticitatem oſtendit, opus eſt aliquem, qui hoc faciat, conformare; quod Iſocrates facit in oratione, quam ad Philippum miſit, & in ea, quæ, antidoſis dicitur. 153

Quomodo vituperat etiam Archilochus, nam in iambicis ſuis patrem de filia ſic loquentem inducit:

Nil prorſus eſt, quod non fiat pecunia;
Aut, quod futurum non queat iurari.

Et Charonem fabrum inducit in eis iambicis, quorum principium eſt:
Nil curo opes Gygis.
quemadmodum etiam Sophocles Æmonem inducit, cum patre pro Antigona loquentem, tanquam ea
134 dicerent alii. * Quin interdum licebit argumenta commutare, atque ex eis ſententias facere, ut: Sunt autem à prudentibus viris tunc cum hoſtibus fœdera ferienda, cum fortunam habent proſperam: ſic enim maximè poterunt eſſe ſuperiores. Argumentando verò ſic proferetur: Si fœdera cum hoſtibus ferire oportet, quo tempore ſunt utiliſſima, & cum meliores conditiones eſſe ſolent, tunc maximè ferienda ſunt, quando fortuna eſt proſpera.

καὶ ὡς ὁ Ἀρχίλοχος ψέγει· ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ.

Χρημάτων δ' ἄελπτον οὐθέν ἐστιν, οὐδ' ἀπώμοτον.

Καὶ τὸν Χάρωνα τὸν τέκτονα ἐν τῷ ἰάμβῳ, οὗ ἡ ἀρχή.
Οὔ μοι τὰ Γύγεω.
Καὶ ὡς Σοφοκλῆς τὸν Αἵμονα ὑπὲρ τῆς Ἀντιγόνης πρὸς τὸν πατέρα, ὡς λεγόντων ἑτέρων. * Δεῖ δὲ καὶ μεταβάλλειν τὰ ἐνθυμήματα, καὶ γνώμας ποιεῖν ἐνίοτε· οἷον, χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας· οὕτω γὰρ ἂν μέγιστα πλεονεκτοῖεν, ἐνθυμηματικῶς δέ· εἰ γὰρ δεῖ, ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ καταλλαγαί, τότε καταλλάττεσθαι, εὐτυχοῦντας δεῖ καταλλάττεσθαι.

CA-

CAPUT XVIII.

Quando, & quomodo ſit interrogandum, & interrogationibus reſpondendum.

DIVISIO CAPITIS IN PARTES TRES.

1 *Quatuor eſſe opportunitates interrogandi.*
2 *Tria precepta reſpondendi.*
3 *Item duo ridiculis rebus utendi.*

α.* ΠΕΡΙ' δὲ ἐρωτήσεως, εὔκαιρόν ἐστι ποιεῖσθαι, μάλιστα μὲν, ὅταν τὸ ἕτερον εἰρηκὼς ᾖ. ὥστε ἑνὸς προσερωτηθέντος, συμβαίνει τὸ ἄτοπον· οἷον Περικλῆς Λάμπωνα ἐπήρετο περὶ τῆς τελετῆς τῶν τῆς σωτείρας ἱερῶν· εἰπόντος δὲ, ὅτι οὐχ οἷόν τε ἀτέλεστον ἀκούειν, ἤρετο, εἰ οἶδεν αὐτός· φάσκοντος δὲ, καὶ πῶς ἀτέλεστος ὤν; δεύτερον δὲ, ὅταν τὸ μὲν, φανερὸν ᾖ· τὸ δὲ ἐρωτήσαντι δῆλον ᾖ, ὅτι δώσει· πυθόμενον γὰρ δεῖ τὴν μίαν πρότασιν,

1* QUOD ad interrogationem attinet, maximè opportunum eſt ea uti, cum 155
alteram partem adverſarius ipſe dixerit, ut deinde ex interrogatione ſequatur id, quod abſurdum eſt; ut Pericles Lamponem interrogavit de initiatione ſacrorum Deę Salutaris: &, cum ille dixiſſet nefas eſſe illa audire, niſi quis eſſe initiatus; petivit; num ipſe ea ſciret; quod cum affirmaſſet.

Et quomodo, inquit, cum minimè ſis initiatus? Secundò tempeſtivum eſt interrogare, cum alterum planum eſt, alterum non eſt dubium; quin is, qui interrogatur, ſit conceſſurus. Cum autem unam propoſitionem interrogaveris,

non debes iterum id interrogare, quod perſpicuum eſt, ſed concludere; quemadmodum Socrates, cum Melitus dixiſſet, eum non putare Deos eſſe, petivit ab eo, num exiſtimaret dæmonium aliquid eſſe: quod cum ille fateretur, dixit:

Dæmones vel Deorum filii ſunt, vel aliquid in ſe divinum habent: quod poſtquam ille affirmaſſet;

Fieri, ne poteſt, inquit, *ut aliquis putet Deorum filios eſſe, ipſos autem Deos eſſe non putet*.

Tertiò debes interrogare; cum oſtendere vis, ipſum adverſarium ſibi ipſi contraria dicere, vel quæ ſint ab opinione communi aliena. Quartò cum nihil habet, quod reſpondeat niſi fallaciter, & captioſè: nam, ſi ita reſponderit: Eſt ſanè, & Non eſt; vel partim quidem eſt, partim non; vel: Ex aliqua parte eſt, ex aliqua non; perturbantur auditores, ac dubitant. Aliter autem interrogatione uti non debes: nam ſi tibi occurrerit adverſarius, ſuperatus eſſe videberis.

μὴ προσερωτᾶν τὸ φανερὸν, ἀλλὰ τὸ συμπέρασμα εἰπεῖν. οἷον Σωκράτης Μελίτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν, εἴρηκεν, εἰ δαιμόνιόν τι λέγοι· ὁμολογήσαντος δὲ, ἤρετο,

Εἰ οὐχ οἱ δαίμονες, ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι.

φήσαντος δὲ,

Ἔστιν οὖν ἔφη,

Ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ.

ἔτι ὅταν μέλλῃ ἢ ἐναντία λέγοντα δείξειν, ἢ παράδοξον· τέταρτον δὲ, ὅταν μὴ ἐνῇ, ἀλλ' ἢ σοφιστικῶς ἀποκρινάμενον λῦσαι· ἐὰν γὰρ οὕτως ἀποκρίνηται, ὅτι ἔστι μὲν, ἔστι δ' οὔ· ἢ τὰ μὲν, τὰ δ' οὔ· ἢ, πῇ μὲν, πῇ δ' οὔ· θορυβοῦσιν ὡς ἀποροῦντες· ἄλλως δὲ μὴ ἐγχειρεῖν· ἐὰν γὰρ ἐνστῇ, κεκρατῆσθαι δοκεῖ·

* ΟΥ' γὰρ οἷόν τε πολλὰ ἐρωτᾶν, διὰ τὴν ἀσθένειαν τοῦ ἀκροατοῦ· διὸ καὶ τὰ ἐνθυμήματα, ὅτι μάλιστα συστρέφειν δεῖ.

β. * Ἀποκρίνασθαι δὲ δεῖ, πρὸς μὲν τὰ ἀμφίβολα, διαιροῦντα λόγῳ, καὶ μὴ συντόμως. * Πρὸς δὲ τὰ δοκοῦντα ἐναντία, τὴν λύσιν φέροντα εὐθὺς τῇ ἀποκρίσει, πρὶν ἐπερωτῆσαι τὸ ἑπόμενον, ἢ συλλογίσασθαι· οὐ γὰρ χαλεπὸν προορᾶν ἐν τίνι ὁ λόγος· φανερὸν δ' ἡμῖν ἔσται ἐκ τῶν τοπικῶν καὶ τοῦτο, καὶ αἱ λύσεις. * Καὶ συμπεραινόμενον, ἐὰν ἐρώτημα ποιῇ τὸ συμπέρασμα, τὴν αἰτίαν εἰπεῖν· οἷον Σοφοκλῆς ἐρωτώμενος ὑπὸ Πεισάνδρου, εἰ ἔδοξεν αὐτῷ ὥσπερ καὶ τοῖς ἄλλοις προβούλοις, καταστῆσαι τοὺς τετρακοσίους, ἔφη,

Τί δαί; οὐ πονηρά σοι ταῦτα ἐδόκει εἶναι; ἔφη, οὐκοῦν σὺ ταῦτα ἔπραξας τὰ πονηρά;

Neque enim multa licet interrogare, propter auditoris infirmitatem. Quare etiam argumenta, quàm maximè fieri poteſt, contrahenda ſunt.

2 * Cum autem ad ambigua reſpondendum eſt, 156
tunc diſtinguere opus eſt, & longa uti oratione, non autem conciſa. * Ad ea verò, quæ contraria videntur, ſtatim in reſponſione ſolutio adhibẽda eſt priùs, quàm quod reliquum eſt, interroget adverſarius, & concludat. Neque enim difficile eſt videre, quanam in parte ſit ratio: ſed ex Topicis, cùm hoc intelligi poteſt, tùm etiam, quæ ſolutiones adhibendæ ſunt. * Verùm 157
qui concludit, ſi ex interrogatione concludit, cauſam debet adjungere: ut Sophocles interrogatus à Piſandro, num ipſe ſententia ſua, ſicut alii publici conſilii auctores, dominatum Quadrigentorũ confirmaſſet, ita reſpondit: 158

Quid? ait ille, *non ne res improba tibi illa videbatur? Ita,* inquit. *Ergo tu ſponte rem improbam confirmaſti?*

Certè, inquit, *neque enim erant alia meliora*.

Sic etiam Lacon, cum magiſtratus ſui rationem redderet, Ephorus enim fuerat, interrogatus, an ejus ſocii, & collegæ juſtè condemnati viderentur; reſpondit:

videri. *Quid? non ne tu eadem cenſuiſti? Cenſui*, inquit. *Ergo etiam tu juſtè condemnari debes*. *Minimè*, ait ille; *nam collegæ pecunia corrupti illa cenſuerunt: ego verò non pecunia, ſed quia ita ſentiebam*.

159 *Itaque poſt concluſionem nihil interrogare oportet, neque etiam ipſam concluſionem, niſi cum adeò vera, & certa eſt cauſa, ut labefactari non poſſit.

160 3 * De ridiculis verò, quoniam uſum aliquem in forenſibus cauſis habere videntur, & Gorgias dixit, res ſerias adverſariorum riſu diſcuti debere, contràque riſum rebus ſeriis, ſatis dictum eſt in iis, quæ de arte Poetica ſunt à nobis tradita: nam ibi, quot ridiculorum ſpecies ſint, oſtendimus.

Ναί, ἔφη· οὐ γὰρ ἦν ἄλλα βελτίω.

καὶ ὡς ὁ Λάκων εὐθυνόμενος τῆς Ἐφορείας ἐρωτώμενος, εἰ δοκοῦσιν αὐτῷ δικαίως ἀπολωλέναι ἅτεροι, ἔφη.

Ὁ δέ, οὐκοῦν σὺ τούτοις ταὐτὰ ἔθου.

Καὶ ὃς ἔφη,

Οὐκοῦν δικαίως ἂν ἔφη καὶ σὺ ἀπόλοιο· οὐ δῆτα ἔφη· οἱ μὲν γὰρ χρήματα λαβόντες, ταῦτα ἔπραξαν· ἐγὼ δὲ, οὔ, ἀλλὰ γνώμη.

* Διὸ οὔτε ἐπερωτᾶν δεῖ μετὰ τὸ συμπέρασμα, οὔτε τὸ συμπέρασμα ἐπερωτᾶν. ἐὰν μὴ τὸ πολὺ περιῇ τοῦ ἀληθοῦς.

γʹ. * Περὶ δὲ τῶν γελοίων, ἐπειδή τινα δοκεῖ χρῆσιν ἔχειν ἐν τοῖς ἀγῶσι, καὶ δεῖν ἔφη Γοργίας, τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι, τὸν δὲ γέλωτα σπουδῇ, ὀρθῶς λέγων, εἴρηται πόσα εἴδη γελοίων ἐστὶν ἐν τοῖς περὶ ποιητικῆς·

* Ὧν

* Ὧν τὸ μὲν, ἁρμόττει ἐλευθέρῳ, τὸ δ' οὔ. ὅπως οὖν τὸ ἁρμόττον αὐτῷ λήψεται. * Ἔστι δ' ἡ εἰρωνεία τῆς βωμολοχίας ἐλευθεριώτερον· ὁ μὲν γὰρ αὐτοῦ ἕνεκα ποιεῖ τὸ γελοῖον· ὁ δὲ βωμολόχος ἑτέρου.

* Sunt enim ridicula, quæ 161
libero, atque ingenuo homini conveniant: ſunt etiam quæ non conveniant: itaque videndum eſt, ut apta ſibi quiſque ſumat.
* Diſſimulatio verò magis 162
ingenuum decet, quàm ſcurrilitas: nam diſſimulator propriæ voluptatis gratia ridiculis utitur: ſcurra verò, ut alterum oblectet.

CAPUT XIX.

De epilogo.

DIVISIO CAPITIS IN PARTES QUATUOR.

1 *Auditores reddendos eſſe nobis benevolos, adverſariis malevolos.*
2 *Amplificanda eſſe, vel diminuenda quę dicta, & probata ſunt.*
3 *Affectus in auditoribus eſſe excitandos.*
4 *Quę dicta ſunt, eſſe breviter enumerando in memoriam revocanda, idque tribus modis.*

α. * Ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων, ἔκ τε τοῦ πρὸς ἑαυτὸν κατασκευάζειν εὖ τὸν ἀκροατὴν, καὶ τὸν ἐναντίον φαύλως· καὶ ἐκ τοῦ αὐξῆσαι, καὶ ταπεινῶσαι· καὶ ἐκ τοῦ εἰς τὰ πάθη τὸν ἀκροατὴν καταστῆσαι, καὶ ἐξ ἀναμνήσεως.

1 * JAM verò peroratio 163
quatuor ex partibus conſtat: primum ex ea, quæ efficit, ut auditor nobis benè velit, adverſariis malè, deinde ex amplificatione, & diminutione, tum ex animorum commotione, ut afficiatur auditor; poſtremò ex enumeratione.

* Fit

164 * Fit enim hoc naturę quodam ordine, ut, poſtquam orator oſtenderit, ſe vera dicere, adverſarium autem falſa, tunc laudet, & vituperet, & cauſam urgeat, atque expoliat. Alterum autem ex duobus conſiderare oportet: vel, ut oſtendat, ſe bonum ipſis auditoribus fuiſſe, vel generaliter bonum; adverſarium verò vel ipſis auditoribus malum, vel abſolutè malum. Sed alibi ſunt à nobis jam expoſiti loci, unde bonos, aut malos conformare homines poſſimus.

165 2 * Poſtquam autem hoc demonſtratum fuerit, tunc naturæ ordine ſequitur, ut vel augeamus, vel imminuamus: opus eſt enim, ut res ſint conceſſę priùs, quàm de earum magnitudine diſputari poſſit: nam etiam corporum auctio, atque incrementum fit ex eis, quæ jam priùs aderant. Sed unde vel amplificatio, vel imminutio ducatur, jam ſuprà loci ſunt expoſiti.

166 3 * Poſteà verò, cum jam perſpicuum eſt, quæ,

πέφυκε γὰρ μετὰ τὸ ἀποδεῖξαι, αὑτὸν μὲν ἀληθῆ, τὸν δὲ ἐναντίον, ψευδῆ· οὕτω τὸ ἐπαινεῖν, καὶ ψέγειν, καὶ ἐπιχαλκεύειν. δυοῖν δὲ θατέρου δεῖ στοχάζεσθαι, ἢ ὅτι τούτοις ἀγαθὸς, ἢ ὅτι ἁπλῶς· ὁ δὲ, ὅτι κακὸς τούτοις, ἢ ὅτι ἁπλῶς. ἐξ ὧν δὲ δὴ τοιούτους κατασκευάζειν δεῖ, εἴρηνται οἱ τόποι, πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους.

β. * Τὸ δὲ μετὰ τοῦτο δεδειγμένον ἤδη, αὔξειν ἐστὶ κατὰ φύσιν, ἢ ταπεινοῦν· δεῖ γὰρ τὰ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν· καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις, ἐκ προϋπαρχόντων ἐστίν. ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν, ἔκκεινται οἱ τόποι πρότερον.

γ. * Μετὰ δὲ ταῦτα δήλων ὄντων καὶ οἷα

καὶ ἡ-

καὶ ἡλίκα εἰς τὰ πάθη ἄγει τὸν ἀκροατήν. ταῦτα δ' ἐστὶν, ἔλεος, καὶ δείνωσις, καὶ ὀργὴ, καὶ μῖσος, καὶ φθόνος, καὶ ζῆλος, καὶ ἔρις. εἴρηνται δὲ καὶ τούτων οἱ τόποι πρότερον. * Ὥστε λοιπὸν, ἀναμνῆσαι τὰ προειρημένα. τοῦτο δὲ ἁρμόττει ποιεῖν οὕτως, ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις, οὐκ ὀρθῶς λέγοντες. ἵνα γὰρ εὐμαθῆ ᾖ, κελεύουσι πολλάκις εἰπεῖν. ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις. ἐνταῦθα δὲ δι' ὧν δέδεικται κεφαλαιωδῶς. * Ἀρχὴ δὲ, διότι ἃ ὑπέσχετο ἀποδέδωκεν. ὥστε ἅ τε, καὶ δι' ὅ, λεκτέον.

δ'. * Λέγεται δὲ ἐξ ἀντιπαραβολῆς τοῦ ἐναντίου. παραβάλλειν δὲ,

& quanta ſint ea, quæ tractantur, permiſcere motus animorum opus eſt. Sunt autem hi potiſſimùm: miſericordia, indignatio, ira, odium, invidia, æmulatio, ſimultas: qui quidem unde ſumantur, anteà declaratum eſt. *Itaque reliquum eſt enumerare, quæ ſparſim anteà dicta ſunt. Hoc autem commodè fit, ſi id ſervetur, quod in procemiis quidam debere ſervari non rectè jubent: ajunt enim eadem ſæpiùs in procemio repeti debere, ut faciliùs percipiantur. Sed ibi rem tantùm exponere opus eſt, ut ne lateat id, de quo futurum eſt judicium: hic verò ſummatim ea repetere oportet, quæ demonſtrata ſunt. * Initium autem enumerationis illud erit, cum dicet orator, ea ſe præſtitiſſe, quę pollicitus fuerat. Itaque repetere oportet, quæ ſunt expoſita, & quare.

169 (beside "antea declaratum est. *Ita-")

168 (beside "monstrata sunt. * Ini-")

4 * Quin ex adverſariorum contentione dicuntur ea, quæ in peroratione repetuntur; conferre autem oportet, 169

vel quæ de eadem re ambo dixerunt, vel quæ non ex adverſo; ut, Iſte quidem de hac re ſic dixit, ego verò hæc, atque hac de cauſa. Vel per ironiam, ut: Iſte quidem hæc commemoravit, ego vero hæc: &; Quidnam feciſſet, ſi hæc probaſſet, non autem illa? Per interrogationem: ut; Quid à me non exquiſitè probatum eſt? vel: Iſte quid confirmavit? vel igitur hoc modo per collationem, vel ordine naturæ non immutato, ſicuti res anteà dictæ ſunt, hoc modo, ut ſi priùs ea repetas, quæ ipſe probaſti, deinde ſi volueris etiam ſeorſum quæ dixit adverſarius.

170 * In peroratione convenit illud dicendi genus, quod diſſolutum vocatur; ut peroratio, non autem oratio ſit. Dixi, audiviſtis, rem tenetis, judicate.

ἢ ὅσα περὶ τοῦ αὐτοῦ ἄμφω εἶπον, ἢ μὴ καὶ ἀντικρύ. ἀλλ' οὗτος μὲν τάδε περὶ τούτου· ἐγὼ δὲ, τάδε, καὶ διὰ ταῦτα. ἢ ἐξ εἰρωνείας· οἷον, οὗτος μὲν γὰρ τάδ' εἶπεν, ἐγὼ δὲ τάδε. καὶ, τί ἂν ἐποίει, εἰ τάδε ἔδειξεν, ἀλλὰ μὴ τάδε; ἢ ἐξ ἐρωτήσεως· τί οὐ δέδεικται; ἢ οὕτως, τί ἔδειξεν; ἢ δὴ οὕτως, ἢ ἐκ παραβολῆς, ἢ κατὰ φύσιν, ὡς ἐλέχθη, οὕτω τὰ αὐτοῦ. καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ ἐναντίου λόγου. * Τελευτὴ δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος, ὅπως ἐπίλογος, ἀλλὰ μὴ λόγος ᾖ. εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε.

ΤΕ´ΛΟΣ.

INDEX

INDEX ALPHABETICUM IN TRES LIBROS RHETORICORUM ARISTOTELIS.

A

AChordon, & Alyron quid ſonent. 364
in Actione quæ requirantur. 334
Actionis Oratoriæ qualitas maxima. ibid.
Actio unde ſit poſita. ibid.
Adoleſcentes cupiditatibus æſtuant, & Veneri maximè dediti. 242
Adoleſcentes facilè excandeſcunt, & ambitioſi ſunt. 243
Adoleſcentes honeſta potiùs amplectuntur, quàm utilia, & ſunt magnanimi, & ſtudioſi Amicorum. 245
Adoleſcentes injurias faciunt propter contumeliam, facilè miſericordia commoventur, ſuntque ſtudioſi riſus. 246
Adoleſcentes quicquid peccant, in eo, quod eſt majus, vehementiùs peccant. ibid.
Adoleſcentes ſimplices ſunt, & aperti, & non pravo ingenio, 243
Adoleſcentes ſunt creduli, & magna ex parte

ſpe vivunt, fortiores ſunt, quàm alii, & verecundi. 244
Ægritudo quas res conſequatur. 168
Æmulationis definitio, & ejus ab invidia differentia. 138
quomodo affecti facilè, quas ob res, & quos Æmulemur. 239. & 240
Æneſidemus cur Geloni munera miſerit. 133
Æqua, & bona quaنam. 142
Ætates quæ ſint. 242
Affectus tria conſideranda habent. 168
Affectuum cognitio neceſſaria Oratori eſt. 165
Affectuum definitio. 168
Alienare quodnam vocetur. 52
Amare cur ſuave. 119
quos homines Amare ſoleamus, & quibus de cauſis. 187. & 193
Amari quid. 120
quomodo affecti homines facilè Ament. 187
Amici quinam ſint. 187
Amicitiæ ſpecies quanam. 192
Amicus, & Amicitia quare bona ſint. 62
Amicus qui ſit. 57
Amoris definitio. 186
Amplificatio, & diminutio, nec enthymematum elementa ſunt, nec enthymemata. 328
Animi commotionis nomine quid intelligatur. 242
Animi excelſitas quid. 257
Animi non benevoli ſignum. 217
Animorum motus qui. 443
Apophthegmata Laconica quibus locis conveniant. 279
Aqua cur optima dicatur. 74
Arbiter quid ſibi proponat. 143
Argis quinam punirentur. 145
Argumenta poſſunt in ſententias commutari. 436
Argumenta propria cujusque artis quaنam ſint. 31

Argumentationum omnium quænam maximè commovere animum ſoleant. 313
Arithmetica numeros docet. 15
Ars nulla conſiderat, quid in ſingulis rebus fieri debeat. 22
Artificium in oratione quomodo occultetur facilè. 341
Artis dicendi officium eſt non perſuadere, ſed ea videre, quæ ad perſuadendum accommodata ſint. 12
Artis vis tota in probationibus ſita eſt. 8
Aſſimilatio quid. 379
Atrocis, & Miſerabilis differentia. 222
Auditoris animus ad Orationem præparandus. 435
Auſcultator de qua facultate judicet. 34

B

Bona ea majora ſunt, quorum ſibi homines, aut amici auctores ſunt. 77
Bona quænam verè ſint. 61. & 62
Bona ſunt ea, quæ ſine labore ad exitum perducuntur. 67
Bona verè eſſe, quibus principiis oſtendatur, ac de quibus dubitetur. 63. & 64
Boni, & utilis definitio. 59. & 60
Boni proprium quid ſit. 71. & 72
Bonorum quænam ſine labore ad exitum perducantur. 67
Bonum aliquod eſſe majus altero, ex propoſitionibus, & principiis oſtenditur. 70
Bonum id majus eſt, quod magis expetitur. 78
Bonum id majus eſt, quod prudentia magis expetit. 76
Bonum illud eſt, cujus contrarium eſt malum. 63

Bonum illud eſt, in quo nihil nimium eſſe poteſt. 64
Bonum majus eſt, quod alicujus principium eſt, quàm quod non. 72
Bryſonis dictum rejicitur. 346

C

Cauſarum genera quot ſint. 34
Cauſis duabus propoſitis, quæ majoris rei cauſa eſt, illa eſt major. 73
Civitatis ſalus in legibus poſita eſt. 45
Civitatis ſalus quomodo conſervetur, & labefactetur. ibid.
Concluſio rhetorica vocatur enthymema. 9
Conficientia quæ dicantur. 60
ob quas res, & quibus, & quomodo affecti facilè Confidamus. 201. & 202
Confidentiæ definitio. 201
Confirmatio ut bona ſit, quindecim habet obſervanda præcepta. 430
Collationis explicatio. 270
Communia omnium Rhetoricæ generum quænam. 261
Communia quomodo vocentur. 289
Commutatio cur res jucunda. 120
Compar quid dicatur. 379
Conſequens quot modis dicatur. 60
Conſilium qui dat magis in culpa eſt, quàm qui ſcelus committit. 73
Conſuetudine, & conſilio quænam faciant homines. 109
Conſultans de vectigalibus quid ſcire teneatur. 42
Conſultaturus de pace quid noſcat oporteat. 43
Contemni quinam dicantur. 241
Contemptus æmulationi contrarius eſt. ibid.

Con-

Contumelia quando fiat. 171
Corporis virtus quanam ſit. 53
Crimina adverſario quot modis objiciantur, & objecta diſſolvantur. 416
Cupiditatis gratia quanam fieri ſoleant. 110
Cupiditatum diſtinctiones, & explicationes. 113

D

Decertandi robur ex quibus conſtet. 55
Deliberabilium accurata, & perfecta ſcientia pertinet ad Politicam. 40
Deliberatio circa qua verſetur. 42
in Deliberationem quid cadat. 39
Deliberationi quodnam tempus detur. 34
Deliberationis partes quot. ibid.
Deliberationis tractatio eſt ſpecioſior, & Civitatibus utilior, quàm Conventorum, & Judiciorum. 7
Deliberatio non eſt de omnibus, qua contingere ſolent. 39
Deliberativo generi convenit elocutio plana. 403
Deliberativum genus quatuor ſolet adducere in controverſiam. 429
Demonſtrativo generi competit elocutio exquiſitiſſima. 403
Dialectica proprium eſt tractare de omni ſyllogiſmo. 9
Dialecticus nominatur is, qui habet quidem facultatem fallendi, ſed ea non utitur. 13
Dicendi genera quot ſint, & eorum partes, tempora, ac fines, & qua propoſitiones ex ſingulis generibus ſumenda. 33. 34. 35. 36. 37
in omni Dicendi genere quid quarendum. 261
Dicturus de cuſtodia regionis quid ſcire debeat. 44
Difficile quibus rebus definiatur. 66
Difficilius quod eſt, procliviore majus eſt. 74

Diſceptator de quibus rebus ſtatuat. 33

Diſſimulatio ingenuum dedecet magis, quàm ſcurrilitas. 441

Divites contumelioſi ſunt, & ſuperbi, delicati, & arrogantes. 255

E

Elementum, ſive locus quid ſit. 329

Elocutioni perſpicuum, & decorum valdè neceſſarium eſt. 339

Elocutionis utilitas ſumma. 335

Elocutio Poetica priùs inventa, quàm oratoria. 337

Elocutio quanam requiſita neceſſariò habere debeat. 358. 359. 360. 361.

Elocutio quomodo reddatur frigida. 349

Elocutio tracta, ac pendens quanam. 374

Elocutio ut ſit grandis, & magnifica, quid requiratur. 362

Elocutio ut ſit decora, quid obſervandum. 365

Energia ex quibus conficiatur. 389

Enthymema quid ſit. 9

Enthymemata apparentia, ſeu ſophiſtica unde eruantur. 314

Enthymemata, & exempla debent eſſe ex rebus, quæ nihil in ſe firmitatis habeant, ſed quæ aliter, atque aliter ſe habere poſſint. 24

Enthymemata, & exempla rhetorica ex quibus propoſitionibus, ac principiis fiant, & circa quas concluſiones, & quæſtiones verſentur. 21. 22.

Enthymemata ex veriſimilibus, & ſignis fiunt. 26

Enthymemata fiunt ex iis, quorum aliqua ſunt neceſſaria, plurima verò ſine ulla neceſſitate fiunt. 25

Enthymemata, quæ redarguunt, magis excellunt, quàm quæ demonſtrant. 313

Enthymemata ſingula quomodo ſolvantur. 323
Enthymemata ſunt corpus, & fundamentum fidei facienda. 4
Enthymemata vera quibus è locis eruantur. 284 291
Enthymematum elementa quæ. 290
Enthymematum rhetoricorum ab aliis differentia. 30
Enthymematum ſpecies quænam vocentur. 32
Epilogus quid habeat obſervandum. 441
Epitheta multum faciunt ad animos commovendos. 368
Epithetis qualibus appoſitis, & quibus diminutivis uti liceat. 347
Erubeſcentia propter quæ naſcatur. 92. 93
Excandeſcentia, & ira gratia quænam fiant. 109
Excedens quid ſit, & exceſſum. 69
Exempla quæ, & eorum ſpecies. 269. 270
Exemplorum genera quot. 270
Exemplum quid. 28
Exemplum quomodo conficiatur. 29
Exiſtimatio bona quænam ſit. 52
Exordia deliberationis unde ſumantur. 415
Exordia demonſtrativi generis unde ducantur. 408
Exordium è quibus locis in unoquoque genere ducatur. ibid.
Exordium quid, & quale eſſe debeat. 407
Exornationis partes quænam. 34
Exornationis tempus quodnam. 35
Exornativum genus quid habeat diſceptandum. 429

F

Fabula Equi, & Cervi. 271. 272
Fabula explanatio. 270
Fabula Vulpis, & Herinacei. 272. 273
Facilia quænam dicantur. 66

Factum eſſe aliquid, vel non factum, futurum, vel non futurum, per propoſitiones oſtenditur. 264
Facultas probandi, & enthymemata conficiendi, unde haurienda ſit. 8
Felicitas quid ſit. 48
Felicitatis partes quot. 48. 49
Felicitatis partium ſingularum definitiones. 49. 50. &c.
Fidei facienda vis maxima in moribus exprimendis poſita eſt. 17
Fides quomodo fiat. 86
Figulus figulo quid. 236
Finis cuique generi oratorio conveniens quis. 35
Fœminarum virtus in quibus conſiſtat. 50
Fortitudinis definitio. 90
Fortuna nomine quid intelligatur. 242
Fortunæ proſperitatis qui mores. 257
Fortuna proſpera quænam ſit. 57
à Fortuna quænam provenire dicantur. 108
Fortuna quarum rerum cauſa ſit. 57
Fructuoſa quæ vocentur. 51

G

in aliquo Genere quod maximum eſt, maximo alterius generis præſtat. 70
Generum omnium commune eſt differere de magnitudine rei. 261
Geometria probat, quæ ſint eventa, quæ magnitudinibus accidunt. 15
Gloria quare bona ſit. 63
Gorgiæ dictum contra Hirundinem. 354
Gratia quid ſit. 215
Gratia quomodo amplificetur, vel minuatur. ibid.

Ha-

H

Habitus animi diverſos diverſa actiones conſequuntur. 107
Habitus quinam intelligantur. 366
Heracliti ſcripta quare taxentur. 361
Honeſtatis apparentia propoſitionibus cauſatur aliquibus. 95
Honeſti definitio. 87
Honeſtum aliquid eſſe propoſitionibus ſtatuitur. 91
Honor cur inter res ſuaviſſimas numeretur. 118
Honor quare bonum ſit. 63
Honor quibus in rebus ſit. 87
Honor quid ſit. 52
Horribilia quæ ſint. 119
Horribilium maxima quænam ſint. ibid.

I & J

Jaſon Theſſalus cur dicere ſolitus, oportere quædam injuſta facere. 134
Imagines, & ſimilitudines Orationem reddunt urbanam. 382
Imagines quomodo benè fiant. 396
Impudicitia mulierum privat populos dimidia ferè parte felicitatis. 51
Indignatio diſtinguitur ab Invidia licet ei affinis. 226
Indignatio opponitur miſericordiæ. 16
Indignatio quid ſit. 225
ob quas res, & quomodo affecti facilè Indignemur. 228. 231
quos Injuria afficiant homines, & quibus in rebus injuria afficiantur. 130. 134
Injuriæ definitio. 102
Injuriam accipere melius eſt, quàm inferre. 77

Injuria major, & minor è quinque rebus dignoſcitur. 144
Injuriam faciant quinam. 125
Injuriam pati quid ſit. 137
quas ob cauſas, & quomodo affecti homines Injurias faciant. 103
Injuſtus quis ſit. 197
Interrogandi opportunitates quatuor. 437
Inventio prius inventa fuit, quàm elocutio. 333
Inverecundia definitio. 204
quomodo affecti facilè, quas ob res, & quibus Invideamus. 234. 235
Invidia quid. 233
Ira ab odio quomodo diſtinguatur. 193
Ira contra ſingulos ſemper excitatur. 193
Ira quid. 169
quas ob cauſas homines Iraſcantur. 170
quomodo affecti homines facilè Iraſcantur, & quibus. 174. 175
JUcunda quænam ſint. 102
Jucundius quid ſit. 77
Jucundius quod eſt, magis eſt expetendum, quàm minus Jucundum. ibid.
Judex diſceptat de rebus præſentibus, ac definitis. 6
Judex Juſtitiæ diſpenſator eſt. 156
Judex non eſt diſtorquendus, aut inflectendus ad indignationem, vel odium, vel Invidiam, vel Miſericordiam. 4
Judex ſæpenumerò vel amore, vel odio, vel utilitate propria movetur. 6
Judiciale genus de quatuor ſolet habere controverſiam. 428
Judiciali generi competit exquiſitior elocutio. 403
Judicia ſunt plerunque ſubita, & repentina. 5
Judicii partes quænam. 34
Judicio quodnam tempus detur. ibid.

Ju-

Jurejurando rei noſtræ favente, ſeu contrà, quid agendum. 158
Juſta, & injuſta ex duabus legibus cognoſcuntur. 135
Juſtè, & injuſtè quot modis nos gerere poſſimus. 137
Juſtitia definitio, & item Injuſtitia. 89

L

Lacedæmoniis quare honeſtum erat comam alere. 94
Laudanti quinam fines propoſiti. 87
Laudatio in quem primùm fuerit edita. 100
Leges benè inſtitutæ debent complecti, ac definire omnia quęcunque poſſunt. 5
in Legibus ferendis quid advertendum. 46
Legibus rei noſtræ faventibus, aut contrà, quid faciendum. 148
Legiſlatoris judicium non eſt de ſingulis, neque de præſentibus rebus, ſed de futuris, & univerſo genere. 6
Legumlationes longo tempore, & diligenti conſideratione fiunt. 5
quibus homines Lenes ſint. 181
quomodo affecti facilè Lenes ſint. 183
quibus de cauſis Lenes ſint. 184
Lenitas quid. 180
Lex duplex, propria, & communis. 135
Liberalia quæ habeantur. 51
Loci enthymematum apparentium quinam ſint; 314. 315. &c.
Loci quinam dicantur. 30. 31
Locutio poetica Orationi non convenit. 340
Locutio quomodo fiat obſcura. 362

M

MAgnanimitas quid ſit. 90
Magnificentia definitio. ibid.
Magnitudinis virtus quænam ſit. 55
Majora ea ſunt, quæ rem magnam magis exuperant. 71
Majus eſt, quod finis rationem habet, quàm quod non. 72
Majus eſt, quod omnes expetunt, quàm quod non omnes. 78
Majus eſt, quod innatum, & inſitum, quàm quod adventitium. 80
Majus, & minus quid. 69
in Maleficiis latere qui ſoleant. 126
Maleficiorum impunitatem qui ſperent. ibid.
in Malum cadere poſſe qui putet. 219
Maxima mala maximè ſentiuntur. 194
Medici officium quodnam. 13
Metaphoræ ex peregrinis nominibus maximè ad ſolutam Orationem accommodantur. 341
Metaphoræ quomodo, & ex quibus ſumendæ ſint. 343
in Metu qui ſint. 200
quomodo affecti, quas ob res, & quibus Miſericordes ſimus. 219. 221. 222
Miſericordia quid. 218
Miſericordia quomodo excitetur, augeaturque. 223
Moleſtia vero judicio tenebras offundit. 6
Morata quæ dicantur. 425
Mores Divitum quinam. 225
Mores eorum, qui nuper divites facti ſunt, quomodo differant ab eis, qui jampridem erant divites. 256
Mores Juvenum quinam. 241
Mores Nobilium quinam. 213

Mores Potentum, & Fortunatorum qui. 257
Mores ſenum quinam. 246
Mores virorum mediæ ætatis quinam. 251
Morum cognitio Oratori neceſſaria. 165

N

Narratio in genere demonſtrativo non debet eſſe continua. 421
Narratio debet eſſe morata. 424
Narratio in Judiciali genere quænam eſſe debeat. 422
Narratio non habet locum in deliberatione, & ſi eſt ulla, de præteritis erit. 227
in Narratione ponenda ſunt, quæ animum movere poſſint. 426
à Natura quænam proveniant. 108
Negligentiæ genera quot ſint. 171
Nobile quid dicatur. 253
Nobiles proni ſunt ad alios contemnendos. ibid.
Nobilitas quid ſit. ibid.
Nomina tranſlata ex peregrinis, & propriis maximè conferunt ad reddendam Orationem urbanam. 381
Nominibus junctis quando homines vulgò utantur. 352
Nominis pulchritudo, & turpitudo in quibus ſit. 346
Numerus ex Pæane potiſſimùm convenit orationi. 370
Numerus conſtans ex Pæane, qui initio Orationis convenit, quinam. 371

O

quænam Occultentur non difficulter. 134
Odium contra genera hominum excitatur. 193

Odium

Odium quid, & ejus cauſa. 193
Oratio Alcidamantis quare frigida. 359
Oratio ambitu comprehenſa quæ, 374
Oratio ex quibus rebus conſtet. 33
Oratio magis, quàm uſus corporis, hominis propria eſt. 12
Oratio neque devincta metris, nec expers numeri eſſe debet. 369
Oratio periodica quænam. 373
Oratio quare debeat reddi peregrina. 340
Oratio redditur perſpicua utendo nominibus propriis, decora autem nominibus peregrinis. 340
Oratio terminatione aliqua, non tamen metrica claudenda eſt. 370
Oratio unicuique generi hominum, & habitui accommodanda, & quomodo id fiat. 366. 367
Oratio urbana quænam. 382
Oratio ut ſit emendata, quid obſervandum. 358
Oratio ut ſit grandis, & magnifica, quid attendendum. 362
Oratio ut ſit decora, quæ requiratur. 365
Oratio ut ſit numeroſa, quid obſervandum. 369
Oratio ut ſit periodica quid advertendum. 373
Oratio varianda dum idem dicitur. 401
in Oratione exprimendi ſunt affectus, qui locum habent. 366
Orationes enthymematibus refertæ maximo impetu animos commovent. 21
Orationes, quæ conſtant exemplis, ſunt ad dicendum accommodatæ, non minus quàm aliæ. ibid.
Orationes quomodo habere mores dicantur. 283
Orationem urbanam quot efficiant. 383
Orationis energiam quænam conficiant. 389
Orationis partes neceſſariæ quot ſint. 405. 406
Orationis finis ad quem referatur. 33
Orator Athenis in Ariopago extra cauſam quicquam dicere prohibebatur. 4

Oratoris ars ſine arte eſſe debet. 341
Oratoris eſt non ſolùm probare, ſed etiam movere. 165
Oratoris proprium munus quodnam. 23
Oratori tria in dicendo fidem conciliant. 166

P

PÆanis ſpecies quot. 372
Pactis rei noſtræ faventibus, aut contrà, quid faciendum. 154
Pares quinam vocentur. 234
Parvum quid. 69
Pentathli quæ de cauſa pulcherrimi habeantur. 54
Pentathlus qui vocetur. 56
Periodus quotuplex. 375
Perorationi quodnam genus conveniat. 444
Perſuaſionum diviſio. 15
Perturbationes animi ad permovendum Judicem pertinent. 4
Politiarum fines, mores, & inſtituta diverſa. 85.86
Politiarum ſpecies quatuor, earumque definitiones. 84
Poſſibile, vel impoſſibile quomodo quid eſſe poſſit, per propoſitiones oſtenditur. 262
Principium quod habere poteſt, id finem habebit, & contrà. 263
Probabile aliud ex vi ſua probatur, aliud arte indiget, ut demonſtretur. 22
Probabile quod eſt, ejus natura eſt, ut per ſe eſſe non poſſit, ſed alicui ſemper probabile ſit. 21
Probatio eſt quadam argumenti concluſio. 8
Probationum alia quidem artis expertes, alia artificioſa. 15
Probationum communium quot genera. 269
Probationum inartificialium genera quinque. 147
Probatio Rhetorica dicitur enthymema. 9

Proœmii munus quale. 411
Propoſitiones ad amplificandum, vel minuendum quomodo deſumi poſſint. 268
Propoſitiones Rhetorum propria quænam. 37
Propria quæ dicantur. 289
Proprium alicujus quodnam habeatur. 52
Provocatio æqua non eſt impii adverſus pium hominem. 159
Prudentia definitio. 90
Pugil quinam ſit. 56
Pulchritudo ſenis quænam ſit. 54. 55
Pulchrum quidnam ſit. 88

R

R*Arius quod eſt, affluenti eſt præſtantius.* 439
Rhetorica de omni propoſita quæſtione dicere poteſt. 15
Rhetorica cum Dialectica convenientia. 2
Rhetorica definitio. 14
Rhetorica diminutè tradita fuit ab antiquis. 3.4
Rhetorica ex analytica ſcientia, & parte civilis facultatis conflatur. 41
Rhetorica eſt propago quædam, & quaſi pullulatio Dialecticæ, & ejus facultatis, quæ de moribus tractat. 18
Rhetorica probabile ejuſmodi quærit, quod omnibus animi affectionibus convenit, non quod uni. 22
Rhetorica ſubjectum, & ejus inventio. 2. 3
Rhetorica utilitas, & ejus opus. 10
Reprehenſiones quot modis adferantur. 324
Rerumpubl. genera quot. 84
Rerumpubl. fines quinam. 85
Res veræ, ac juſtæ natura meliores, ac potentiores ſunt, quàm falſæ, & iniquæ. 10

Salu-

S

Salubre quod eſt magis eſt expetendum, quàm quod jucundum. 71
Sapphi reſponſum ad Alcaum. 93
Senectus bona quanam ſit. 56
ad Senectutem bonam quid concurrere debeat. ibid.
Senes quomodo miſericordia moveantur. 250
Senes ſunt ingenio pravo, & moroſo, ſuſpicioſi, & parvi animi, ſunt illiberales, timidi, cupidi vita, difficiles, utilitatem proponunt, non honeſtatem. 247
Senes ſunt inverecundi, & ſpe vivunt. 249
Sententia definitio, ejusque ſpecies, utilitas, & uſus. 275
Sententia dictio eſt minus capax calliditatis, ac fallacia, quàm judicium. 7
Sententia expoſitio. 275
Sententia quare magnam in dicendo utilitatem adferant. 282
Sententia ſpecies quot. 277
Sententiis unde utendum. 431
Senum ira ſunt acres, & acuta. 249
Signorum alterum ita ſe habet ad id, cujus eſt ſignum, ut pars ad totum; alterum, ut totum ad partem. 26
Signum quid. 27
Signum, quod neceſſarium eſt, vocatur indicium, ſeu propria nota: quod non neceſſarium, caret certo, & proprio nomine. 26
Similitudines etiam ut translationes afferri poſſunt. 356
Similitudines, ſive imagines in ſoluta Oratione utiles ſunt quidem, ſed non frequenter adhibenda. 154

Similitudinum, ſive imaginum exempla plura ſunt. 355
Singulare quod eſt, & individuum id infinitum eſt, & nulla ſcientia comprehendi poteſt. 22
Solœciſmus quando fiat. 365
Subjectio ſub oculis ex quibus nominibus cõſtet. 431
Syllogiſmi Dialectici, & Oratorii quinam vocentur. 30

T

TEcmar priſca Græcorum lingua quid. 27
Temperantia quæ, & Intemperantia. 90
Teſtes antiqui quinam vocentur. 151
Teſtes novi quinam. 152
Teſtibus, & tortura rei noſtræ faventibus, vel contrà, quid agendum. 153
Teſtimonia de quibus ſint. 153
Teſtium quot genera. 150
ob quas res, & quos Timere ſoleamus. 196
quomodo affecti facilè Timere ſoleamus. 199
Timiditas quid ſit. 90
quot modis homines Timore non concutiantur. 202
Timoris definitio. 195
Torturis, ſeu quæſtionibus rei noſtræ faventibus, vel contrà, quid agendum. 157
Translationes non ſunt longè ducendæ. 345
Translationum genera quot ſint. 384
Turpe eſt homini, non poſſe ſibi ipſum corpore opitulari, ſed turpius oratione ſe defendere non poſſe. 12

U & V

ULtionis à caſtigatione differentia. 10
Unus, vel pauci leges ferre, ac judicare facilius poſſunt, quàm multi. 5
Urbanitas quomodo in verbis ſit. 383
Utilia quæ dicantur. 51

VErba ducta à quibus proficiſcantur maxima ex parte. 391
ob quas res, quos, & quomodo affecti facilè Verecundemur, vel contrà. 205.208.212
quibus in rebus homines Verecundari ſoleant. 211
Verecundiæ definitio. 204
Veriſimilia quænam. 26
Vicinus vicino invidere ſolet. 235
Victoria quibus in rebus ſit. 94
Victor in Olympicis corona donabatur. 24
per Vim quæ fieri dicantur. 109
Violentia quid. 171
Vires quæ ex re intelligantur. 55
Viri mediæ ætatis non omnibus credunt, neque omnibus fidem derogant, honeſtatem, & utilitatem ſibi proponunt. 251.252
Virtutis definitio. 88.89
Virtutis ſpecies, earumque definitiones. ibid.
Virtutum quænam maxima. 89
Vituperanti quinam fines propoſiti. 87
Voluntas quid ſit. 106
Voluptas quare maximam cupiditatum partem conſequatur. 116
Voluptaria quæ cenſeantur. 51
Voluptas cur in luctibus, & lamentationibus innaſcatur. 117
Voluptas propria vero judicio tenebras offundit. 6
Voluptatis definitio. 111

FINIS.

Digitized by Google

Digitized by Google